4460

SIMPLIC
IN
EPICTET

1

1234

Supp. 21.

~~1234~~

4460

BIBLIOTHEQUE MAZARINE

*Institutionis Parisiensis oratorii D. Jesu.*

Σιμπλικίου ἐξήγησις εἰς τὸ τοῦ Ἐπικτήτου ἐγχειρίδιον.

Περὶ μὲν τοῦ βίου τοῦ Ἐπικτήτου καὶ τῆς αὐτοῦ τελευτῆς,
Ἀρριανὸς γέγραφεν ὁ τὰς Ἐπικτήτου διατριβὰς ἐν πολ-
λοῖς συντάξας βιβλίοις· καὶ ἀπ' ἐκείνου μαθεῖν ἐστιν·
ὁποῖός τις ἐγένετο τὸν βίον ὁ ἀνήρ· τὸ δὲ βιβλίον τοῦτο τὸ
ἐπικτήτου ἐγχειρίδιον ἐπιγεγραμμένον· καὶ τοῦτο αὐτὸς
συνέταξεν ὁ ἀρριανός· τὰ καιριώτατα καὶ ἀναγκαιότατα
ἐν φιλοσοφίᾳ· καὶ κινητικώτατα τῶν ψυχῶν ἐπιλεξά-
μενος ἐκ τῶν ἐπικτήτου λόγων· ὡς αὐτὸς ἐν τῇ πρὸς
μασσαλῖνον ἐπιστολῇ ἔγραψεν ὁ ἀρριανός· ᾧ καὶ τὸ σύν-
ταγμα προσεφώνησεν· ὡς ἑαυτῷ μὲν φιλτάτῳ, μά-
λιστα δὲ τὸν ἐπίκτητον τεθαυμακότι· τὰ δὲ αὐτὰ σχεδὸν
καὶ ἐπ' αὐτῶν τῶν ὀνομάτων σποράδην φέρεται ἐν τοῖς ἀρ-
ριανοῖς τῶν ἐπικτήτου διατριβῶν γεγραμμένοις·
σκοπὸν δὲ ἔχει τὸ βιβλίον· εἰ τύχοι τῶν πειθομένων
αὐτῷ· καὶ μὴ μόνον ἀκουόντων, ἀλλὰ καὶ πασχόντων
ὑπὸ τῶν λόγων· καὶ εἰς ἐργασίαν αὐτοὺς ἀγόντων,
ἐλευθέραν ἀποτελέσαι τὴν ἡμετέραν ψυχήν· οἵαν
αὐτὴν καὶ ὁ ποιήσας καὶ γεννήσας δημιουργὸς καὶ πατὴρ
προεβάλετο· ὥστε μήτε φοβεῖσθαι μήτε λυπεῖσθαι
ἐπί τινι· μήτε ὑπό τινος τῶν χειρόνων δεσπόζεσθαι.
ἐγχειρίδιον δὲ αὐτὸ ἐπιγέγραπται διὰ τὸ πρόχειρον
εἶναι αὐτὸ δεῖν καὶ ἕτοιμον ἀεὶ τοῖς βουλομένοις εὖ ζῆν·
καὶ γὰρ τὸ στρατιωτικὸν ἐγχειρίδιον ξίφος ἀεὶ πρόχειρον
εἶναι τοῖς χρωμένοις ὄφελον ἂν εἴη· πολὺ δὲ τὸ δραστήριον
καὶ κινητήριον ἔχουσιν οἱ λόγοι· ὥστε τοὺς μὴ πάνυ νε-
νεκρωμένους νύττεσθαι ἐξ αὐτῶν καὶ συναισθάνεσθαι
τῶν οἰκείων παθῶν· καὶ πρὸς διόρθωσιν αὐτῶν ἐπεγεί-
ρεσθαι.

τοῖς μὲν, μᾶλλον· τοῖς δὲ, ἧττον· καὶ ἔτι γε ἀπὸ τοῦ
μὴ παρὰ τῶν λόγων, ὑπομένειν ἀπὸ τῶν μεγάλων
δὲ καὶ στηρίων ὑπευθυνθῆναι· παιδεύει γὰρ τὸν ἄνθρωπον
ὡς κατὰ ψυχὴν λογικὴν οὐσιωμένον· τῷ τοῦ σώματι
χρωμένην ὡς ὀργάνῳ· διὰ τοῦτο καὶ γαμεῖν καὶ παι-
δοποιεῖν ἀνδράσι δίδωσι· καὶ τῶν ἄλλων τῶν μὲν τῷ βίῳ
αἱρετῶν ἀπολαύειν· πάντων δὲ βούλεται τὴν λογικὴν
δὲ ἀδούλωτον φυλάττειν αὐτήν· τουτέστι σώματος. καὶ
τῶν ἄλλων παθῶν· καὶ πρὸς τὸ οἰκεῖον ἀγαθὸν καὶ τὴν
ἐκείνων κρίσιν ἀναφέρουσαν· τῶν δὲ ἐκτὸς δὲ καλῶν
ἀγαθῶν ὅσα μὲν ἀδύνατον συμφωνεῖν πρὸς τὸ ἀληθινὸν
ἀγαθὸν, καρποῦσθαι συγχωρεῖ μεμετρημένως· τὰ δὲ
ἀναρμοστοῦντα, πρὸς ἐκεῖνο παραινεῖ παντελῶς
ἀποτρέπεσθαι· καὶ τοῦτο δ᾽ ἄν τις τῶν λεγόντων
θαυμάσειεν· ὅτι τοὺς πειθομένους καὶ ἐργαζομένους
τὰ λεγόμενα· μακαρίους ἀποτελοῦσι καὶ εὐδαίμονας
γενηθέντας τὰς μετὰ θάνατον τῆς ἀρετῆς
ἀμοιβὰς ἐπαγγέλλεσθαι· κἂν πάντως ἀκολουθῶσιν
αὐτοῖς· τὸ γὰρ ὡς ὀργάνοις χρωμένων τῷ σώματι.
τοῖς ἀλόγοις πάθεσι, πάντη πάντως χωρίζων
ἐσχάτην οὐσίαν αὐτῶν· καὶ ἐπιδιαμένουσαν μετὰ
τὴν ἐκείνων φθοράν· καὶ δηλονότι καὶ τὴν τελειότητα
σύστοιχον τῇ οὐσίᾳ· ἀλλὰ κἂν θνητήν τις ὑποθεῖτο
τὴν ψυχὴν συναπολλυμένην τῷ σώματι, ὁ κατὰ
ταύτας ζῶν τὰς ὑποθήκας τὴν ἑαυτοῦ τελειότητα
ἀπολαμβάνων τὸ οἰκεῖον καρπούμενος ἀγαθὸν,
εὐδαίμων ὄντως ἐστὶ καὶ μακάριος· καὶ γὰρ καὶ τὸ σῶμα
τὸ ἀνθρώπειον· καίτοι θνητὸν ὑπάρχον· ἐπειδὰν κατὰ
φύσιν τὴν ἑαυτοῦ τελειότητα ἀπολάβῃ, ἔτυχε
τοῦ οἰκείου ἀγαθοῦ· καὶ οὐδενὸς ἔτι δεῖται πρὸς τοῦτο.

κοινωτικοὶ δὲ

Aduerte transpositionem paginarum ·:

κομματικοὶ δέ εἰσιν οἱ λόγοι καὶ γνωμονικοί. κατὰ τὸ
τῶν ὑποθηκῶν καλουμένων παρὰ τοῖς Πυθαγορεί-
οις εἶδος. πλὴν καὶ τάξις τίς ἐστι πρὸς ἀλλήλους ἐν πᾶσι
σχεδὸν αὐτοῖς καὶ ἀκολουθία, ὡς προϊόντες εἰσόμεθα.
καὶ τὰ κεφάλαια δὲ διωρισμένα τετήρηται, ἃς μι-
ποῦνται τάχα τε ἔχειν τὴν διόρθωσιν τῆς ἀνθρωπίνης
ζωῆς. καὶ πάντες οἱ λόγοι, πρὸς ἓν ἀνατείνουσι σκοπὸν.
τὴν λογικὴν ψυχὴν διεγεῖραι. πρός τε τὴν φυλακὴν
τοῦ οἰκείου ἀξιώματος, καὶ πρὸς τὴν κατὰ φύσιν χρῆσιν
τῶν οἰκείων ἐνεργειῶν. καὶ εἰσὶ μὲν οἱ λόγοι, σαφεῖς.
ὀχυρὸν δὲ ἴσως κατὰ τὸ δεινὸν ἀπὸ διανοίας ἐντυγχάνουσιν αὐτοῖς.
ὥστε τὸ περιγράφον. συμπαθέστερός τε ἅμα, πρὸς αὐτὸν
γενήσεται. καὶ τῆς ἀληθείας αὐτῶν καταμονητικώτερος.
ἔστι τῶν φιλομαθῶν οἱ πρὸς λόγους ἀσυνηθέστεροι, ἴσως
ὄζουσί τινα ξηρολογίαν ἐκ τῆς ἑρμηνείας αὐτῶν. τοῦτο
δὲ πρῶτον, ὅπερ εἶπον, διαρθρωτέον. πρὸς τὸν
ἀποῖον ὄν οὗτοι πεποίηνται οἱ λόγοι. καὶ πρὸς ποί-
αν ἀνθρωπίνης ζωῆς ἀρετὴν, ἀναφέρουσι τὸν πειθόμενον. οὐ γὰρ · ὤν
πρὸς τὸν καθαρτικὸς δηλονότι ζῆν. ἐκεῖνος γὰρ
ὅσον δυνάμεις φεύγειν ἀπὸ τοῦ σώματος βούλεται.
καὶ τῶν σωματικῶν παθῶν, καὶ εἰς ἑαυτὸν συννεύειν.
οὔτε ἔτι μᾶλλον πρὸς τὸν θεωρητικόν. ἐκεῖνος γὰρ
καὶ τὴν ἑαυτοῦ λογικὴν ζωὴν ὑπερτρέχων, ὅλος εἶναι
βούλεται τῶν κρειττόνων. ἀλλ᾽ ἐκείνοις ἁρμόζουσι τοῖς
κατὰ τὴν λογικὴν μὲν ζωὴν οὐσιωμένοις. ὡς ὀργάνῳ
δὲ χρωμένοις τῷ σώματι. καὶ μήτε μέρος ἑαυτῆς νομί-
ζουσι τὸ σῶμα, μήτε αὐτὴν μέρος εἶναι τοῦ σώματος.
μήτε μετὰ τοῦ σώματος … ρουσαν τὸν ἄνθρωπον.
ὡς ἐκ δυοῖν … μέσον συγκείμενον. τῆς τε ψυχῆς καὶ τοῦ σώ-
ματος. οὗτος μὲν γὰρ ὁ ἄνθρωπος, πολιτικός ἐστιν. ὁ συμπε-

φυρόμενος τῇ γενέσει καὶ ὑπ' αὐτῆς καταπεπομ-
μένος· μηδὲ μᾶλλον λογικὸν ἢ ἄλογον ζῷον ὑπάρχει·
καὶ διὰ τοῦτο μηδὲ κυρίως λεγόμενος ἄνθρωπος. ὁ δὲ ὄντως
ἄνθρωπος εἶναι βουλόμενος· καὶ τὴν ἀξίαν τὴν ἑαυτοῦ
προθυμούμενος ἀνακτήσασθαι· ἣν ὁ θεὸς παρὰ τὰ ἄλλα
ζῷα τοῖς ἀνθρώποις ἐχαρίσατο· οὗτος σπουδάζει τὴν ἑ-
αυτοῦ λογικὴν ψυχὴν ὡς προέχει φύσεως, οὕτω ζῶν·
ἄρχουσαν τοῦ σώματος· καὶ ὑπερανέχουσαν αὐτοῦ·
καὶ οὐχ ὡς μέρει συντεταγμένῳ· ἀλλ' ὡς ὀργάνῳ χρωμένην·
καὶ τούτοις προσήκουσιν ἠθικαὶ καὶ πολιτικαὶ ἀρεταί·
ἐφ' ἃς οὗτοι οἱ λόγοι προτρέπουσιν· ἀλλ' ὅτι μὲν ἡ
[illegible] ἐστὶν ὁ ἀληθινὸς ἄνθρωπος· ὁ κατὰ τὴν λογικὴν ψυχὴν
οὐσιωμένος· προηγουμένως μὲν ὁ τοῦ Πλάτωνος
Σωκράτης ἔδειξεν· Ἀλκιβιάδῃ τῷ Κλεινίου
διαλεγόμενος· ὃς ὑπόθεσιν ταύτην λαβὼν διδάσκει
τοὺς πειθομένους αὐτῷ· διὰ ποίας ζωῆς καὶ ποίων
ἔργων. τὸν τοιοῦτον ἄνθρωπον δεῖ αὐτὸν ἐκτελέσαι.
ὥσπερ γὰρ τὸ σῶμα τὰς κατὰ φύσιν κινήσεις ἐπι-
τελοῦν, γυμνάζεταί τε δι' αὐτῶν καὶ ἐρρωμενέστερον
ἀποδείκνυται, οὕτω καὶ ἡ ψυχὴ διὰ κατὰ φύσιν
ἐνεργειῶν, εἰς τὴν κατὰ φύσιν ἕξιν, τὴν ἑαυτῆς
οὐσίαν καθίστησιν· οὐδὲν δὲ ἐμποδίζει τῇ ἀρχῇ
τῶν λόγων· ἀλλὰ καὶ ἀναγκαῖον ἴσως ἐστί· τοῦτο δὴ
τὸ καθ' ὑπόθεσιν ὑπὸ τοῦ Ἐπικτήτου προληφθέν·
ὅτι ὁ ἀληθῶς ἄνθρωπος, ἡ λογικὴ ψυχή ἐστιν. ἡ τῷ σώματι
ὡς ὀργάνῳ χρωμένη. πρὸ τῆς τῶν κατὰ μέρος ἐξη-
γήσεως προδιαρθρῶσαί τε καὶ προαποδεῖξαι. καὶ
γὰρ ὁ μὲν Ἐπίκτητος τὰς τῶν τοιούτων ἀνθρώπων πρεπούσας
καὶ οἰκείας ἐνεργείας ὑπ' ὄψιν προτίθησι· γινώσκειν
τε αὐτὰς ἀκριβῶς καὶ ἐργάζεσθαι τοὺς πειθομένους
αὐτῷ

πορ[...] καὶ ἀμαχίνῃ· ἵνα δι' αὐτῶν ὡς ἐσόπτρων καὶ τὴν
οὐσίαν τὴν ἰδίαν ἀποτελεσώμεθα· ὅτι δὲ οὗτος ἐστὶν
ὁ κυρίως ἄνθρωπος οὐκ ἀποδείκνυσιν· ἀλλ' ὅπερ ἔσωθεν ἦν
ἐς ὑπόθεσιν λαμβάνει· ὁ τοίνυν Σωκράτης λαβὼν
ἐκ τῆς ἐναργείας ὅτι ὁ ἄνθρωπος ὡς περὶ τῇ σμίλῃ, οὕτω
καὶ τῇ χειρὶ χρῆται, πρὸς τὴν ἐργασίαν· καὶ προσ-
λαβὼν ὅτι τὸ χρώμενον ἄλλο ἐστί· καὶ τὸ ᾧ χρῆται,
ἄλλο ὡς ὄργανον, συνάγει ὅτι ἄνθρωπος ἐστὶ τὸ τῷ σώ-
ματι χρώμενον ὡς ὀργάνῳ· χρῆται δὲ τῷ σώματι
ὡς ὀργάνῳ ἔν τε ταῖς τέχναις καὶ ταῖς ἄλλαις ἐργα-
σίαις; οὐκ ἄλλο ὅτι ἡ ἡ λογικὴ ψυχή· ἡ ὡς ὀργάνῳ χρω-
μένη τῷ σώματι· ἔστι τὸ πάλιν λαβὼν ἐκ τῶν εἰρημένων·
ὅτι τὸ χρώμενον τῷ σώματι· καὶ ἄρχει πανταχοῦ ἐκείνου
ᾧ χρῆται· ἐκ διαιρέσεως ἐρωτᾷ τὸν λόγον· λέγων ὅτι
ἀνάγκη τὸν ἄνθρωπον ἢ τὴν ψυχὴν εἶναι ἢ τὸ σῶμα ἢ τὸ συναμ-
φότερον· φησὶν ὁ μὲν ἄνθρωπος ἄρχει τοῦ σώματος· τὸ δὲ
σῶμα ἑαυτοῦ οὐκ ἄρχει· δῆλον ὅτι οὐκ ἔστιν ὁ ἄνθρωπος
τὸ σῶμα, ἀλλ' οὐδὲ τὸ συναμφότερον διὰ τὴν αὐτὴν
αἰτίαν· εἰ γὰρ ὁ ἄνθρωπος ὁ ἄρχων τοῦ σώματος ἐστί· μὴ ἄρ-
χοντος τοῦ σώματος, οὐδὲ τὸ συναμφότερον ἂν εἴη
τὸ ἄρχον· ὅλως δὲ εἰ τὸ μὲν σῶμα καθ' αὑτὸ ἀκίνητον
καὶ νεκρόν ἐστιν· ἡ δὲ ψυχὴ τὸ κινοῦν ἐστί· ὁρῶμεν δὲ
καὶ ἐπὶ τῶν τεχνῶν· ὅτι κινουμένου τοῦ τεχνίτου· κινεῖ-
ται τὰ ὄργανα τῆς τέχνης· δῆλον ὅτι ὀργάνου
τάξιν ἔχει τὸ σῶμα πρὸς τὴν ψυχήν· αὐτὴ οὖν ἐστὶν
ὁ ἄνθρωπος· καὶ ὁ βουλόμενος ἑαυτοῦ ἐπιμελεῖσθαι τῆς ψυχῆς
ἐπιμελεῖσθαι τῆς λογικῆς· καὶ περὶ τὰ οἰκεῖα αὐτῆς
ἀγαθὸν διατριβέτω· ὁ γὰρ τοῦ σώματος ἐπιμελού-
μενος· οὐχ αὑτοῦ· οὐδὲ τῶν ὄντων ἡμῶν ἐπιμελεῖται·
ἀλλὰ τοῦ ὀργάνου· ὃ ἔστιν χρήματα καὶ τὰ τοιαῦτα συν-
άζων.

οὔτε δήμου ἐπιμελεῖται, οὔτε δὲ τοῦ ὀργάνου· ἀλλὰ τοῦ ὀργάνου·

Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν ὑπόληψις· ὁρμή· ὄρεξις· ἔκκλισις· καὶ ἑνὶ λόγῳ ὅσα ἡμέτερα ἐστὶν ἔργα:

Ἐφ' ἡμῖν μὲν ἐκεῖνα λέγει ὧν κύριοί ἐσμεν· καὶ ὧν τὴν ἐξουσίαν ἔχομεν· τοῦτο γὰρ ἐπ' αὐτῷ ἑκάστῳ λέγομεν, ἃ μὴ παρ' ἄλλου ἔχει· μηδὲ ὑπ' ἄλλου τινὸς ἐμποδίζεσθαι δύναται· τοιαῦτα δέ ἐστι τὰ κινήματα τῆς ψυχῆς τὰ ἔνδοθεν ἀπ' αὐτῆς κατὰ τὴν αὐτῆς κρίσιν καὶ αἵρεσιν γινόμενα· οὐ γὰρ δὴ ὡς αὐτοῦ ἔξω κινεῖσθαι τὴν αἵρεσιν· ἀλλὰ κἂν τὸ αἱρετὸν ἔξωθεν ἦ, ἡ αἵρεσις αὐτὴ καὶ ἡ ἐπὶ τὸ αἱρετὸν κίνησις ἔνδοθέν ἐστι· τοιοῦτον δέ ἐστι τὸ τοιάνδε ἢ τοιάνδε ὑπόληψιν ἔχειν περὶ τῶν πραγμάτων· οἷον ὅτι ὁ πλοῦτος ἢ ὁ θάνατος ἢ τι τῶν ἄλλων ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορόν ἐστι· κἂν γὰρ παρ' ἄλλου τινὸς ἀκούσαντες δοξάσωμεν ἢ οὕτως ἢ οὕτως περὶ αὐτῶν· δοξάζομεν ὅμως καὶ μὴ ὡς οἱ διδακτοὶ ὄρνιθες τό, καὶ τοῦ πίω λέγουσι· τί λέγουσι μὴ εἰδότες· οὕτω ἡμεῖς λέγομεν· ἡ δόξα αὐτὴ καὶ ἡ ὑπόληψις, ἡμέτερόν ἐστι κίνημα· ἐρεθισμὸν ἔξωθεν ἐνίοτε προκληθὲν ἐπὶ τοῦ διδάσκοντος· οὐ μὴν ποιηθὲν ὑπ' αὐτοῦ· τοιοῦτον δέ ἐστι καὶ ἡ ἐπί τι ὁρμή· ἔνδοθεν οὖσα καὶ αὐτή· κἂν ἐκ τῶν ἔξω ὁρμῶμεν ἔξωθεν οὐκ ἔστι· κἂν ἀφορμή τις γίνηται τῆς ὁρμῆς, ἀλλ' αὐτή γε ἡ ὁρμὴ ἔνδοθέν ἐστιν ὅλη· οὐχ ὡς οἱ κατὰ ὠθισμὸν ἐκ προκειμένης κινούμενοι ἔξωθεν ἔχοντες τὴν ἑαυτῶν κίνησιν· ἀλλὰ μᾶλλον ὡς οἱ κατὰ τὴν ἑαυτῶν ζωὴν διεγειρόμενοι· καὶ ἡ ὄρεξις δὲ τοιοῦτον ἡ·

ἔξω ἡ

ἔκτασις οὖσα τῆς ψυχῆς ἐπὶ τὸ ὀρεκτόν· καὶ ἡ ἔκκλισις
ἐναντία τῇ ὀρέξει ἀποστροφὴ κατὰ φύσιν οὖσα ἀπὸ
τοῦ ἐκκλιτοῦ. δῆλον δὲ ὅτι προηγεῖται μὲν ἡ ὑπό-
ληψις· καὶ λογική τις οὖσα γνῶσις τῶν ἄνω πρέπον.
ὅταν δὲ περὶ κακοῦ ἢ ἀγαθοῦ ἢ μετέρου ὄντος ἡ δοκ...
ἢ ὑπόληψις ᾖ, ἀναγκαῖόν ἐστι πάντως ἢ ἔκκλισις ἢ
ὄρεξις· ἐπακολουθεῖ δὲ ἡ ὁρμή· ὀρεχθῆναι γὰρ δεῖ
πρότερον ἢ ἀποστραφῆναι· καὶ οὕτως ὁρμῆσαι προ-
σελθεῖν τοῦ ὀρεκτοῦ· ἢ ἀποστραφῆναι τοῦ ἐκκλιτοῦ.
ὅπερ ἐναντίον ἐστὶ τῷ ὀρεκτῷ. οἱ μέντοι στωικοὶ
τὴν ὁρμὴν καὶ ἀφορμὴν προσετίθεσαν τῆς ψυ-
τὰ περὶ τῆς ὀρέξεως καὶ ἐκκλίσεως κινήματα τῆς
ψυχῆς θεασάμενοι. ἀλλ᾽ αἱ μὲν ἄλογοι ὀρέξεις. τουτέ-
θυμὸς καὶ ἐπιθυμία προσεχεῖς οὖσαι τοῖς σώμασι·
συζῶσαι τῶν σωμάτων οὖσαι· ὡς δοκεῖ ἀπὸ τῆς κρά-
σεως τῶν σωμάτων ἀναβλαστάνειν, πολὺ τὸ ἑτεροκίνη-
ἔχουσι. καὶ οὐκ εἰσὶν αὐτεξούσιοι ἁπλῶς. οὐδὲ
ἐπὶ τοῖς ὀρεγομένοις κυρίως εἰσί· καὶ ἔξωθεν γὰρ
αὗται κινοῦνται. ἡ λογικὴ δὲ ψυχή. ὅταν μὲν ἑαυτὴν
ἐνδῷ τοῖς σώμασι· καὶ τοῖς ἀλόγοις καὶ τοῖς σω-
ματικοῖς κινήμασι καὶ αὐτὴ γὰρ ὑποσπᾶται καὶ
ὠθεῖται· καὶ οὐκέτι εὔλυτ... ἐφ᾽ ἑαυτῇ ἔχει τὰ
κινήματα. ὅταν δὲ κατὰ τὴν ἑαυτῆς φύσιν καὶ
συνέργειαν ἐνεργῇ, τότε ἐλευθέρως καὶ αὐτεξου-
σίως ἔνδοθεν ἀφ᾽ ἑαυτῆς κινεῖται. καὶ ἐπὶ τῆς τοι-
αύτης τὸ ἐφ᾽ ἡμῖν ὁρᾶται καὶ ἀναμφίλεκτον. ἵνα
δὲ καὶ ἀκριβέστερον καταμάθωμεν, καὶ τί ἐστι τὸ
ἐφ᾽ ἡμῖν τοῦτο. καὶ ἐν τίσι τῶν ὄντων ἐστί· καὶ
ὅτι ῥίζα καὶ ἀρχὴ τοῦτο πάσης εὐζωΐας ἢ κακο-
ζωΐας τοῖς ἀνθρώποις ἐστίν, ἄνωθέν ποθεν ἀρξάμενοι
λέγωμεν.

πάντων τῶν ὄντων πηγὴ καὶ ἀρχὴ τὸ ἀγαθόν ἐστιν·
οὗ γὰρ πάντα ἐφίεται καὶ εἰς ὃ πάντα ἀνατείνεται),
τοῦτο πάντων ἀρχὴ καὶ τέλος ἐστί· καὶ ἀφ' ἑαυτοῦ
τὸ ἀγαθὸν πάντα παράγει· τά τε πρῶτα καὶ τὰ μέσα
καὶ τὰ ἔσχατα. ἀλλὰ τὰ μὲν πρῶτα καὶ ἑαυτῷ
προσεχῆ, ὅμοια ἑαυτῷ παράγει· μία ἀγαθότης
πολλὰς ἀγαθότητας· καὶ μία ἁπλότης καὶ ἑνὰς
ἡ ὑπὲρ πάσας πολλὰς ἑνάδας· καὶ μία ἀρχὴ πολλὰς
ἀρχάς· ταὐτὸν γάρ ἐστιν ἓν καὶ ἀρχὴ καὶ ἀγαθὸν
καὶ θεός· καὶ γὰρ θεὸς μὲν τὸ πρῶτον καὶ πάντων αἴτιον.
ἀνάγκη δὲ τὸ πρῶτον καὶ αὐταρκέστατον εἶναι· ὅτι
τὸ σύνθετον ὁποιανοῦν ἔχον καὶ πλῆθος, ἐνδεέ-
στερόν ἐστι τοῦ ἑνός· Καὶ τὸ πλῆθος καὶ τὰ μὴ ἀγαθὰ
τοῦ ἀγαθοῦ ἐφίεται· ὡς ὑπὲρ αὐτὰ ὄντος· καὶ τὸ
μὴ ὂν αὐτὸ ἀρχή, ἀνάρχης ἐστὶ πάντων· ἀνάγ-
κη δὲ καὶ δυνάμεων ἔχειν τὴν ἀκροτάτην καὶ πασῶν·
δυνάμεως δὲ πλήρους οὐσία ἐστί, τὸ πάντα παράγειν
ἀφ' αὐτῆς· τὰ ὅμοια πρὸ τῶν ἀνομοίων παράγει·
διὸ πολλὰς ἀρχὰς ἡ μία ἀρχή· καὶ πολλὰς ἁπλό-
τητας· καὶ πολλὰς ἀγαθότητας παράγει προσεχῶς
ἀφ' ἑαυτῆς· τὰ γὰρ ὄντα πάντα διαφορὰς ἔχοντα
πρὸς ἄλληλα καὶ πεπληθυσμένα ταῖς οἰκείαις
διαφοραῖς, εἰς μίαν ἕκαστα ἀρχὴν οἰκείαν ἀνάγεται·
οἷον καλὰ πάντα ὅσα τε ἐν νοῖς ἐστὶ καὶ ἐν ψυχαῖς
καὶ ἐν σώμασιν· εἰς μίαν ἀνάγεται καλλονῆς πηγήν.
οὕτως δὲ καὶ τὰ σύμμετρα πάντα. καὶ τὰ ἀληθῆ
πάντα καὶ αἱ ἀρχαὶ πᾶσαι ὁμοφυεῖς πως εἰσὶ τῇ
πρωτίστῃ καθ' ὃ ἀρχαὶ καὶ πηγαὶ καὶ ἀγαθότητες·
μετὰ τῆς προσηκούσης ὑφέσεως καὶ ἀναλογίας·
ὅπερ γάρ ἐστιν ἡ μία ἀρχὴ πρὸς πάντα τὰ ὄντα.

τοῦτο ἑκάστη πρὸς τὸ πλῆθος τὸ περιεχόμενον ὑπὸ τῆς κατ' αὐτὴν ἰδιότητος. ὁ γὰρ τὴν δι' αὐτὸν μὴ δὲ ἕκαστον πλῆθος κατὰ διάφορόν τινα διαφόρως μένον, εἰς οἰκείαν ἀρχὴν ἀναφέρεσθαι. τὴν πᾶσι τὸ ἓν καὶ ταυτὸν εἶδος ἐπιλάμπουσαν. παντὸς γὰρ πλήθους ἡγεῖται τὸ ἕν. καὶ πᾶσα ἐν πολλοῖς ἰδιότης ἀφ' ἑνός ἐστι· πολλὰ παραγίνεται. πᾶσαι οὖν αἱ μὲν δὴ καὶ ἀρχαὶ ἐν ἰδρῶν τῇ ὅλῃ. καὶ ὑπ' αὐτῆς συνδέεται σωματικὴν οὐδὲ πολιτικήν· ἀλλ' ὡς τῶν ὅλων τὰ μέρη. καὶ ὡς τῷ ἑνὶ τὸ πλῆθος. καὶ τῇ μονάδι ὁ ἀριθμός. πάντων γάρ ἐστιν ἐκεῖνο πρὸ πάντων. καὶ περὶ τὴν μίαν ἀρχὴν αἱ πολλαὶ ἀρχαὶ πληθύνονται. καὶ ἐν τῇ μιᾷ ἀγαθότητι αἱ πολλαὶ ἀγαθότητες ἐνιδρυμέναι. καὶ ἔστιν ἐκεῖνο οὔτε ἀρχὴ ὥσπερ ἑκάστη τῶν ἄλλων· ἡ μέν, κάλλους· ἡ δέ, ἀληθείας· ἡ δέ, συμμετρίας· ἢ ἄλλου τινός· ἀλλ' ἁπλῶς ἀρχή. καὶ οὐ τῶν ὄντων ἁπλῶς ἀρχή. ἀλλ' ἀρχὴ ἀρχῶν· δεῖ γὰρ καὶ τὸ ἀρχικὸν ἰδίωμα ὥσπερ τὰ ἄλλα, μὴ ἀπὸ πλήθους ἄρχεσθαι· ἀλλ' εἰς μίαν μονάδα συγκορυφοῦσθαι τὴν ἀρχὴν τῶν ἀρχῶν. τὰ μὲν οὖν προόντα τῷ μὲν ὑπὸ τοῦ πρώτου ἀγαθοῦ παραγομένων, διὰ τὸ πρὸς αὐτὸ ὁμοφυές, δεῖ ζητεῖν τοῦ εἶναι ἀγαθὰ ἀκίνητά τε ὄντα καὶ ἀμετάβλητα. δὲ ἐν τῇ αὐτοῦ ἀιδίᾳ μακαριότητι ἱδρυμέναι οὐκ ἐνδεῆ τοῦ ἀγαθοῦ. ὅτι αὐτοαγαθότητές εἰσι. τὰ δὲ ἄλλα πάντα τὰ ὑπὸ τοῦ ἀγαθοῦ τοῦ ἑνὸς καὶ τῶν πολλῶν ἀγαθοτήτων παραχθέντα. ἀπὸ αὐτῶν τοῦ εἶναι αὐτοαγαθὰ καὶ ἀκινήτως ἐνιδρῦσθαι ἐν τῇ ὑπεροχῇ τῆς θείας ἀγαθότητος κατὰ μέθεξιν ἔχει τὸ ἀγαθόν. ἀλλὰ τὰ μὲν ἔσχατα καὶ ἑτεροκίνητα

οἷον τὰ σώματα ὡς πῦρ καὶ γῆ, οὖσι καὶ τὴν κί-
νησιν ἔξωθεν ἔχει· οὔτε ὑφίστησιν ἑαυτὰ διῃ-
ρημένα διὰ τὸ μεμερίσθαι καὶ ἅπαντα ὄντα μὴ δύνασθαι
ὅλα δι' ὅλων ἑαυτοῖς ἐναρμόττειν· ἵνα καὶ ὅλον
ἕκαστον ὅλον ἑαυτοῦ αἴτιον ᾖ· οὔτε κινεῖν ἑαυτά,
διὰ τὸ μεμερίσθαι καθ' αὑτὰ καὶ ἀπογεγυμνῶσθαι· ὥσ-
περ τὸ ἀγαθὸν ἔξωθεν ἔχει· τὰ δὲ μέσα, τὸ μὲν τῆς
αὐτοκινήτου φύσεως καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσ-
αύτως ἐχούσης ὑπέβη· τῶν δὲ ἐσχάτων καὶ ἑ-
τεροκινήτων ὑπερέχοντα κινεῖται μὲν ὑφ' ἑαυτῶν
γε κινεῖται· καὶ οὐχ ὑπ' ἄλλων ἔξωθεν τινῶν,
ὥσπερ τὰ σώματα· τοιαῦται δέ εἰσιν αἱ ψυχαὶ ἑαυτάς
τε κινοῦσαι καὶ τὰ σώματα· καὶ διὰ τοῦτο τὰ ἔ-
ξωθεν κινούμενα σώματα, ἔμψυχα λέγομεν·
τὰ δὲ ἔξωθεν μόνον, ἄψυχα· ὅτι ἡ ψυχὴ ὑφ' ἑ-
αυτῆς κινουμένη κινεῖ καὶ τὰ σώματα· εἰ γὰρ ὑφ'
ἑτέρου τινὸς ἔξωθεν κινουμένη ἐκίνει τὸ σῶμα,
ἦν ἂν αὕτη ψυχή· δῆλον ὅτι οὐ κἂν ἔνδοθεν λέγηται
κινεῖσθαι τὸ σῶμα ὑπὸ ἐκείνου κυρίως μὴ κινούμενον
τοῦ τὴν ψυχὴν κινοῦντος· αὐτοκινητὴ ἡ αὐτοκίνητος
οὐσία ἅτε ὑποβᾶσα τοῦ αὐτοκινήτου καὶ κατὰ
μέθεξιν ἀγαθυνομένη· κινεῖται μὲν ἐπὶ τὸ ἀγαθόν,
ἀλλ' ἀφ' ἑαυτῆς κινεῖται καὶ οὐχ ὑπ' ἄλλου· ἐφιεμένη
ὅτι ποῖαι εἰσὶν αἱ κινήσεις τῆς ψυχῆς: τε αὐτοῦ καὶ κατορθουμένη· καὶ εἰσὶν αὐτῶν ἴδιαι
κινήσεις αὗται· ἥ τε ἔφεσις καὶ ὄρεξις καὶ ὁρμὴ
καὶ αἵρεσις· ἀλλ' αἱ μὲν πρῶται τῶν ψυχῶν ἅτε
προσεχῶς ὑπὸ τοῦ αὐτοαγαθοῦ παραγόμεναι κἂν
ἔχοντι πρὸς ἐκεῖνα ὑφειμένον διὰ τὸ μὴ ἀγαθότητες
ἀλλ' ὀρέγεσθαι τοῦ ἀγαθοῦ· πλὴν ὡς [illegible] πρὸς
αὐτὸ σύμφυως τε αὐτοῦ καὶ ἀμεταπτώτως ὀρέγονται.

καὶ τὴν αἵρεσιν μονοειδῶς πρὸς ἐκεῖνο τεταμένην
ἔχουσιν οὐδέποτε ἀποκλίνουσαι πρὸς τὸ χεῖρον.
εἰ δ' ὥσπερ ἡ προαίρεσις ἄλλου τινὸς ἐστὶν αἵρεσις πρὸ ἑτέρου
οὐκ ἂν εἴη ἡ προαίρεσις ἐν ἐκείνοις. εἰ μή τις αὐτὴν
προαίρεσιν ὡς τὴν πρὸ τῶν ἄλλων ἀγαθῶν αἱρουμένην καλοίη.
αἱ δὲ τῶν ἀνθρώπων ψυχαὶ πρὸς σύνδεσμον ὑποστᾶσαι
τῶν τε ἀλόγων καὶ τῶν ἀλλοιουμένων ὄντων καὶ διὰ
τοῦτο πεφυκυῖαι καὶ πρὸς ἐκεῖνα ἐπιστρέφεσθαι
καὶ πρὸς ταῦτα· ὅταν μὲν πρὸς ἐκεῖνα νεύωσιν ὅλαι
δι' ὅλων ἔχουσι καὶ ἀνατιθέασι τὰς ὀρέξεις καὶ αἱρέσεις
αὐτῶν. ὅταν δὲ αὖθις αὐτὰς ὦσι πρὸς τὴν ἄλλην στροφ-
ὴν αὐτὸ καὶ τὴν πρὸς τὸ κάτω ἐθέλειν ἐνεργεῖν, κατ'
οὐσίαν καὶ αὐτὴν ἐνυπάρχουσαν αὐτῇ πρὸς ψυχῶσ-
ιν τε καὶ κίνησιν τῶν καθ' αὑτὰ ἀψύχων καὶ ἑτερο-
κινήτων σωμάτων καὶ πρὸς διακόσμησιν τῶν
ἑτεροκινήτως πεφυκότων τοῦ ἀγαθοῦ μετέχειν.
ἥτις τῇ ἑαυτῆς κινήσει κινεῖ τὰ ἑτεροκίνητα·
πρότερον συνοῦσα τοῖς γιγνομένοις καὶ φθειρομένοις· καὶ πρὸς
τὴν τοῦ ἀγαθοῦ στέρησιν ὑποφερομένοις συνοῦσαι
καὶ ἐνδιδοῦσαι ἑαυτὴν ἐκείνοις. οὐκέτι ἂν ἀντιθεῖτο
ἔχει τὴν ἑαυτῆς αἵρεσιν. ἀλλὰ αὖθις μὲν πρὸς τὸ αἱ-
ρετὸν καὶ ἀγαθὸν φερομένην ἢ ὄντως ἀγαθοῦ ὑπάρχον
ἢ ὡς ἀγαθὸν δεξαμένων αὐτῶν καὶ παραλαίζον δι' ἅτινα
συνοῦσαν αὐτῷ ἡδονήν. ἐπεὶ δὴ γὰρ τῷ ἀληθινῷ
ἀγαθῷ σύνεστιν ἡ ἀληθινὴ ἡδονή. ὅπου δὲ ἡ ἡδονὴ
αἰσθηταὶ σκιαγραφίας μὴ κρίνουσαι αὐτὴν ὁποῖά τις
ἐστί· πότερον ἡδονῆς καὶ τοῦ ἀληθινοῦ ἀγαθοῦ σύντευξις!
ἢ ἀπατηλὴ καὶ σκιὰ ἀγαθοῦ ψευδώνυμος, ἐπι-
τρέχει ὡς πρὸς τὸ ἀγαθόν. οὐκ ἐφιστάνουσα ὅτι
πολλαπλάσιον ἔχει τὸ λυπηρόν· προηγούμενον τε
πάντι.

οὐ γὰρ ἥδεται ἐσθίων ὁ μὴ πρότερον ὑπὸ πείνης
λυπηθείς· οὐδὲ πίνων ἥδεται ὁ μὴ διψήσας·
ὁμοίως ἐστὶ δὲ παραίτιον τῆς ἡδονῆς ἡ λύπη· τοιγαροῦν
ἐὰν μεταξὺ ἀπόσχῃ τὸν ἐν τῷ πίνειν ἡδόμενον,
ἔτι ἐχοῦσαν ὅλην τὴν δίψαν· καὶ ἕως τότε ἐστὶν
ἡ ἡδονή, ἕως ἂν ἡ λύπη συνυπάρχῃ· παυσαμένης
γὰρ τῆς πείνης καὶ δίψης ἢ ῥίγους ἤ τινος τῶν τοι-
ούτων, οὐκέτι ἡδέα ἀλλὰ προσκορῆ φαίνεται τὰ
ἐναντία· καὶ ἔοικε δὲ ὡς ἐπὶ πᾶν λύπη τοῖς
δι' ἡδονὴν φησὶ ἀσυμμετρίαν ὑποφερομένοις.
διὰ τὴν αἵρεσιν δὲ ὁμοίως τοῖς ἡδέος ὡς ἀγαθοῦ,
πολὺ ἡμῖν γίνεται τὰ ἁμαρτήματα· ὥσπερ
διὰ τὴν αἵρεσιν τοῦ ἀληθινοῦ ἀγαθοῦ τὰ κατορ-
θώματα· καὶ διὰ τῆς αἱρέσεως καὶ προαιρέσεως
τυγχάνομεν τούτου ἀγαθοῦ καὶ τοῦ ἐναντίου.
ὅταν μὲν γὰρ ἡ αἵρεσις εὔλυτος ἦ καὶ καθαρὰ
αὐτῆς οὖσα τῆς λογικῆς ψυχῆς καθ' ἣν οὐσιώμεθα,
τότε ἐστὶ τὸ ὄντως αἱρετὸν καὶ τὸ ἀληθῶς φρεῖ.
διὸ τὸ ἴδιον ἀγαθὸν τῶν ψυχῶν ἀρετὴ λέγεται.
ὡς αἱρετὴ οὖσα κυρίως· καὶ κατὰ τὴν ὄντως αἵρεσιν
παραγινομένη· ὅταν δὲ τοῖς ἀλόγοις πάθεσι
συνορέγηται καὶ τὸ κακὸν ὡς οἰκεῖον νομίζῃ, τότε ψευ-
δώνυμον ἔχει τὴν αἵρεσιν· ἐπεὶ δὴ καὶ τὸ αἱρετὸν
τοιοῦτον ἐστὶν ὡς ἀγαθὸν τὸ μὴ ἀγαθὸν αἱρεῖται· καὶ τοῦτο
ἐστὶ τὸ ἐφ' ἡμῖν ἡ αἵρεσις καὶ προαίρεσις ἡμῶν·
ἡ γὰρ ὑπόληψις καὶ ὁρμή· καὶ ὄρεξις· καὶ ἔκκλι-
σις τὴν αἵρεσιν καὶ προαίρεσιν ἀναφέρονται.
συνδεθμοῦσαι πᾶσαν τῆς ψυχῆς κίνησιν· καὶ διὰ
δεσμῶν θεσμοί· διὸ καὶ κύρια τούτων ἐστί· καὶ
διὰ τοῦτο καὶ ὁ θεὸς καὶ οἱ νόμοι καὶ τῶν ἀνθρώπων οἱ ἄρ-

χοντες,

εἰς τὴν αἵρεσιν καὶ προαίρεσιν ὡς ἐφ' ἡμῖν ὄντα
ἀποβλέποντες, ταύτῃ τὰ ἁμαρτήματα καὶ τὰ κα-
τορθώματα διακρίνουσιν· ἀλλ' οὐκ εἰς τὰς πρά-
ξεις αὐτάς· ὅτι οὐκ ἐφ' ἡμῖν ἐκεῖναι· καὶ ὅτι ταῖς
αἱρέσεσι καὶ προαιρέσεσιν εἰδοποιοῦντες καὶ
τὸ φόνος· ὁ μὲν ἐκούσιος ὡς μὴ κατὰ αἵρεσιν μηδὲ
κατὰ τὸ ἐφ' ἡμῖν καὶ τὴν ἡμετέραν ἐξουσίαν γι-
νόμενος συγγινώσκεται· ὁ δὲ κατ' ἀξίαν καὶ δι-
φονεύων, καὶ ἐπαινεῖται· οὕτως οὐχ αἱ πράξεις
ἐν ἑαυταῖς ἔχουσι τὸ εὖ ἢ κακῶς ἀλλ' ἀπὸ τῆς αἱρέσεως
καὶ προαιρέσεως, τῶν ἐφ' ἡμῖν ὄντων εἰδοποι-
οῦνται. καλῶς οὖν ὁ Ἐπίκτητος· ἀπὸ τούτου τὴν
ἀρχὴν τῆς παιδαγωγίας ἐποιήσατο· καὶ πρὸς
τοῦτο ἀναφέρειν πάντα ἡμῖν παραινεῖ· ὡς
κατ' αὐτὸ καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ ἐναντίου μετα-
λαμβάνουσιν. ὅταν δὲ λέγῃ τῶν ὄντων τὰ μὲν
ἐφ' ἡμῖν ἐστὶ τὰ δὲ οὐκ ἐφ' ἡμῖν, οὐ πάντων τῶν
ὄντων ποιεῖται τὴν διαίρεσιν· ἀλλὰ τῶν ἐν ἡμῖν
καὶ περὶ ἡμᾶς ὄντων· οὐδὲ γὰρ ἐχρῆν τινὰ ἐξ ἴσας
ἡ ἀντίθεσις· ὅπερ παρέπεται τοῖς διαιρε-
εἴ τις πρὸς τὴν διαίρεσιν τὴν ἐφ' ἡμῖν οὐ πάν-
των ἀντιθείη τὰ ὄντα, τά τε ὑπερκόσμια καὶ
τὰ ἐγκόσμια. ἐπειδὴ δέ τινες ἐνίστανται μηδὲ
ἓν μᾶλλον βουλόμενοι ἐφ' ἡμῖν· ἀλλὰ μὴν ἐξ ἀνάγκης
πάσας ἡμῶν τὰς ἐνεργείας γίνεσθαι· καὶ τὰ πάθη
νομίζοντες· οἱ δὲ ἐκ ταὐτομάτου κατὰ τὸ εἰκῆ καὶ ὡς
ἔτυχε φερομένων ἡμῶν, ὥσπερ κυλίνδρων.
ἤρκει μὲν τὰ ἤδη ῥηθέντα περί τε τοῦ ἐφ' ἡμῖν
καὶ τῆς αἱρέσεως καὶ προαιρέσεως ἐν τοῖς οὖσι
τάξεως· καὶ τῆς ἀναγκαίας αὐτῶν ὑποστάσεως.

οὐδὲ μηδὲ ἴσως κωλύει καὶ προηγουμένως τινὰ
ποιήσασθαι λόγον· πρὸς τοὺς ἀναιροῦντας τὸ
ἐφ' ἡμῖν· τὸ μὲν οὖν αὐτόματον καὶ τὸ ἐφ' ἡμῖν
τὸ ὡς ἔτυχεν· εἰ μὴ οὕτως λέγεται ὡς ἄνευ τινὸς
προηγουμένου σκοποῦ ἐνεργούντων ἡμῶν·
οὔτε ἀληθὴς ὁ λόγος· οὔτε γὰρ ἀληθὲς ἦν· ἐπὶ πᾶσιν
ἀληθὲς τὸ μὴ ἐνεργεῖν ἡμᾶς· καὶ γὰρ πᾶσαι
αἱ τέχναι καὶ αἱ φύσεις, σκοπόν τινα καὶ τέλος
ποιησάμεναι πρὸς αὐτὸ πάσας τὰς ἐνεργείας
τὰς ἀπ' ἀρχῆς ἄχρι πέρατος ἀπευθύνουσι· καὶ
ὅλως πᾶσαι τῶν ἐμψύχων κινήσεις καὶ ἐνέργειαι·
τινὸς ἕνεκα ἀγαθοῦ ἐπιτελοῦνται ἢ ὄντος ἢ δοκοῦντος
εἶναι· καὶ γὰρ καὶ ἡ ἀπὸ τοῦ βλαβεροῦ φυγή, διὰ
τὸ ἀγαθὸν καὶ ὡς ὠφέλιμος γίνεται· εἰ δὲ οὕτω τὸ
τὸ ἐφ' ἡμῖν καὶ ὡς ἔτυχε λέγοιτο ὡς ἀδυνάτου ἢ ἐπὶ βλάβῃ
ὄντος τοῦ ὀρεκτοῦ ὡς λεγόμενον ἐφ' ἡμῖν καὶ ὡς ἔτυχε
φάρμακον προσφέρεσθαί τινα· ἢ τὸ ἀδύνατον
ὠφελῆσαι ἢ βλάψαι ἐν ὁποτέρῳ, οὐκ ἀναιρεῖ τὸ ἐφ'
ἡμῖν ὁ οὕτω λέγων· οὐ γὰρ τῶν δυνατῶν καὶ
ὠφελίμων μόνον τὴν ὄρεξιν καὶ τὴν ἔγκλισιν
ἐφ' ἡμῖν εἶναι λέγομεν· ἀλλὰ καὶ τῶν ἀδυνάτων
καὶ βλαβερῶν· διὸ οὐ μόνον τὰς κατορθούσας
ἐφ' ἡμῖν λέγομεν, ἀλλὰ καὶ τὰς ἁμαρτωλάς.
τῶν δὲ ἀνῃρηκασμένων … οὐκ αὐτεξούσιον
λεγόντων οὐδὲ ἐφ' ἡμῖν τὴν ὑπόληψιν καὶ
ὄρεξιν καὶ ὅλως τὴν αἵρεσιν καὶ προαίρεσιν
ὡς ἑτέρωθεν κινούμενα· καὶ οὐκ ἔνδοθεν
ἀφ' ἡμῶν προαγόμενα· οἱ μέν, τὴν ἔνδειαν
αἰτίαν λέγουσι· τίς γὰρ πεινῶν ἢ διψῶν, οὐκ ὀ-
ρέγεται τροφῆς ἢ πόματος ἢ θέρμης. κἂν

θέρμης κἂν μὴ θέλῃ

τίς δὲ νοσῶν οὐκ ἐπιθυμεῖ ὑγείας· τί μὲν δὲ αὐτὸ τὸ
ὑποληπτὸν καὶ τὸ ὀρεκτὸν ἢ φευκτόν· ἑκούσιον
τε ἢ ἄκοντας κινεῖν φασὶν ἡμᾶς πρὸς ἑαυτά·
τίς τῶν ὀρθῶς σοφῶν ἀριθμὸν μαθόντων τὰ δὶς δύο
ὀκτὼ ὑπολάβοι τέσσαρα· καὶ πῶς ἐφ᾽ ἡμῖν ἐστι
τὸ οὕτως ὑπολαβεῖν· καὶ οὐ μᾶλλον ἐπὶ τῇ τοῦ
ὑποληπτοῦ φύσει· τίς δὲ ἀγαθοῦ τινος αἰσθό-
μενος ἢ καλοῦ· ἢ τῶν ἐναντίων· οὐχὶ τῶν μὲν
ὀρέγεται τὰ δὲ ἐκκλίνει ὑπ᾽ ἐκείνων κινούμενος;
ἔστι γὰρ τῶν φυσικῶν οἱ ἄριστοι τὸ πρώτως
κινοῦν τὸ ὀρεκτὸν εἶναι φασί· τὸ δὲ ἕτερον θάτερον ἐξ
ἀνάγκης πάσης κινούμενον, πῶς δὴ ἐφ᾽ ἡμῖν;
ἄλλοι δὲ τὴν τοῦ ὀρεγομένου διάθεσιν αἰτιῶνται.
ὡς ἐξ ἀνάγκης κινουμένην ἐφ᾽ ὃ πέφυκεν· οὐκ
ὂν ἐπ᾽ αὐτῷ τὸ μὴ οὕτως ὀρεχθῆναι· ὁ γὰρ σω-
φρονικὸς τὴν ἕξιν τῶν σωφρόνων ἔργων ἐστὶ
ἐπιτηδευμάτων ὀρέγεται· καὶ ὁ ἀκόλαστος τῶν
ἀκολάστων· καὶ ἑκατέρῳ, αὐτῶν εἰ καὶ
βούληται τὸ μὴ οὕτως ὀρεχθῆναι· τινὲς γοῦν
καὶ διαφέροντες ταῖς ἑαυτῶν ὀρέξεσι· ἐκβα-
λλόμενοι μὴ κινεῖσθαι αὐτάς, ὠθοῦνται ὅμως
ὑπὸ τῶν ἕξεων καὶ τῶν συνηθισμένων, ἐπὶ τὰ
οἰκεῖα ὀρεκτά· καὶ ἕλκονται ὑπ᾽ ἐκείνων σφο-
κινητῶς· ὡς οὐκ ὂν ἐπ᾽ αὐτοῖς τὸ μὴ οὕτως· ἔστι
ὑπολαμβάνειν δὲ περὶ τῶν πραγμάτων. ὁ μὲν
ἐπιστήμων τἀληθῆ· ὁ δὲ ἀμαθὴς τὰ ψευδῆ.
ἔστι οὐ δυνατὸν ἄλλως· οὔτε γὰρ ἐπὶ τῷ ἐπιστή-
μονι ἐστὶ τὸ ψευδῶς ὑπολαβεῖν, οὔτε ἐπὶ τῷ
ἀμαθεῖ τὸ ἀληθὲς πάντως· ἀλλ᾽ οὔτε μὴν ψευδῆ
ὑπολαβεῖν ἐπὶ τῷ ἀληθῆ ἐστι τὸ ψευδῆ εἶναι
τῷ ἐπιστήμονι.

οὐ γὰρ ἂν ἄλλο τὸ ψεῦδος ὑπολαμβάνειν ἢ ὁ ἀμαθὴς ἐπ' αὐτῷ ἦν· καὶ ὁ σπουδαῖος δὲ ἐπ' αὐτῷ ἦν τὸ ἀληθῆ ὑπολαμβάνειν ἢ ἀγνοεῖν καὶ τὸ ψευδοδοξεῖν ἐπ' αὐτῷ· ἀδύνατον δὲ ψευδοδοξεῖν αὐτὸν καὶ εἰ πάνυ τις αὐτὸν ὑποθοῖτο βουλεύεσθαι· ὥσπερ ἐπὶ τῶν ἐρρωμένας ἐχόντων τὰς αἰσθήσεις, ἀδύνατον παραισθάνεσθαι· οὕτως ἔχει καὶ ἐπὶ τῶν λογισμῷ ληπτῶν· ταῦτα μὲν ἂν τινὲς ἴσως ποιεῖν τὸ ἐφ' ἡμῖν μὴ συγχωροῦντες εἶναι· οἱ δὲ πλεῖστοι τῶν ἀνθρώπων τὴν εἱμαρμένην περιφέροντες ὡς πρὸ τῶν ἄλλων αἰτίων, οὕτω καὶ τῶν ὀρέξεων τῶν ἡμετέρων καὶ τῆς ὑπολήψεως καὶ τῆς αἱρέσεως ὅλως αἰτίαν εἶναί φασι· καὶ μαρτυροῦνται τοὺς ἀστρολογικούς, ἀπὸ τῆς ἐν τῇ γενέσει τῶν ἀστέρων θέσεως προλέγοντας ὅτι ὁ μὲν φιλήδονος ἔσται, ὁ δὲ φιλοχρήματος, καὶ ἄλλος φιλόμουσος καὶ φιλόσοφος· τὰς γὰρ ὀρέξεις δηλονότι προλέγοντες, ἃς ἐν ἡλικίᾳ προβάλλουσι γινόμενοι· ἅπερ οὐκ ἀληθεύουσιν, εἰ μὴ οὗτοι ἀνάγκῃ πάντως ἔχουσι τὰς ὀρέξεις προβάλλεσθαι τὰς ὑπὸ τῆς εἱμαρμένης δοθείσας· καὶ οὐκέτι ἐφ' ἡμῖν τὸ ἄλλ' ἀντ' αὐτῶν προβάλλεσθαι· πῶς οὖν ἀνάγκη τοῖς βουλομένοις καὶ μὴ βουλομένοις ἐφ' ἡμῖν μονοειδῶς ἐπὶ τόδε ἢ τόδε τὸ ὀρεκτὸν ἀποτείνεσθαι· αὗται μὲν καὶ τοιαῦται τινές εἰσιν αἱ πρὸς τὸ ἐφ' ἡμῖν ἐναντιώσεις· οὐδὲ τὰς ὀρέξεις ἢ εἰκασίας ἢ ὅλως τὰς αἱρέσεις ἡμῶν ἐφ' ἡμῖν εἶναι συγχωροῦσι· ῥητέον δὲ πρὸς μὲν τὸν ἀπὸ τῆς ἐνδείξεως λόγον, ὅτι οὐκ ἐντίθησιν

ὄρεξιν ἡ ἔνδεια· πολλαχοῦ γοῦν καὶ τῶν πάντη
ἀψύχων ὥσπερ τὰ φυτὰ ἐνδεῶς ἴσχοντα
ποιότητός τινος οἷον ὑγρότητος ἢ ξηρότητος ἢ θερ-
μασίας ἢ ψύξεως, ὅμως οὐκ ὀρέγονται. ὅτι μὴ
ἐστὶν ὀρεκτικά· τὰ γὰρ ὀρεγόμενα καὶ αἰσθάνε-
σθαι τοῦ ὀρεκτοῦ ἀνάγκη· καὶ κινεῖσθαι ἐπ' αὐτό.
οὐκ ἐντίθησι μὲν οὖν τὴν ὄρεξιν ἡ ἔνδεια· τὸ δ'
ὀρεκτικὸν ἐνδεὲς γινόμενον, εἰς βοήθειαν τῆς
ἐνδείας προβάλλεται τὴν ὄρεξιν· ὥσπερ οὐδὲ τὰς
χεῖρας ἡ μὲν ἐντίθησιν ἡ κνισμώδης διάθεσις.
ἐγγινομένην δὲ αὐτῇ βοηθοῦσιν αἱ χεῖρες· ἀλλ' οὐ-
δὲ τὰς τέχνας ἐντιθέασιν αἱ χεῖρες· ἀλλ' ἡ ψυχὴ
πρὸς τὴν βοήθειαν αὐτῶν εὑρίσκει τε καὶ προ-
βάλλεται τὰς τέχνας· πᾶσα μὲν γὰρ ὄρεξις,
κίνησις ἔνδοθεν ἐστὶ τῆς ὀρεγομένης ψυχῆς· ἀπ'
αὐτῆς ἐκτεινομένη καὶ οὐκ ἔξωθεν ἐντιθε-
μένη ποθέν· ἀλλ' ἡ μὲν τῶν ἀλόγων ζώων ἄ-
λογος ζωὴ σωματικὴ οὖσα καὶ μηδὲν σχεδὸν ἔ-
χουσα τῶν σωμάτων ὑπέρτερον ἔχον· ὡς ἐπ'
οἰκείαις ἐνδείαις ταῖς τοῦ σώματος τὰς ὀρέξεις
προβάλλεται μονοειδεῖς οὔσας. διὸ καὶ ἠνα-
γκασμέναι δοκοῦσι καὶ οὐκ αὐτεξούσιοι· ἡ δὲ
λογικὴ ψυχὴ τῶν ἀνθρώπων διὰ τὴν ἑαυτῆς μεσότητα,
τριττὴν ἔχουσα σχέσιν· τὴν μὲν πρὸς τὸ χεῖρον
τὸ σωματικὸν καὶ ἄλογον· τὴν δὲ πρὸς αὐτήν·
τὴν δὲ πρὸς τὸ κρεῖττον· τριττὴν καὶ ζωὴν προ-
βάλλεται καὶ τριττὴν ὄρεξιν· καὶ ὅταν μὲν τοῖς
σώμασιν ἑαυτὴν ἐνδῷ καὶ ταῖς ἀλόγοις τοῦ σώ-
ματος ζωαῖς, τότε τὴν ἔνδειαν ἐκείνων οἰκείαν
ἡγουμένη. συνορέγεται ἐκείνοις ἠναγκασμένως.

καὶ αὐτὴ ἐστὶν ἡ ὄρεξις αὐτῆς· ἢ τὸ αὐτεξούσιον ἀμ-
φισβητήσιμον ἔχουσα· ὅταν δὲ τὴν ἑαυτοῦ ζωὴν
ζῇ, ἢ τὴν κρείττονα, τότε καὶ ὄρεξιν μὲν ἐκείνης οἰκείαν
προβάλλεται τοῦ ἐκείνων ἀγαθοῦ ἐφιεμένην.
αὐτὴ οὖν ἐστὶν ὄντως κυρία ἡ ψυχὴ ἢ τῶνδε ἢ τῶνδε
ὀρέγεσθαι ὡς πλειόνων ὀρέξεων ἀναπεφυκυῖα προ-
βάλλεσθαι· τῶν μὲν χειρόνων, τῶν δὲ κρειττόνων. τοῖς μὲν
χείροσι κακυνομένη· τοῖς δὲ κρείττοσιν ἀρετουμένη·
ὅτι ἡ κατ᾽ ἐκείνην αἵρεσις ὄντως αἵρεσίς ἐστι· διὸ
πολλάκις ἐνδεῶς τοῦ σώματος ἔχοντος καὶ δεομένου
ὀρεγομένου τροφῆς, αὕτη ὄρεξιν ἀσιτίας προβά-
λλεται ἢ δι᾽ ἀληθὲς μέν τινα ἐπίπλαστον τοῦτο· ἢ
δι᾽ ἐπιμέλειαν τινὰ ἑαυτῆς ἢ τοῦ σώματος· καὶ δῆλον
ὅτι ἐξουσίαν εἶχε τότε συνορεχθῆναι τῷ σώματι,
ὅπερ αἱ πολλαὶ ποιοῦσι ψυχαί· ἀλλ᾽ ὡς μείζονος ἀ-
γαθοῦ τὴν ἑτέραν προβάλλεται· πρὸς ψυχὴν ἑαυτοῦ
λογικὴν ἀποτεινόμενος ὁ Ἐπίκτητος ἀκολούθως
ἐπ᾽ αὐτῇ φησὶν εἶναι τοίως ἢ τοίως ὀρέγεσθαι· οἱ γὰρ
τὸ ὀρεκτὸν κινεῖν τὴν ψυχὴν ἐπὶ τὴν ὄρεξιν λέγοντες
λέγουσι μέν τι ἀληθές· οὐ μέντοι τοιοῦτον νομίζουσι
λέγειν· οὐ γὰρ ὡς ἑτεροκίνητον. ἀλλ᾽ ὡς αὐτοκίνητον
τὴν ψυχὴν κινεῖ μετὰ τὸ ὄρεξιν τὴν ἑαυτοῦ προτεῖνον
ἢ ἀπὸ λογικὴν ἐπιτηδείαν. διὸ καὶ ἐκκαλεῖται τὸ πρὸς
αὐτὸ ἐκτείνεσθαι πεφυκός· ὡς γὰρ τὸ αἰσθητὸν ἐκ-
κινεῖ τὴν αἴσθησιν τῶν αἰσθανομένων· οὐχ
ὡς ἑτεροκίνητον ἕλκει μεταφέρον αὐτὸ ἔξωθεν· ἀλλ᾽ ἑαυτὸ
προτείνει συμμετρουμένως συναρμογὴν τοῦ πεφυκό-
τος αὐτῷ συναρμόζεσθαι, οὕτω καὶ τὸ ὀρεκτὸν τὴν
ἑαυτοῦ προτείνον ἐπιτηδειότητα ἐκκαλεῖται τὴν
ἐπ᾽ αὐτὸ τῆς ψυχῆς ἔκτασιν τὴν ἐπιτηδείως πρὸ-

τοῦ τ᾽ ἔχουσιν· διὸ τῶν ὀρεκτῶν προκειμένων, οἱ μὲν
ὀρέγονται· οἱ δέ, οὔ· καίτοι εἰ τὸ ὀρεκτὸν τοιαύτην εἶχε
φύσιν ὡς ἀναγκάζειν τὸ ὀρεγόμενον· καὶ ὑπ᾽ αὐτοῦ ἡ
κίνησις ἐνεδίδοτο· πάντ᾽ ἂν τὴν ἀρχὴν ὀρέγεσθαι αὐτοῦ
τὰ ὀρεκτικά· ἢ καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον· καὶ οὐκ ἦ
ὄρεξις ἂν ἦν τὸ τοιοῦτον· ἀλλ᾽ ὠθισμὸς ἢ ὁλκὴ βίαιος
ὡς ἐπὶ τῶν σωμάτων ὁρᾶται· ἡ γὰρ ὄρεξις ἑκάστου
τις ἐστὶ μαιομένου τοῦ ὀρεγομένου καὶ οὐκ ἐξισταμένου.
ὥσπερ τὰς χεῖρας ἐκτεινομένων καὶ μεταλαμβανόντων.
αἰτίου ὢν κίνησις ἔνδοθεν ἀφ᾽ ἡμῶν ἡ ὄρεξις καὶ ἡ ὑπό
ληψις καὶ τὰ τοιαῦτα· ἀλλὰ ποτὲ μὲν ἁρμοδίως
πρὸς τὴν φύσιν τοῦ ὀρεκτοῦ καὶ ὑπολήψεως προβαλ
λομένη, πολλάκις δὲ παραλλάττουσα. ὅταν ὡς πρὸς ὀρε
κτόν τι ~~φέρεσθαι~~ φέρεσθαι δοκοῦμεν, ὃ ὀρεκτὸν οὐ·
πλέον δὲ ἔχον τὸ ἀνορεκτὸν· καὶ προφαινομένου τι
[illegible] ὀρεκτὸν καθὸ ἐκκαλεῖ τὴν ὄρεξιν· κρύπτον δέ τι
φανερὸν ἐν ἑαυτῷ ὅπερ διὰ τὴν [illegible] τὸ ἀπολλοῦν τοῦ ὀρεκτοῦ
ποιεῖν ἐν ὑπάρχον αὐτῶν δι᾽ ἄλλων· ὅσπερ κλέπτων
ἐπὶ τὸ τῆς εὐπορίας ἄδολον ὡς ἐπὶ ὀρεκτὸν φερόμενος
τὸ ἐν ὑπάρχον φευκτὸν τῇ τοιαύτῃ εὐπορίᾳ· τὸ μὲν
μάλιστα τὴν ψυχὴν ἀδικοῦν ποιοῦν οὐδὲν οἴεται· ὃ δὲ
[illegible] λαβεῖται· τὴν δὲ ὑπ᾽ ἄλλων σύλληψιν καὶ κόλασιν
τὴν μεγίστην ἀτυχίαν τοιαύτης ὁρμῆς νομίζει διὰ τὸ
ὑπάρχον τῆς ὀρέξεως καταμωκίζεσθαι· προβα
λόμενος τὸ τοῖς πολλοῖς τῶν τὰ τοιαῦτα ποιούντων
λανθάνειν· ἔφη μὲν γε ἐστὶ τὸ βαδίζειν τὸ ὀρεκτόν.
ἤ τε ἀληθῶς ἐστὶ τοιοῦτον, ἢ τὸ ἀδόλως μόνον ὀρεκτὸν
ὡς ἐπὶ τῶν εἰρημένων· τῷ τῆς αὐτῶν κακίας [illegible]
ἔτι δὲ μᾶλλον τὴν ἡμετέραν ὄρεξιν παιδεύειν [illegible]
διδάσκειν τῶν κυρίως ὀρεκτῶν ὀρέγεσθαι· καὶ μὴ

-λαμβάνεσθαι ὑπὸ τῶν ἄλλων. πρὸς δὲ τοὺς λέγοντας
τὴν ὄρεξιν τοῦ ὀρεγομένου καὶ ὑπολαμβάνοντος
ἐπὶ τὸ οἰκεῖον ὀρεκτὸν καὶ ὑπόληπτον φέρεσθαι
κατὰ φύσιν μὴ εἶναι ἐπ' αὐτῷ τοῦ ὄντος ἢ ἀναλόγως
ὥσπερ οὐδὲ ἐπὶ τῷ βώλῳ τὸ ἐπὶ τὸ κάτω φέρεσθαι.
ἢ πυρὶ ἐπ' αὐτῷ καὶ ἡ ἐπὶ τὸ ἄνω φορά. καὶ πρὸς τούτους
οὖν ῥητέον. ὅτι διττή ἐστιν ἡ ἀνάγκη. ἡ μὲν ἀντικειμένη
πρὸς τὸ αὐτεξούσιον. ἡ δὲ συνυπάρχουσα αὐτῷ. ἡ
μὲν οὖν ἔξωθεν ἀναιρεῖ τὸ αὐτεξούσιον. οὐδεὶς γὰρ
ἔξωθεν ἀναγκαζόμενος τι ποιεῖν ἢ μὴ ποιεῖν αὐ-
τεξουσίως ἐνεργεῖν λέγεται. ἡ δὲ ἔνδοθεν ἡ πάντα
ἀναγκάζουσα κατὰ τὴν ἑαυτῶν φύσιν ἐνεργεῖν,
αὕτη φυλάττει μᾶλλον τὸ αὐτεξούσιον. καὶ γὰρ τὸ αὐτο-
κίνητον κατὰ τὴν τοῦ αὐτοκινήτου φύσιν ὑφ' ἑαυτοῦ
κινεῖσθαι ἀνάγκη. καὶ οὐ δι' αὐτοῦ ἑτεροκίνητόν ἐστιν.
ἡ γὰρ ἔξωθεν ἡ ἀνάγκη. ἀλλ' αὕτη συνοῦσα τῇ τοῦ αὐτο-
κινήτου φύσει καὶ σώζουσα αὐτήν. καὶ εἰς τὰς οἰκείας
ἐνεργείας προάγουσα. ἡ δὲ καὶ τῆς ἕξεως καὶ τῆς δια-
θέσεως τῆς καλλίονος καὶ τῆς χείρονος ἐν αὐτῇ. ἀρτία
μὲν ἡ ψυχὴ διὰ τῆς ἁρμονίας τε καὶ ἀναρμοστίας. ἀλλ' οὐ-
δὲ τῶν ἀπὸ τῆς ἕξεως καὶ διαθέσεως ἐνεργειῶν αὐτῶν
αἰτιατέον. οὐ μέντοι οὐδὲ τούτῳ χρὴ κρίνειν ἀπὸ τῶν
τὸ αὐτεξούσιον καὶ τὸ ἐφ' ἡμῖν. τὸ δύνασθαι καὶ τὰ ἐ-
ναντία ποιεῖν. αἱ γὰρ τῶν ἀγαθῶν ἀεὶ συνηρτημέναι ψυχαὶ
ἀεὶ τὸ ἀγαθὸν αἱρούμεναι. καὶ αὐτεξούσιον ἔχουσι τὴν
αἵρεσιν. οὐ γάρ ἐστιν αἵρεσις ἡ ἀναγκασμένη καὶ τοῦ
ἀγαθοῦ ἀεὶ ἔχουσιν αὐτήν. οὐδέποτε πρὸς τὸ ἐναν-
τίον ὑποφερόμεναι. αἱ δὲ ἡμέτεραι ψυχαί, ἀγαθαὶ μὲν
οὖσαι, τῶν ἀγαθῶν ὀρέγονται. καὶ κακαὶ γινόμεναι
τῶν κακῶν. μεταβάλλουσι γὰρ καὶ ἀπὸ κακίας εἰς ἀρε-
τὴν ἀγόμεναι.

καὶ ἀπὸ ἀρετῆς εἰς κακίαν ἀμείβουσαι· καὶ ἑκάτερον
κατὰ αἵρεσιν οἰκείαν αὐτοῦ κατὰ τὴν ψυχὴν ποιοῦντα·
διὰ τοῦτο τοίνυν ὁ θεὸς κακίας ἀναίτιός ἐστι· κἂν γὰρ
ἐποίησε ψυχὴν κακύνεσθαι πεφυκυῖαν. διότι
μὴ τὰ πρῶτα μόνον παράγειν, ἀλλὰ καὶ τὰ μέσα
καὶ τὰ ἔσχατα· ἵνα καὶ τέλειον τὸ πᾶν οὕτως ἀπο-
τελεσθῇ· καὶ τὰ πρῶτα οἷον τὰ πρῶτα μὲν ἡ
καὶ μὴ ἔσχατα καὶ ἄτομα καὶ ἀκήρατα καὶ ἄυλα
γίνηται· ἐποίησε μὲν οὖν διὰ τοῦτο καὶ τὴν
πεφυκυῖαν κακύνεσθαι ψυχήν· ἀγαθὸς ὢν διὰ τὸν
πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος· ἀλλ' οὐ συνεχώ-
ρησεν ἄλλως αὐτὴν κακύνεσθαι, εἰ μὴ αὐτὴ θέλῃ.
πρὸς δὲ τοὺς λέγοντας τὴν εἱμαρμένην περιφορεῖν
μὴ μόνον τὰς τάξεις ἡμῶν, ἀλλὰ καὶ τὰς αἱρέσεις
ἀναγκάζειν· καὶ μηδὲν ἐφ' ἡμῖν ἀπολείπειν.
ἀλλ' οἴομαι μόνον εἶναι τοῦτο ἐφ' ἡμῖν· ῥητέον
ὡς εἴπερ ἀγένητος καὶ ἄφθαρτός ἐστιν ἡ λογικὴ
ψυχὴ ὅπερ νῦν ὡς ὑποκείμενον εἰλήφθω ἀπο-
δεδειγμένον ἄλλοις· κἂν οἱ ἀπὸ τῆς στοᾶς ἄλλον
τρόπον τι περὶ αὐτῆς δοξάζωσιν· εἰ γοῦν ἀγένητος
καὶ ἄφθαρτός ἐστιν ἡ λογικὴ ψυχή· αὕτη μὲν, κἂν
ὑπὸ τῶν κινουμένων αἰτίων ἐφίστασθαι λέγοιτο·
τὸ δὲ ὄργανον αὐτῆς τουτέστι τὸ ζῷον ὅπερ ἐστὶ
τὸ σῶμα καὶ τὸ τῆς ζωῆς ματα τοῦτο ἐκεῖθεν μετά-
γεται· τὰ γὰρ κινούμενα αἴτια, κατὰ τὴν διά-
φορον πρὸς τὰ τῇδε σχέσιν, ἄλλοτε ἄλλοι
ὑφίσταται καί· τὸ δ' ὄργανον, οἷον παρέχει
τῇ χρησομένῃ ψυχῇ· ὥσπερ οὖν ἀπὸ τῆς τῶν
τεχνικῶν ὀργάνων διαφορᾶς, δυνατόν ἐστι
τοῖς χρωμένοις αὐτοῖς τεχνίταις ἐπιγινώσκειν. ὅτι

ταῦτα μὲν τέκτονος· ἐκεῖνα δὲ οἰκοδόμου· καὶ ἄλλως χαλεπ-
ὸν οὐχ ὅλον ἑρμηνεῦσαι μόνον οὕτως· ἀλλὰ καὶ τὰς ἕξεις τῶν
χρωμένων αὐτοῖς τεχνιτῶν· καὶ τὰς ἐν τῇ τέχνῃ ὀ-
ρέξεις καὶ τὰ ἀποτελέσματα δυνατὸν ἀπὸ τῶν ὀρ-
γάνων διαγνῶναι ὥσπερ οἱ περιττόν ἢ τῇ κατὰ τὰς τέ-
χνας ἔχοντες καὶ τοῖς ὀργάνοις ἀκριβέστερον κεχρημένοι
ὅλη πως οἱ περὶ τὴν ἀστρολογίαν δεινοὶ τὴν τοῦ ὀργάνου
φύσιν ἀπὸ τῆς τῶν αἰτιῶν διαφορᾶς ὁρῶντες· ὁ
περὶ τῆς ἕξεως τῆς ὀργάνῳ χρησομένης στοχάζον-
ται πολλὰ ἐπιτυγχάνουσιν· ὅτι αἱ πολλαὶ
τῶν ψυχῶν καὶ μανίαι ἐν ταῖς μοχθηραῖς πολιτεί-
αις αἱ ἂν αἱ βάρβαροι μὲν αἱ ψυχαὶ ἀπὸ προτέρας ἀξι-
ώσεως φέρονται ἐκδιδοῦσαι τοῖς ὀργάνοις ἑαυτὰς πρό-
τερον· ὡς μηκέτι ὡς ὀργάνοις· ἀλλ᾽ ὡς μέρεσιν
οἰκείοις κεχρῆσθαι κατ᾽ ἐκεῖνα καὶ τὰς οἰκείας ὀρέξεις
προβάλλονται· ἔτι δὲ καὶ σύμφωνός ἐστιν ἡ εἰρη-
μένη περὶ φορᾶς τῇ προβολῇ τῶν ψυχῶν τῇ καθ᾽
αὐτὴν ἐρχομένῃ εἰς τὴν σύνεσιν· οὐκ ἂν γὰρ καὶ ζῷα
μὲν τὰς ψυχὰς τῶν δὲ ὀργάνων ἢ τῶν συμφώνως
δεούσας ταῖς ὀρέξεσιν αὐτῶν· ὥσπερ οὖν ἐν ταῖς
πόλεσιν οἱ μὲν ἱεροὶ καιροὶ καὶ τόποι τοὺς θεοσε-
βεστέρους καὶ σπουδαιοτέρους εἰς ταυτὸν συνάγουσιν·
οἱ δὲ πρὸς τὰς δημώδεις ἢ δόμας ἐπιτηδείους τοὺς
μοχθηροτέρους ἐζοῦντας καὶ ἀνασωτέρους συναθροί-
ζουσι· καὶ ἔστιν ἀπὸ τῶν καιρῶν καὶ τῶν τόπων τῆς
ἁρμονίας περὶ φορᾶς περὶ τῶν συμφώνως
αὐτῇ συνερχομένων εἰς γένεσιν ψυχῶν ἀπο-
φαίνεσθαι· ὅταν γὰρ τὸ κοχλιακὸν εἶδος τῆς θε-
ματότητος ἢ πρὸς τὸν ... τρόπον τῆς εἰρη-
μένης θέσεις οἰκείως ἔχει, τότε εἰς ἐκείνου τὸ π

αἱ κολάσεως δεόμεναι ψυχαὶ καταπέμπονται· ὥσ-
περ γὰρ ἐν πᾶσιν ἡ ὁμοιότης καὶ οἰκειότης ἐστὶν
οὐκ ἀναγκάζει τοίνυν τὰς ὀρέξεις τῶν ψυχῶν ἡ εἱ-
μαρμένη· οὐδὲ τὸ ἐφ᾽ ἡμῖν ἀναιρεῖ· ἀλλὰ συμφωνοῦ-
σι καὶ ἥρμοσται, ποτὲ μὲν πρὸς τήνδε· ποτὲ δὲ πρὸς τήνδε
τὴν εἱμαρμένην εἰσί· καὶ τοῖς κατ᾽ ἀξίαν κατασκευα-
ζομένοις ὀργάνοις ὅπερ ἐστὶ τὸν πρότερον συντυπού-
μεναι· εἰκότως ἀπὸ τῆς εἱμαρμένης περιφορᾶς ὁ-
ποίας ἕξουσι τὰς ὀρέξεις γινώσκονται· καὶ αἱροῦνται μὲν
τοὺς βίους αἱ ψυχαὶ κατὰ τὴν προτέραν ἑαυτῶν τῆς
ζωῆς ἀξίαν καὶ τάξιν· τοῦ δὲ εὖ ἢ κακῶς χρήσασθαι
τοῖς βίοις, ἐν ἑαυταῖς τὴν ἐξουσίαν ἔχουσι· διὸ
καὶ ἐμπορικόν τινες ἑλόμενοι βίον, εὖ ζῶσι πολλάκις.
καὶ φιλοσοφεῖν δοκοῦντες ἀσχημονοῦσι· διότι τὰ μὲν
εἴδη τῶν βίων αὐταὶ οἷον γεωργικὸν ἢ ἐμπορικὸν ἢ
μουσικὸν βίον, αὐταί τε αἱ ψυχαὶ κατὰ τὴν προτέραν
ἑαυτῶν τάξιν αἱροῦνται· καὶ τὸ πᾶν αὐταῖς ἀφορίζει
κατὰ τὴν ἀξίαν· τὴν δὲ ποιότητα τῆς ζωῆς, ἀπ᾽ ἑαυτῶν
προστιθέασιν αἱ ψυχαί· διὸ καὶ τυγχάνουσιν
ἐπὶ ταῖς διαφόροις προαιρέσεσιν· ἄλλους δὲ φασὶν
τι ἀπὸ τῆς εἱμαρμένης ἐνδίδοται, ὥσπερ τολμῶσι
λέγειν ὅτι πανοῦργοι καὶ παιδερασταὶ καὶ μοιχοὶ γί-
νονται· καὶ γὰρ ἀληθεύουσί τινες ποτὲ τῶν ἀστρο-
λόγων ταῦτα προλέγοντες τοῦ τὴν τοιαύτην ἐ-
κθεν ἰοῦσαν ἰδιότητα ἀσυμμέτρως δεχομένων
ἢ μᾶλλον ἢ συμμέτρως· καὶ γὰρ ἀφορμήσεως παραλλάξεις
καὶ πανουργία ποιεῖ καὶ τὸ παιδεραστικὸν
ἰδίωμα· οἱ μὲν συμμέτρως ὑποδεχόμενοι, στρα-
καὶ ἐργάται γίνονται τῆς νεότητος· οἱ δὲ ἀσύμ-
μέτρως ὀλέθριοι καὶ διαφθορεῖς ἐπεὶ καὶ εἰς τὰς ἡλια-κὰ

αὐτίν

ἀσυμμέτρως ἀτενίζουσι, πηροῦνται καὶ σκοτί-
ζεται τὴν ὄψιν· καίτοι φωτοδότης ὁ ἥλιος· καὶ τοῦ
ὁρᾶν καὶ ὁρᾶσθαι αἴτιος. πόθεν οὖν οἱ ἀστρολόγοι γι-
νώσκοντες τίνες συμμέτρως καὶ τίνες ἀσυμμέτρως
μεθέξουσι· τοὺς μὲν, φρονίμους· τοὺς δὲ, πανούρ-
γους ἔσεσθαι λέγουσιν· ἀλλ' ἄρα ἀδύνατον ἐμφαίνει τούτων
τεκμήρια ταῖς σχηματογραφίαις· τὰ μὲν φανερά.
ὥσπερ ἡ ἐν καρκίνῳ τοῦ ἡλίου θέσις, ἀσυμμετρό-
τερον ὑφ' ἡμῶν μετέχεσθαι· τὰ δὲ καὶ ἀφανῆ τοῖς
τὴν τέχνην ἀγνοοῦσι τὴν ἀστρολογικήν. ὅτι γὰρ τὰ
κατὰ φύσιν ἔχοντα ἀεί· καὶ τὴν δημιουργικὴν φυ-
λάττοντες φύσιν· καὶ δύναμιν ἔχοντα τὴν ἀκροτά-
την βούλησιν ἀγαθὴν ἔχει· καὶ κακοῦ οὐδενὸς αἴτια
ἐστὶ πρόδηλον· πᾶσα γὰρ κακία, δι' ἀδυναμίαν
συμβαίνει· ὥσπερ ἡ δύναμις ἀγαθόν τί ἐστιν. ἡ μέντοι
ἀσύμμετρος καὶ τῶν ἀγαθῶν μέθεξις, βλαβερὰ γί-
νεται πολλάκις. ταῦτα μὲν οὖν καὶ πρὸς τοὺς ἀπὸ
τῆς εἱμαρμένης τὸ ἐφ' ἡμῖν ἐπιχειροῦντας ἀναιρ-
εἰρήσθω· κοινῇ δὲ λελέχθω πρὸς πάντας ὅτι οἱ τὸ
ἐφ' ἡμῖν ἀναιροῦντες καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς,
τὴν αἰτίαν τῆς ψυχῆς δι' αὐτοῦ φθείροντες. τὸ γὰρ
αὐτοκίνητον αὐτῆς ἀναιροῦσι καθ' ὃ μάλιστα οὐσίωται.
εἴτε γὰρ αὐτοκίνητός ἐστιν, ἔνδοθεν ἀφ' ἑαυτῆς
ἐγείρεται πρὸς τὰς ὀρέξεις καὶ τὰς ὁρμάς. καὶ οὐκ ἔξωθεν
ποθεν ἑλκομένη καὶ ὠθουμένη ὥσπερ τὰ σώματα.
εἴτε ἔξωθεν κινεῖται οὐκέτι ἐστὶν αὐτοκίνητος· ἔσται
τὴν ζωτικὴν ἐκτέμνειν τῆς ψυχῆς, καὶ τὴν συγκατά-
θεσιν αὐτῆς καὶ ἀπάρνησιν ὅπερ λογίζονται
οἱ τὸ ἐφ' ἡμῖν ἀναιροῦντες. τίς δὲ οὐκ ἔχει συναί-
σθησιν τοῦ θέλειν καὶ μὴ θέλειν· καὶ τοῦ αἱρεῖσθαι καὶ
ἐκκλίνειν.

καὶ τοῦ συγκατατίθεσθαι καὶ        ἀποφαίνονται
ἔνδοθέν τε κίνησις ἀπ' αὐτῆς τῆς ψυχῆς καὶ ὁ ὑπ' ἔξω
ὠθεῖσθαι ἢ ὅλως καὶ τινες ὡς ἐπὶ τῶν ἀψύχων· ταύτῃ
γὰρ διαφέρει τὰ ζῶντα σώματα τῶν ἀψύχων ὅτι
ἔνδοθεν κινεῖται· εἰ δὲ τοῦτο ἀληθές ἐστι, τὸ κινοῦν
αὐτὰ ἀκίνητόν ἐστι καὶ οὐχ ἑτεροκίνητον· εἰ γὰρ ἔξωθεν
ἐκεῖνο ἐκινεῖτο, καὶ τὸ σῶμα δὴ πρότερον ὑπ' ἐκείνου
ἐκινεῖτο τοῦ ἔξω ὡς πρότερον εἴρηται· καὶ οὐκέτι
ἔνδοθεν ἀλλ' ἔξωθεν κινούμενον παραπλησίως ἂν
τοῖς ἄλλοις ἀψύχοις καὶ αὐτὸ ἄψυχον ἂν ἦν· ἔτι δὲ
οἱ τὸ ἐφ' ἡμῖν ἀναιροῦντες καὶ τὸ θέλειν καὶ τὸ μὴ θέλειν
καὶ αἵρεσιν καὶ προαίρεσιν· καὶ ὄρεξιν καὶ κρίσιν
καὶ ὁρμὴν καὶ τὰ τοιαῦτα, οὗτοι καὶ τὴν ἀρετῆς καὶ κα-
κίας ψυχικῆς διαφορὰν ἀναιροῦσι· καὶ ἔπαινον καὶ
ψόγον οὐκ ἀπολείπουσι δίκαιον· ἀλλὰ καὶ τοὺς ἐπὶ τούτοις
καλῶς κειμένους νόμους ἀνατρέπουσι· καὶ ὁ γὰρ τοιοῦτος
ἂν εἴη τῶν ἀγώνων ὅμοιος, τούτων δὴ ἀναιρουμένων· ὅτι γὰρ
τῶν θηρίων οὐδὲν ἀπέχων· τί οὖν φαίη τις ἄν· ὅτι
ἀναγκαζόμενοι ὑπὸ τυράννων ἢ ὑπὸ παθῶν οἰκείων·
καὶ συμπαθειῶν ἢ ἄλλων τινῶν παθῶν, αἱρούμεθα τάδε
τινὰ ποιεῖν ἢ πάσχειν καὶ μὴ κυριευόμενοι· καὶ πῶς τὸ
ἐφ' ἡμῖν ἔτι τό τε καὶ αὐτεξούσιον ὀρθωθήσεται· λέγω
τοίνυν ὅτι καὶ τότε ἡ αἵρεσις αὐτεξούσιός ἐστι· καὶ γὰρ
προηγουμένως οὐκ ἦν αἱρετὸν ἐκεῖνο ἐφ' ὃ δι' ἀνάγκην
φερόμεθα· ἀλλ' ὡς πρὸς ἄλλο τι χεῖρον παραβαλλόμενον
αἱρετὸν δοκεῖ· καὶ αἱρούμεθα αὐτό· καὶ ἀδύνατον ποι-
ῆσαί τι· μὴ πρότερον ἐπινεύσαντα πρὸς τὸ ποιῆσαι.
ὁ γὰρ τοῦ ἀνελέσθαι ποιεῖν τι ἄκων· ὥσπερ ὁ
ἐμπίπτων τινὶ ἄκων ὑπ' ἄλλου ὠθούμενος, οὗτος
ἀψύχου δίκην ποιεῖ· καὶ οὐδὲ ποιεῖν ἂν λέγοιτο τό τε κυρί-
ἀλλὰ πάσχειν.

διὸ κἂν ἀκουσίως ποιῶμεν, ἀλλ' αἱρούμεθα ὅμως
τὸ οὕτως ποιῆσαι· τοιγαροῦν τῆς αὐτῆς αἰτίας δὴ ἡμῖν
ἐπεμνήσθησαν· οἱ μὲν, εἵλοντο ποιεῖν τὸ ἐπιταχθὲν
διὰ φόβον μείζονος κακοῦ· οἱ δὲ, οὐχ εἵλοντο τὸ μεῖζον κακὸν
ποιῆσαι τὸ ἐπιταχθὲν τοῦ ἀπειλουμένου τοῖς μὴ ποι-
οῦσι νομίζοντες· οὕτως ἄρα καὶ ἐν τοῖς ἀκουσίως
τι ποιεῖν δοκοῦσι, σώζεται τὸ ἐφ' ἡμῖν καὶ τὸ αὐτε-
ξούσιον· οὐ γὰρ ταὐτό ἐστι τὸ ἑκούσιον καὶ τὸ ἐφ' ἡμῖν·
ἀλλ' ἑκούσιον μὲν τὸ προηγουμένως αἱρετόν· ἐφ' ἡμῖν
δὲ οὗ τὴν ἐξουσίαν ἔχομεν εἰς τὸ αἱρεῖσθαι· εἴτε προ-
ηγούμενος, εἴτε δι' ἀποφυγὴν κακοῦ μείζονος· καὶ ἔστι
δὲ ὅτε καὶ τὸ ἑκούσιον συμμίγνυται τῷ ἀκουσίῳ·
ὅταν καὶ τὸ αἱρετὸν μὴ καθαρῶς αἱρετὸν ᾖ, ἀλλὰ καὶ
ἀναιρέτου μετέχῃ· καὶ καλῶς ὁ Ὅμηρος τὴν τοιαύ-
την τῇ ἀνάγκῃ μῖξιν ἐνεδείξατο τοῦ ἑκουσίου καὶ τοῦ
ἀκουσίου· διὰ τοῦ ἑκὼν ἀέκοντί γε θυμῷ· ταῦτα
ἐκ λόγων μὲν κείσθω· διότι πᾶς σχεδὸν ὁ προκείμενος
λόγος, ἀπὸ τῆς τοῦ ἐφ' ἡμῖν διαιρέσεως ἤρτηται·
παιδευτικὸς γὰρ ὢν καλῶς εὐθὺς ἐξ ἀρχῆς ποιεῖ
τὸ ἀγαθὸν καὶ τὸ κακὸν ταῖς ἡμετέραις χερσὶ τίθεσθαι· καὶ
ὅτι αὐτοκίνητοι ὄντες ἐν ταῖς ἡμετέραις ἐνεργείαις
ἔχομεν αὐτά· τὰ μὲν γὰρ ἑτεροκίνητα ὥσπερ
τὸ εἶναι, οὕτω καὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ἑτέρωθεν
ἔχουσι κατὰ τὸ ἐγγινόμενον αὐτοῖς ἔξωθεν πάθος·
τὰ δὲ αὐτοκίνητα τῆς ἑαυτῶν κινήσεως καὶ ἐνερ-
γείας αἰτιῶνται· καὶ τὸ ἀγαθὸν τὸ ἑαυτῶν καὶ τὸ
κακὸν ἐν ταύταις ἔχουσιν· ἐνέργειαι δὲ αὐτῶν κύριαι·
κατὰ μὲν τὸ γνωστικὸν αἱ τῶν ὄντων ὑπολήψεις
εἰσί· κατὰ δὲ τὸ ζωτικὸν καὶ ὀρεκτικὸν αἵ τε ὀρέ- ss
ξεις καὶ ὁρμαί· διὸ ὅταν μὲν ὀρθῶς ὑπολαμ-

βάνωμεν

ὀρεγώμεθα καὶ ἡγεμόνων δεόντων, τό τε τὸ ἀ-
γαθὸν ἑαυτῶν, καὶ τὴν κατὰ φύσιν ἀρχομένων τε ἡμῶν·
ὧν δὲ μή, τὰ ἐναντία· ὅτι καὶ διὰ ἡμῶν ἐστὶν ἡ ἀρ-
ταῦτα ὡς ἡ φύσει μὲν μόνων κατὰ τὴν ἡμετέραν ἀρετὴν
ἐναργούμενα· αἱ μὲν γὰρ πράξεις αἱ περὶ τὰ ἐκτὸς,
αἵ τε κατὰ τὰς τέχνας, καὶ τὰς ἐν τῷ βίῳ χρείας, ἐκ
τὸ διδασκαλίαν καὶ παιδείαν· καὶ ἔτι τούτους ἐμπόδια·
πολλῶν δεῖται τῶν συναιρομένων· τὸ δὲ ὑπολαμ-
βάνειν καὶ αἱρεῖσθαι ἡμᾶς αὐτῶν ἐστὶν ἴδια ἔργα ἐν
τῇ ἐξουσίᾳ τῇ ἡμετέρᾳ κείμενα· διὸ καὶ ἐν ἑαυτοῖς
τὸ ἀγαθὸν ἡμῶν καὶ τὸ κακόν ἐστιν, οὐδεὶς γὰρ ἂν δι-
θύων ὅρον ἐπ' ἀκμαίοις ὠνοῦ κἄστιν:·

οὐκ ἐφ' ἡμῖν μὲν γ' τὸ σῶμα ἡ κτῆσις. δόξαι. ἀρχαί. καὶ
ἑνὶ λόγῳ ὅσα οὐχ ἡμέτερα ἔργα:·

Ὅτι μὲν δὴ μὲν τούτοις συντέταχθ' ἡ ψυχή, διὰ τοῦτο ταῦτα
οὐκ ἐφ' ἡμῖν εἶναι λέγεται· ἐπειδὴ τὸ σῶμα καὶ ἡ κτῆσις
προσομοούσης μὲν αὐτῆς, κἄν μὴ ὅμως διατίθεται, ἀ-
μελούσης δὲ χείρονως· καὶ πρὸς τὸ ἔνδοξον ἀφορμὰς
αὐτὴ διδῶσι καὶ ἀρχάς, διὰ σπουδῆς οἰκείας πε-
ποίηται· καὶ οὐδὲν ἀρχοι μάλιστα ἐν ταύταις ταῖς
πολιτείαις· μὴ καὶ αὐτῆς ἑλομένης· ἀλλ' ὅτι οὐ μόνη
αὐτὴ κυρία ἐστὶ τούτων, ἀλλὰ καὶ ἄλλων δεῖται· ταῦτα
πολλῶν τῶν τῇ ψυχῇ συναιρομένων ἵνα γένηται, διὰ
τοῦτο οὐκ ἐφ' ἡμῖν ταῦτα εἶναι φασί· καὶ γὰρ τὸ σῶμα
δεῖται μὲν καὶ τῶν ἐξ ἀρχῆς σπερμάτων ἐρρωμένων·
καὶ συμμέτρως ἡλίου. δεῖται δὲ καὶ εὐτροφίας·
καὶ γυμνασίων τόπων τε καὶ ἀέρων εὐκράτων καὶ τῶν
ἄλλων χρημάτων· καὶ ἐπὶ τούτοις πᾶσι μέχρι το-
σοῦτο ἰσχυρότερον ποιεῖν, ὅτι ἂν εἰς αὐτὸ βούλεται·
καὶ τούτων οὐδὲ μιᾶς ἡμεῖς ἐσμὲν κύριοι. πρὸς τὸ πάν-

πάντως περιποιῆσαι ἢ ἀποσοβῆσαι· πολεμίων γοῦν
ἐπιόντων ἰσχυροτέρων, ἐβουλήθη μὲν ἂν ἀφανὲς
γενέσθαι· καὶ νοσοῦντες ἀθρόως ὑγιᾶναι· καὶ ὅμως
οὐκ ἔχειν τῷ ἡμῖν· ὁμοίως δὲ καὶ ἡ κτῆσις ἔχει· καὶ
πρὸς περιποίησιν πολλῶν δεομένη τῶν συναιρο-
μένων· καὶ πρὸς μείωσιν πολλοῖς τοῖς δυνατωτέροις
ὑποκειμένη· καὶ αἱ δόξαι δὲ αἱ περὶ ἡμῶν οὐκ ἐφ' ἡμῖν
εἰσί· κἂν ἀφορμάς τινας αὐτοῖς καὶ ἡμεῖς παρεχώμεθα,
ἀλλ' ἐπὶ τοῖς δοξάζουσιν· ἐν αὐτοῖς γάρ ἐστιν ὅπως
βούλονται ἀπολαμβάνειν· τοιγαροῦν καὶ ἀσεβοῦσι
πολλάκις περὶ τὸ θεῖον· αὐτοί τε εὐσεβεῖν ἑαυτοὺς ἡ-
γοῦνται καὶ ὑπὸ τῶν ἄλλων τοιοῦτοι νομίζονται· καὶ
τοὐναντίον ἄλλοι σεμνοτέρας καὶ μεγαλειοτέρας ὑπο-
λήψεις ἔχοντες περὶ τοῦ θείου· καὶ ὄντι κἂν καὶ εὐλαβη-
παραιτούμενοι περὶ αὐτοῦ λέγειν· ἀσεβεῖς περὶ τινῶν
ὑπολαμβάνοντες· καὶ τοὺς σωφρονοῦντας· ἠλιθί-
ους (ἢ γοῦν) τινές· οὕτως τὸ εὐδοξεῖν ἢ κακοδοξεῖν οὐκ ἐφ'
ἡμῖν ἐστίν· ἀλλ' ἐπὶ τοῖς περὶ ἡμῶν τοίως ἢ τοίως
δοξάζειν ἐθελομένοις· αἱ δὲ ἀρχαὶ καὶ τῶν ἀρχομένων
δέονται, καὶ τῶν πρὸς τὸ ἀρχὴν συναιρομένων·
ἐνίαις δὲ πολιτείαις καὶ ὤνιοι ;; αἱ ἀρχαί, καὶ πολλοῦ
χρυσίου ἀποδιδόμεναι· ἐν ταύταις ὁ χρημάτων
ἀπορῶν, οὐκ ἂν εἰς ἀρχὴν παρέλθοι· κἂν πάνυ βού-
λοιτο. οὕτως τὰ τοιαῦτα πάντα τῶν οὐκ ἐφ' ἡμῖν
ἐστὶν οὐκ ὄντα ἡμέτερα ἔργα· ἐν δὲ τῇ διαιρέσει,
τῶν οὐκ ἐφ' ἡμῖν, πρῶτον τέθεικε τὸ σῶμα· διὰ γὰρ τὸ
τὸ σῶμα· εἰς σχεδὸν τῶν οὐκ ἐφ' ἡμῖν ἐμπεπτώκαμεν·
διὰ γὰρ τὰ χρήματα πάντες οἱ πόλεμοι· ταῦτα δὲ
ἀναγκαζόμεθα κτᾶσθαι, διὰ τὴν τοῦ σώματος
θεραπείαν:·

Καὶ τὰ μὲν ἐφ' ἡμῖν, φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαραπόδιστα· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ καὶ ἀλλότρια:

Εἰπὼν τίνα μὲν τὰ ἐφ' ἡμῖν, τίνα δὲ τὰ οὐκ ἐφ' ἡμῖν, ἐφεξῆς ὁποῖά ἐστιν ἑκάτερα παραδείκνυσιν· ὅτι τὰ μὲν ἐφ' ἡμῖν, ἐλεύθερα· ὅτι οὔτε γίνεσθαι ἀναγκάζεται ὑπ' , οὔτε ἄλλος ἔχει τὴν ἐξουσίαν τῆς χρήσεως αὐτῶν· τοιοῦτον γάρ ἐστι τὸ ἐλεύθερον αὐτεξούσιον ὑπάρχον καὶ κύριον τῆς ἑαυτοῦ χρήσεως· τὰ δ' οὐκ ἐφ' ἡμῖν τοῖς πορίζειν ἢ κωλύειν δυναμένοις ὑποκείμενα δεσπότας ἐκείνους ἔχει· καὶ δοῦλα ἐκείνων ἐστί· καὶ τὰ μὲν ἀρκοῦνται αὐταῖς ἐνσθενῶς δι' ἑαυτῶν· τὰ δὲ ἄλλων χρῄζοντα, ἀσθενῆ καὶ ἐνδεῆ ἐστί· καὶ τὰ μὲν ἀκώλυτά ἐστιν ὡς αὐτεξούσια· τίς γὰρ κωλύσει τοίως ἢ τοίως ὑπολαβεῖν ἢ ὀρεχθῆναι τινὸς ἢ ἀποστραφῆναι· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, καὶ πορίζεσθαι καὶ ἀφαιρεῖσθαι ὑπ' ἄλλων πέφυκε, ὑπ' ἐκείνων καὶ κωλύεται πολλάκις ἢ μὴ γινόμενα ἢ ἀφαιρούμενα· δῆλον δὲ ὅτι τὰ μὲν ἐφ' ἡμῖν ἡμέτερα ὄντα ἔργα ἴδια ἡμῶν ἐστί· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ὡς ἐν ἄλλων ἐξουσίᾳ κείμενα, ἀλλότριά ἐστιν· ὥς τε καὶ τὰ ἀγαθὰ καὶ τὰ κακά. τὰ μὲν τῶν ἐφ' ἡμῖν ἢ τὸ ἀληθῶς ὑπολαμβάνειν ἢ ψευδῶς ἢ ὀρθῶς ὀρέγεσθαι ἢ πλημμελῶς, ἡμέτερά ἐστιν ἀγαθὰ ἢ κακά· τὰ δὲ τῶν οὐκ ἐφ' ἡμῖν, οὐχ ἡμέτερα· ἀλλὰ τὰ μὲν τοῦ σώματος τοῦ ὀργάνου τοῦ ἡμετέρου· τὰ δὲ, τοῦ δοξαρίου ἔτι πορρώτερον:

Μέμνησο οὖν, ὅτι ἐὰν τὰ φύσει ἐλεύθερα δοῦλα οἰηθῇς:

Εἰπὼν τίνα τὰ ἐφ' ἡμῖν, καὶ τίνα τὰ οὐκ ἐφ' ἡμῖν ἐστι, καὶ ὁποῖα ἑκάτερά ἐστι, καὶ ὁποίαν ἔχειν πρὸς ἡμᾶς χρείαν.

ὅτι τῶν μὲν ἐφ' ἡμῖν ἑκάτερα ἐστί· τῶν δὲ οὐκ ἐφ' ἡμῖν ἀλλότρια·
παραινεῖ λοιπὸν συμφώνως ἡμᾶς τῇ φύσει αὐτῶν καὶ
μὴ παρηλλαγμένως περὶ αὐτὰ ἀναστρέφεσθαι· ταῦτα
γὰρ εὐδαιμονίας ἡμῖν καὶ κακοδαιμονίας αἴτια γίνονται·
τὸ μὲν γὰρ τυγχάνειν τῶν ἀγαθῶν καὶ κακοῖς μὴ περιπί-
πτειν, εὐδαίμονας ποιεῖ· τὸ δὲ τῶν ἀγαθῶν καὶ ὠ-
φελίμων ἀποτυγχάνειν· ἢ περιπίπτειν τοῖς βλα-
βεροῖς κακοδαίμονας· ἐπεὶ οὖν τὸ ἀγαθὸν ἡμῶν ἐστὶν
ἐν τῷ κατὰ φύσιν ὀρέγεσθαι καὶ ἐκκλίνειν· ταῦτα δ'
ἐν τοῖς ἐφ' ἡμῖν ἐστὶν ἐν τούτοις ζητητέον τὸ ἀγαθόν,
ἵνα τύχωμεν ζητοῦντες, διὰ τὸ κύριοι εἶναι
τοῦ τυχεῖν· ὥσπερ κύριοι τοῦ ὀρέγεσθαι καὶ ἐκκλίνειν
κατὰ φύσιν ἐσμέν· καὶ οὐ κοινοῦ τύχωμεν ἀγαθοῦ·
ἐὰν δὲ τῶν οὐκ ἐφ' ἡμῖν ὀρεγώμεθα· καὶ ἐν ἐκείνοις
ζητῶμεν τὸ ἀγαθόν, αἰσχρῶς ἀποτυγχάνειν ἀνάγκη·
καθ' ἕνα μὲν τρόπον πάντη καὶ πάντως· ὅτι κἂν
ἐπιτύχωμεν αὐτῶν οὐχὶ οἰκείων ἀγαθῶν ἐπετύχομεν·
καθ' ἕτερον δὲ ὅτι καὶ ἀποτυγχάνειν ἐν τοῖς πλείοσιν ἀνάγκη
τὸν τὰ ἀλλότρια ὡς οἰκεῖα ἐπιζητοῦντα· κωλυό-
μενον ἐκείνων τῶν ἐν ἄλλων ἐξουσίᾳ κειμένων· συμ-
βαίνειν οὖν ἐπὶ τούτων καὶ τὰς ὁρμὰς ἐμποδίζεσθαι
καὶ ταράττεσθαι μὴ εὐθυπορούσας καὶ λυπεῖσθαι πάντως
καὶ πενθεῖν· ὥσπερ γὰρ ἡδόμεθα τυγχάνοντες καὶ
ἐκκλίνοντες τὰ ἀναίρετα· οὕτως ἂν ἀποτυγχάνοντες
τῶν αἱρετῶν, ἢ τοῖς ἐκκλινομένοις περιπίπτοντες,
λυπεῖσθαι ἀνάγκη· καὶ τοὺς δοκοῦντας αἰτίους μέμ-
φεσθαι· ποτὲ μὲν ἄλλους, ποτὲ δὲ τοὺς τὰ ὅλα διοι-
κοῦντας· τάχα μὲν δ' ἔτι καὶ ἄλλο δεινόν· συμπά-
σχοντες γὰρ τοῖς οὐκ ἐφ' ἡμῖν, ὅταν ἀφέληταί τις
αὐτὰ προσαπόλλυμεν καὶ τὰ ἐφ' ἡμῖν· ἀλλ' ὑπὲρ ἐκείνων

η''

ἀφελέσθαι οὐδεὶς δύναται· τὸ ὀρθῶς ὀρέγεσθαι καὶ ἐκκλί-
νειν· ὧν δὲ ὅσα κακὰ ἕπεται τῇ παραλλαγῇ· ἐὰν δὲ
κακῶς τὰ οἰκεῖα καὶ τὰ ἀλλότρια διαθησόμεθα· καὶ
μὴ τῶν ἀλλοτρίων, ἀλλὰ τῶν μόνων οἰκείων ἀγαθῶν καὶ ἐφ' ἡμῖν
ὄντων ἀντεχώμεθα. τουτέστι τοῦ κατὰ φύσιν ὀρέγεσθαι
καὶ ἐκκλίνειν. οὔτε ἀναγκάσει ἄλλος· δῆλον ὅτι οὐδεὶς οὔ-
τε κωλύσει ποτὲ ἡμᾶς οὕτως ὀρέγεσθαι καὶ ἐκκλίνειν, οὔτε
ἀναγκάσει ἄλλως· ἅπερ ἐφ' ἡμῖν ἐστιν· διὰ τοῦτο οὔτε
λυπηθησόμεθά ποτε· λυπεῖ γὰρ ἡμᾶς οὐκ ἄλλο τι πλὴν
ἀποτυχεῖν τούτων. τοῦ τε μὴ τυγχάνειν ὧν ὀρεγόμεθα· καὶ τοῦ
περιπίπτειν ἐν οἷς ἐκκλίνειν σπουδάζομεν· ἐπεὶ δὲ
τῶν ἐφ' ἡμῖν ἐσπουδακότες· οὐκ ἀποτευξόμεθα τινὸς
ὧν ὀρεγόμεθα. οὔτε περιπεσούμεθα τινὶ ὧν ἐκκλί-
νομεν· ὥστε οὐδὲ φοβηθησόμεθα ποτέ τινας ὥσπερ
φοβούμεθα ἢ τοὺς κλέπτοντας ἡμᾶς, ἢ τοὺς τὰς ὠ-
φελείας κωλύοντας· οὐδεὶς δὲ ἰσχυρός ἐστιν οὕτως, ὡς
τὰς ὀρέξεις καὶ τὰς ἐκκλίσεις ἐν αἷς τὸ ἀγαθὸν καὶ κακὸν τοῦ
τοῦ κατὰ λόγον ζῶντος βιάσασθαι· ὥστε οὐδὲ ἐχθρ-
ὸν ἕξομεν τινά· ἐχθρὸς δὲ ὁ βλάπτων νομίζεται· βλα-
βερὸς δὲ οὐδείς ἐστι τῷ βλαβῆναι μὴ δυναμένῳ ὑπ' ἄλλου·
οὐδὲ μέμψεταί τινα ὁ τοιοῦτος οὐδὲ ἐγκαλέσει τινί·
ἀλλ' οὐδὲ ἄκων ποιήσει τι πρᾶξιν· ἀλλ' ἄλυπος ὢν καὶ ἄφοβος
καὶ ἐλεύθερος καὶ εὐδαίμων, ὄντως ὁ τοιούτου βίος ἐστὶν
ὁ ἐν εὐπαθείᾳ καὶ ἡδονῇ ζῶν· καὶ ὅρα ὅπως οὐ μόνον ὠφέ-
λιμον τέλος ἀλλὰ καὶ ἡδύτερον ἀποδείκνυσι τὸν τοῦ
σπουδαίου βίον· ὡς πρὸ ὁ Πλάτων ὅτι τὸ ζῶον κατὰ
φύσιν τοῦ ἡδέος ἀπέχεται τὰ λυπηρὰ τῶν ἡδέων.
τὰ μὲν, τοῖς ἀγαθοῖς ἡμῶν καὶ ὠφελίμοις σύνεστι· τὰ δὲ
τοῖς βλαβεροῖς· κἀνταῦθα χρὴ ἐμφαίνειν· ὅπως ἐὰν καὶ
ἐκκλινώμεθα τὰς ἐπωφελεῖς ἡδονάς· καὶ προσταῦτα
συνεθιζώμεθα.

ὅτι γὰρ ἡδυτέρα ἡδονὴ ἡ σωφροσύνη τοῦ σπουδαίου ἢ ἡ
ἀκολασία τῶν μοχθηρῶν; δηλοῖ τὸ τοὺς πολλοὺς μὲν
τῶν μοχθηρῶν σώφρονας μεταβάλλειν· τοὺς δὲ
σώφρονας, μετὰ λόγου καὶ φρονήσεως μηδέποτε
μεταπίπτειν ἐς ἀκολασίαν· καίτοι εἰ μὴ ἡ δίαιτα ἦν
ἐκπρεπὴς, πῶς τοῖς σώφροσιν ὁ τοιοῦτος βίος
ἀγαπῶν ἔχοντες αὐτὸν καὶ ἐναρετοῦντες ἠσπάζοντο.
ὅτι οὖν καὶ ἡδύτερος ἐστὶν ὁ τοῦ σπουδαίου βίος, δεί-
κνυσιν ἐκ τοῦ ἀνεμποδίστου καὶ ἀκωλύτου καὶ ἐκ πάσης
τῆς διαγωγῆς· τῶν ἐν τοῖς ἐφ' ἡμῖν μόνοις καὶ τὸ ἀ-
γαθὸν καὶ τὸ κακὸν ἀποτιθεμένων: · τηλικούτων
ἐφιέμενος μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον
ἅπτεσθαι αὐτῶν:

Εἴξας ἐν τῷ εἶναι τὸ ἀγαθὸν τὸ ἡμέτερον, ὅτι ἐν τοῖς
ἐφ' ἡμῖν καὶ ὁποῖος ἐστὶν ὁ βίος τοῖς ἐκεῖθεν αὐτὸ
πορίζεσθαι βουλομένοις· καὶ μὴ ἀπὸ τῶν ἐκτὸς
καὶ ἐφ' ἡμῖν ὄντων· καὶ ὅτι πρὸς τὴν τοῦ ἀγαθοῦ
τεῦξιν ἀνεμπόδιστος, καὶ ἀκώλυτος ἐστὶ παντελῶς
καὶ ὑπὸ βλάβης ἄτρεπτος· οὐδὲ μίαν ἐπὶ πᾶσιν τοῖς
βλαβεροῖς προσεχόμενος· καὶ οὐ μόνον ἀσφαλὴς
ἀλλὰ καὶ ἡδίων· οὔτε κατὰ τὴν ὄρεξιν ἐμποδιζό-
μενος, οὔτε ἐν ἐκκλίσει περιπίπτων τινί· ἀλλὰ πάντα
ἁπάντων μακάριός τε καὶ εὐδαίμων διατελῶν ἐφεξῆς.
προτρέπεταί τε καὶ συντείνει τὸν ἀκροατὴν ἀξίαν
ἐπιδείξασθαι προθυμίαν τῶν τοιούτων ἐπαγγελμάτων.
μὴ μόνον ὡς πάρεργον ἄλλου τινὸς ἡγούμενον
τὴν περὶ αὐτὰ σπουδήν. ἀλλὰ μηδ' ἄλλο τι πάρεργον
πρὸς αὐτὴν ποιούμενον· διὸ τῶν ἐκτὸς, ὅσα μὲν
ἀσύμφωνα πρὸς τὸν κατὰ φύσιν βίον τῆς λογικῆς
ψυχῆς ἐστὶν ὡς περιτροφαὶ καὶ ἡδοναὶ σωματικαὶ

ἐστὶν ἀκάθαρτοι πλοῦτοι καὶ δυναστεῖαι καὶ τυραννίδες·
ταῦτα παντελῶς ἀφιέναι παρακελεύεται. ὥσπερ
δ' ἴσως αὐτὸν ὂν καὶ περὶ ταῦτα σπουδάζειν· καὶ κατὰ φύσιν
ἔχον ἑαυτὸν φυλάττειν· τὰ δὲ ἄλλα ὅσα τῶν ἐν τοῖς
δυνατοῖς ἐμφρόνως μεταχειριζόμενα μὴ ἐμποδίζει
τοῖς ψυχικοῖς ἀγαθοῖς· οἷον οἰκονομήσει· καὶ ὁ καλίας·
γάμον τε ἔννομον· καὶ εὐγενῆ παιδοποιΐαν· καὶ δόξαν
δικαίαν. ἐνίοτε καὶ τῶν χρημάτων ἐπιμελεῖσθαι· ταῦτα
πάντα καὶ τὰ τοιαῦτα ὑπερθέσθαι πρὸς τὸ παρὸν παραιτεῖ-
ται τοῖς παιδευομένοις· εἰκότως. καὶ γὰρ ἀπείρους
αὐτοὺς εἶναι χρὴ παντάπασι θεῖν πρὸς τὴν τῆς παιδεί-
ας ἄσκησιν εἰ μέλλοιεν τελέως κατορθώσειν αὐτήν. καὶ μὴν
διὰ τὸ μέλλοντα ἐν τοῖς ἔργοις μὴ δημοτικῶς. ἀλλὰ κατὰ
δύναμιν τὸν ἀγαθὸν ἀναστρέφεσθαι καὶ φρόνησιν ἔχειν
τῶν ἐπιφερομένων καὶ βλαπτικῶν διακρίσει· καὶ τὰς
ἀλόγους ὀρέξεις ὑπεξαιρεῖν μὲν ἀεὶ τῷ λόγῳ. καὶ μὴ κα-
τεξανιστάναι μὲν ἀεὶ αὐτοῦ· ἀλλ' ἐφ' οἷς ἂν ἄλλος ὀρεκτοῖς
κελεύει κινεῖσθαι καὶ ὅτε· καὶ ἐφ' ὅσον· ἐπεὶ κἂν γένηται
τὸ μέτρον τὸ ἀφοριζόμενον αὐτοῖς διεστράφθαι· τὰ γὰρ
ἁμαρτήματα γίνεται ἢ τοῦ λόγου τὸ δέον μὴ ὁρίζοντος
δι' ἀφρονήσεως ἐλλείψεις· ἢ τούτου μὲν ὀρθῶς καὶ τὸ δέον
ὁρῶντος, ὅμως τὸ δέον πραχθῆναι· τῶν γε δὲ ἀλόγων
ὀρέξεων, δι' ἀσθένειαν κατεξανισταμένων τυραννι-
κῶς χαλαρὰς τοῦ λόγου κρίσεως ὥσπερ ἐν τῇ τραγῳδίᾳ, τὴν
μήδειαν ὑποκείμενον λέγει· καὶ μανθάνω μὲν οἷα
δρᾶν μέλλω κακά· θυμὸς δὲ κρείσσων τῶν γ' ἐμῶν βου-
λευμάτων· χρὴ τοίνυν τὸν μέλλοντα ζῆν ἀγαθῶς μά-
λιστα ἐν τῇ περὶ τὰ ἐκτὸς χρήσει. καὶ τὴν φρό-
νησιν παρασκευάσαι· καὶ τῶν ἀλόγων ὀρέξεων τὴν
μετριότητα· καὶ τὸ πρὸς τὸν λόγον εὐπειθές· καὶ γὰρ

ὡς προόπλοις ἀρραγέσι τούτοις πεφραγμένον κατὰ
καιρὸν ἀπέχεσθαι τῶν τοιούτων· διὸ καὶ τὰ συμ-
φωνοῦμεν δεῖν ἀμείνω τῶν ἐκτός. πρὸς τὴν ἀρετὴν
ὑπερθέσθαι πρὸς τὸ παρὸν παραινῶ τοῖς παιδευο-
μένοις, ὡς ἂν τύχωσι κἀκείνην ἀρετὴν αὐτῶν κτή-
σωνται· διὰ τῆς ἀπερισπάστου ἀσκήσεως· οὔτε
γὰρ εἰς πόλεμον ἀπιέναι χωρὶς ὅπλων καλόν,
οὕτω πραγμάτων χωρὶς φρονήσεως καὶ μετριο-
παθείας ἐφάπτεσθαι· αὐτὸς δὲ οὐκ ἀσύμφορόν μοι.)
ἀλλὰ καὶ ἀνήνυτον δείκνυσι τοῖς παιδευομένοις
τὴν περὶ τὰ ἐκτὸς σπουδήν· εὐφωνίας μὲν γὰρ
καὶ ὀρέξεων λογισμὸν καὶ ἐκκλίσεων δι' ὧν μόνων
ἐλευθερίαν καὶ εὐδαιμονίαν τοῖς ἀνθρώποις περιγίνεσθαι),
πάντων δ' ἀποτυγχάνειν ἀνάγκη· τοὺς καὶ τῶν ἐφ' ἡμῖν
ὀρεγομένους. καὶ ἐκκλίνοντας· δουλεύειν γε
ἀνάγκης ταῖς ἀλόγοις ὀρέξεσιν. ὡς λυττῶσι τε καὶ ἀγρί-
αις δεσπόταις· δουλεύειν δὲ καὶ τῶν ἀνθρώπων· τοῖς τε
πορίζουσι τὰ τοιαῦτα ὀρεκτὰ καὶ τοῖς κωλύειν δυνα-
μένοις ἵνα μὴ κωλύωσι, καὶ τοῖς ἐπάγουσι τὰ φευ-
κτά. ἔτι δὲ καὶ τῆς σχολῆς ἡμᾶς περιαιρουμένης τῶν
πρὸς τὴν οἰκείαν ἐπιμελεῖσθαι ἢ περὶ τὰ ἐκτὸς σπουδὴ
ἀποτυγχάνειν πάντως, τῶν οἰκείων ἀγαθῶν ποιεῖ.
οἱ γὰρ ἀμφότεροι γενόμενοι καὶ περὶ ἄμφω σπουδά-
ζοντες. οὔτε διακρίνουσι τὰ ἀγαθὰ καὶ τὰ μὴ τοιαῦτα,
οὔτε τὴν προσήκουσαν σπουδὴν τοῖς οἰκείοις ἀγαθοῖς
ἀπονέμουσιν. οὔτε μὴ σπουδάζοντες ὡς δεῖ περὶ
αὐτά, τυγχάνειν αὐτῶν δυνήσονται· ὡς ἐπίπαν,
καὶ τῶν ἐκτὸς ἀποτυγχάνουσιν. ὡς μὴ μόνοις αὐτοῖς
προσασχολούμενοι· ἀλλὰ μή γέ πη καὶ τῶν οἰκείων ἀγαθῶν

ὀρεγόμενοι· μηδὲ ἀμελεῖν πάντα ποιεῖν καὶ πράττειν
ὑπὲρ τῆς τεύξεως αὐτῶν αἱρούμενοι· ἀλλ' ἔστιν ὅτε
καὶ ὑπ' αἰδοῦς τινος ἀνθελκόμενοι· καὶ ἔστιν ὁ τοιοῦτος
βίος· τοῦ μὲν μονοτρόπως εἰς τὰ ἐκτὸς ἀποκλίναντος,
ἧττον μοχθηρός· ἐπίπονος δὲ καὶ ἀηδὴς ἐκείνου
μᾶλλον· συμπλακῆναι τὰ ἀσύμπλοκα σπουδάζων·
καὶ ἐναντιώσεσι καὶ μάχαις μεθ' ἑαυτοῦ συνεχόμενος·
καὶ ἀποτυγχάνων ἑκατέρου, διὰ τὸ ἑκατέρων ἐφίεσθαι·
λυπηρός τε ἐστὶ καὶ ἀναίρετος· ἐπιστῆσαι δὲ ἄξιον
ὅτι συνεχῶς ἐν τοῖς ἑξῆς ὁ Ἐπίκτητος χρῆται τῷ
μέμνησο, πρὸς τὴν λογικὴν ψυχὴν διαλεγόμενος. τὴν
συνουσιωμένους ἔχουσαν αὐτοὺς τοὺς τῶν ὄντων λόγους·
καὶ σύμφυτον ἑαυτῇ τὴν τῶν ὄντων ἀλήθειαν· ἀπομο-
νοῦσαν δέ ποτε πρὸς τὴν ἀλλοτρίαν θέαν τῶν πειρασμῶν,
τῆς ἐν αὐτῇ γνησιουργοῦ δυνάμεως· καὶ διὰ τοῦτο
εἰς λήθην ὑποφερομένην τὴν πάντων αὐτῇ τῶν καλῶν
αἰτίαν· καὶ δεομένην τοῦ συνεχῶς ἀκούειν τὸ μέ-
μνησο· ὅταν δὲ λέγῃ ὅτι τηλικούτων ἐφιέμενον, οὐδὲ
μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν· οὐ κυρίως
ἐπὶ τοῦ ἐμμέτρου καὶ συμμέτρου τῷ μετρίως·
ἀλλὰ καταχρηστικῶς ἐπὶ τοῦ ἐνδεοῦς ἐχρήσατο·
ὁ γὰρ κίνδυνος τὸ ἀποπεσεῖν τῶν οἰκείων ἀγαθῶν,
ἀναλκίμου φόβου λαμβάνει κατὰ τὸ σφοδρόν:

Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν
ὅτι φαντασία εἶ:

Εἰπὼν ὅτι χρὴ τὸν μέλλοντα τῶν οἰκείων ἀγαθῶν τυγχά-
νειν καὶ τὴν οἰκείαν εὐδαιμονίαν περιποιεῖσθαι ἀ-
περίσπαστον ἀπὸ τῶν ἐκτὸς φυλάττειν ἑαυτόν· ἐπειδὴ
καὶ τοῖς ἑαυτῶν ἐπιμελομένοις ἐμπίπτουσι πολλαὶ
φαντασίαι· αἱ μὲν ὀρεκτικαί τινος τῶν ἐκτός· αἱ δὲ ἐκκλιτικαί

Τὴν ἀναιρετ(ικὴν) διασκεπτέον πῶς δεῖ χρώμενον ταῖς τοιαύ-
ταις φαντασίαις ἀβλαβῆ μένειν ἀπ' αὐτῶν. τραχείας δ'
τὰς τοιαύτας φαντασίας ἐκάλεσεν, ὡς ἀλόγους
καὶ παροίστρους· καὶ τραχυνούσας ὄντως τὴν ζωὴν
τῇ ἀσυμμετρίᾳ καὶ ἀνωμαλίᾳ τῶν κινήσεων.
ὅπερ δὲ ἐν τοῖς ἑξῆς σαφέστερον παραινεῖ τὸ μὴ συν-
αρπάζεσθαι ἀθρόως ὑπὸ τῆς ἐμπιπτούσης φαντασί-
ας ἢ ὀρεκτικῆς ἢ ἐκκλιτικῆς, τοῦτο καὶ νῦν λέγει· ὅτι
χρὴ πρὸς αὐτὴν κινηθέντα ἀθρόως ἀνθίστασθαι· καὶ
τέως τὴν σφοδρότητα αὐτῆς ἐκλύειν διὰ τῆς ἐννοί-
ας τοῦ φαντασίαν εἶναι. αἱ δὲ φαντασίαι, ποτὲ μὲν
ἀληθῶς εἰσὶν ἀντιτυπωτικαί· καὶ ὡς ἀληθῶς ἐπω-
φελῶν ἢ ἡδέων, ποτὲ δὲ διακενῆς ὀνειροπολοῦσιν.
αὐτῷ τε οὖν τούτῳ τῷ διατεθῆναι ἀθρόως ὅτι οὐ
πάντως τὸ τοιοῦτόν ἐστι τὸ φανταστὸν οἷον φαντά-
ζεται, χαλᾶται τὸ σύντονον τῆς φαντασίας· ὥστε
μὴ παρεμποδίζειν τὴν τοῦ λόγου κρίσιν. καὶ ἀθρόως
μετὰ τὸ γαληνιᾶσθαι τὴν φαντασίαν· καὶ τῆς ταρα-
χθέντος ἀπαλλαγῆναι, παραινεῖ προσάγειν ἀκριβῆ
διάθεσιν τοῦ φαντασθέντος. πολλοὶ δέ εἰσι τῶν
τοιούτων κριτικοὶ κανόνες· οἱ μὲν, ἀπὸ ταύτης τῆς
φύσεως τῶν φανταστῶν λαμβανόμενοι· πότερον
ψυχικὸν ἀγαθὸν ἢ σωματικὸν ἢ τι τῶν ἐκτὸς ἀγαθῶν.
καὶ πότερον εἰς ὠφέλειάν τινα τείνουσιν, ἢ πρὸς ἡ-
δονὴν μόνην. ἔτι δὲ καὶ εἰ δυνατὸν ὅλως ἢ ἀδύνατον.
εἰσὶ δέ τινες κανόνων καὶ ἀπὸ τῆς περὶ αὐτὰ κρίσεως
καὶ σπουδῆς, τῶν ἐμφρόνων τε καὶ ἀφρόνων ἀνθρώπων.
καὶ ἔτι μᾶλλον ἀπὸ τῆς θείας κρίσεως. ὅπερ γὰρ ἀρέ-
σκει καὶ τοῖς ἐμφρονεστάτοις, τοῦτο δὴ εἰκὸς σπουδῆς
ἄξιον τῷ σωθησομένῳ· τὰ δὲ ἀπαρεστὰ ἐκείνοις,

φευκτέα.

οὐδεὶς γὰρ ἀνόητος οὕτως ἢ ἐμπαθής ἐστιν, ὥστ' οἰηθῆναι τὴν ἀκολασίαν ἢ τὴν ἀδικίαν ὀρεκτὴν εἶναι. πολλῶν οὖν ὄντων καλουμένων κριτικῶν τῆς τῶν φανταζομένων ἡμῖν διαφορᾶς, ἧς ἐστιν ἀγωγῶν ὡς ἀνωτάτω ἴδιος· ᾧ κοινῶς ἐπὶ πάντων ἡμᾶς δεῖ χρῆσθαι. οὗτος ὁ ἀπὸ τῆς τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν διακρίσεως. ἂν γὰρ τῶν μὴ ἐφ' ἡμῖν ἐστί τι τῶν φανταζομένων, ἢ ὀρεκτὸν ἢ ἔκκλιτον, καλῶς ἔχει γινώσκειν τε καὶ αὐτὸ λέγειν ἀληθῶς· ὅτι τοῦτο οὐδὲν πρὸς ἡμᾶς· οὔτε γὰρ ἀγαθὸν οὔτε κακὸν ἡμέτερον εἶναί τι δύναται· μὴ ἐφ' ἡμῖν ὂν διὰ τὸ ἔξω ποιὸν τῆς ἡμετέρας οὐσίας αὐτεξουσίου. ὅλως γὰρ ὑποστᾶσα τοιαύτη φύσις ἐν τοῖς οὖσι καὶ τὸ ἀγαθὸν ἑαυτῆς καὶ τὸ κακόν, αὐθαίρετον ἔχει γενομένη:

μέμνησο ὅτι ὀρέξεως ἐπαγγελία ἐστὶν ἐπιτυχία οὗ ὀρέγῃ:

Καὶ τοῦτο συνεχὲς τῷ πρὸ αὐτοῦ ἐστίν· ἀποδεῖξιν ἐπέχοντος τοῦ τὰ φανταζόμενα ὀρεκτὰ καὶ φευκτὰ ἅμα τε τὰ ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν κανονίζοιεν· ἐπιτυχεῖς καὶ μακαρίους ποιεῖν· τὰ δὲ μή, ἀτυχεῖς καὶ δυστυχεῖς καὶ κακοδαίμονας. καὶ διορίζει πρῶτον, τίνας μὲν ἐπιτυχεῖς καὶ εὐτυχεῖς καλοῦμεν· τίνας δὲ ἀτυχεῖς καὶ δυστυχεῖς· καὶ ὅτι τῆς μὲν ὀρέξεως τὸ ἐπάγγελμα καὶ τὸ τέλος ἐστί, τὸ μὴ περιπεσεῖν ἐκκλίνων ὧν ἂν τύχῃ. καὶ ἔστιν εὐτυχὲς τοῦτο τὸ μὴ περιπεσεῖν· ὥσπερ αὖ τυχεῖν μέν, τὸ μὴ τυχεῖν τοῦ ὀρεκτοῦ ὅτι οὐκ ἔτυχε. δυστυχὲς δὲ τὸ τῷ ἐντυχεῖν τινὶ ἐκκλινόμενον. τό τε ἐκκλιτῷ περιπεσεῖν· ὅτι ἐντυχὼν μέν, ἀλλὰ κακοῦ τινος ἔτυχε. ταῦτα καλῶς διαστήσας· ἐπάγει τὰ δεξιὰ ὅτι ἂν μὲν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοί. οἷον ἀκολασίας καὶ ἀδικίας, καὶ τὰ τοιαῦτα· ἐπειδὴ ἐπὶ σοί ἐστι τὸ ἐκκλίνειν, οὐδενὶ ὧν ἐκκλίνεις περιπεσῇ.

ὥστε οὐδέποτε διὰ τύχην ὄψεις· μόνον δὲ ἢ πενίαν
ἤ τι τῶν ἐφ' ἡμῖν ἐὰν ζημιώσῃς, ἐπειδὰν μὴ ἔστιν
ἐπ' ἴσοις τὸ αὐτὰς ἀποφεύγειν· ἀμάρτῃ δ' ἤ ποτε
περιπεσεῖν, καὶ διὰ τύχην γενέσθαι· ὁμοίως δὲ
κἂν ὀρέγηται ὧν οὐκ ἐπ' ἴσοις· ἀτυχεῖν πολλάκις
ἀνάγκη τοῦ ὀρεκτοῦ μὴ τυγχάνοντα· ἃ δὲ ἐν τοῖς
ἐφ' ἡμῖν ἡ ὄρεξις καὶ ἡ ζήτησις γίνεται· οὔτε ἀτυχεῖ,
οὔτε διὰ τύχην ποτὲ συμβήσεται· ἀλλ' ἀεὶ εὐτυχεῖ
καὶ ἐπιτυγχάνει· καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου
τοιαύτη· ὁ ἐν τοῖς οὐκ ἐφ' ἡμῖν τὴν ὄρεξιν καὶ τὴν
ζήτησιν τιθείς, καὶ τῶν ὀρεκτῶν ἀποτυγχάνει
πολλάκις· καὶ τοῖς ζητουμένοις περιπίπτει,
ὡς ἐπ' ἄλλοις οὔσης τῆς ἐξουσίας αὐτῶν· ὁ δὲ τοι-
οῦτος ἀτυχής τε καὶ διὰ τύχης ὡμολόγηται· ὥστε
καὶ ἄθλιος καὶ κακοδαίμων· καὶ ὅρα ὅπως συγκρα-
τικὸς ὁ λόγος, καὶ συμπερασματικός· καὶ ἀπ' αὐτοῦ
τὴν σπουδαζομένην ἡμῖν μετάγων ἐπὶ τὸ κάλλιον·
πάντες γὰρ καὶ οἱ σπουδαῖοι καὶ οἱ μοχθηροὶ ζητοῦντες
ἐν τούτῳ τίθενται τὴν εὐδαιμονίαν· ἐν τῷ τῶν
μὲν ὀρεκτῶν αὐτοῖς καὶ ἐφετῶν τυγχάνειν· τοῖς δὲ
ἀναιρετοῖς καὶ φευκτοῖς μὴ περιπίπτειν· δια-
φέρουσι δέ, ὅτι οἱ μὲν σπουδαῖοι τὰ νόμιμα καὶ ἀ-
λικείμως οἱ κάτω ἀγαθῶν τῶν ὠφελίμων ὀρέγονται,
καὶ ζημιοῦσι ταῦτα ὄντα βλαβερὰ καὶ κακὰ τοῦ λόγου
ὄντος ἐν αὐτοῖς τοῦ κοιμῶντος· καὶ τῶν ἀλόγων ὀ-
ρέξεων συνήθεις μᾶλλον ἐν αὐτοῖς ἕπεσθαι τῷ λόγῳ·
ἡ δὲ ἀνομοιάζονται τῷ λόγῳ δοκοῦσι ταῦτα τοιαῦτα.
οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων, τὸν μὲν λόγον ἀργὸν καὶ
ἀνεπιμελῆ τὸν ἔχοντες· τὰς δὲ ἀλόγους ὀρέξεις
πολὺ τὸ σύνεχος κινήσεως γεγυμνασμένας· τῷ ἤδη

τὸ ὁρατὸν κρίνουσιν· ἀλλ' οὐχὶ τῷ ὠφελίμῳ. καὶ
ἡδοναῖς περιπίπτουσι πολλάκις ταῖς λύπαις ἢ ἴσως
παραπλησίως κεκραμέναις· διὰ τὸ μὴ δεῖν ἡδονὴν
ἡγεῖσθαι κυρίως αὐτάς· ἀλλ' ὅτι σκιάς τινας ἡδονῶν ἡμῖν περι-
χεούσας. πάντες δὲ ὅμως τὸ προσῆκον· ἐν τούτῳ τιθέν-
τες τὴν εὐτυχίαν τε καὶ ἐπιτυχίαν ἐν τῷ, τῶν ὀρεκτῶν
τυγχάνειν· μὴ πειρᾶσθαι δὲ τῶν φευκτῶν· ὑποδει-
κνύουσιν οὖν ὁ λόγος οὗτος καὶ τοῖς μοχθηροῖς ὡς ἂν βού-
λοιντο· μήτε ὀρεγόμενοι ἀποτυγχάνειν· μήτε ἐκκλί-
νοντες περιπίπτειν ἐν τοῖς ἐφ' ἡμῖν τὰ ἀφθονώτατα
ὀρεκτά· καὶ καταβλάπτοντα φευκτὰ τίθεσθαι·
τῶν γὰρ οὐκ ἐφ' ἡμῖν ὀρεγομένους· καὶ ἐκκλίνοντας
ἐκεῖνα· καὶ ἀτυχεῖν ἀνάγκη αὐτοὺς καὶ δυστυχεῖν ὅπερ
φευκτὸν καὶ ἐκείνοις ἐστίν· ἆρον οὖν τὴν ἔκκλισιν
ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν· καὶ μετάθες ἐπὶ
τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν· νόσον μὲν γὰρ ἢ πενί-
αν ἐκκλίνῃς· ἐπειδὴ οὐκ ἔστιν ἐφ' ἡμῖν τελέως
τὸ ταῦτα ἐκφυγεῖν· κἂν γὰρ ἔχωμέν τινα δύναμιν
συντελοῦσαν ποτὲ πρὸς τὴν ἀποφυγήν· ἀλλ' οὔτε
ἀεί, οὔτε τὸ ὅλον ἰσχύει· διὸ δυστυχεῖν ἀνάγκη περι-
πίπτοντα ἐκείνοις ἃ ἐκκλίνομεν· ἐὰν δὲ τὰ παθῶν
αὐτῶν τὴν ἔκκλισιν μεταθῶμεν εἰς τὰ παρὰ φύσιν
τῶν ἐφ' ἡμῖν· ὡς ἐκκλίνειν τὰς ψευδεῖς περὶ τῶν
ὄντων ὑπολήψεις· καὶ τὰ πρὸς τὴν κατὰ φύσιν
διαγωγὴν τὴν τοῦ λόγου πρέπουσαν ἐμποδίζοντα·
ἐφ' ἡμῖν ὄντος τοῦ ἐκφυγεῖν τὰ τοιαῦτα· διότι
ἐκκλίσεως μόνης δεόμεθα τῆς ἐφ' ἡμῖν οὔσης·
οὐ περιπεσούμεθα ποτὲ οἷς ἐκκλίνομεν· ἀλλὰ ταῦτα
μὲν δῆλα· πῶς δὲ πᾶσαν ὄρεξιν ἀνελεῖν παντελῶς
ἐπὶ τοῦ παρόντος παρακελεύεται· τὸ μὲν γὰρ τὴν

Τῶν μὲν οὖν οὐκ ἐφ' ἡμῖν ὄρεξιν ἀναιρεῖν, πρόδηλον ἔχει
τὴν ὠφέλειαν· ὅτι μὴ τυγχάνοντες μὲν, ἀτυχεῖν
οἰόμεθα καὶ ἀνιώμεθα καὶ ἡττησόμεθα· κἂν τύχωμεν δέ
ποτε, οὔτε ὠφελίμου ἡμῖν, οὔτε οἰκείου τυγχάνομεν
ἀγαθοῦ· ἀλλὰ καὶ τοῦ ἐναντίου τῶν ἐφ' ἡμῖν ἀγαθῶν
τὴν ὄρεξιν δι' ἀτιμίαν αἰτίαν ἀποκωλύει· ὅτι φησί
τούτων ὀρέγεσθαι καλῶν οὐδὲν ὅσον σοι πάρεστι·
καίτοι εἰ πάρεστιν, οὐκ ἔτι τάχα τοῦ ὀρέγεσθαι νῦν καιρός
ἐστιν· καὶ γὰρ ἔκτασίς τοῦ ὀρεγομένου ἡ ὄρεξίς ἐστι πρὸς τὸ
ὀρεκτὸν ὡς οὐ παρόντος. τίς δὲ ἂν καὶ τύχοι τοῦ ἀγαθοῦ
χωρὶς ὀρέξεως αὐτοῦ· ὅλως δὲ εἰ τὸ ἀγαθὸν ἡμῶν οὐκ
ἐν ταῖς πράξεσιν, ἀλλὰ ταῖς κατὰ φύσιν ὀρέ-
ξεσι καὶ ἐκκλίσεσι, πῶς τὴν ὄρεξιν παντελῶς ἀνελεῖν
ἐν τῷ παρόντι δεῖν κελεύει· πῶς δὲ δυνατὸν
χωρὶς ὀρέξεως ἐπιλαβεῖν ἀγαθόν· δοκεῖ δὲ καὶ ἐναντίον εἶ-
ναι τῷ πρὸ ὀλίγου ῥηθέντι· ὅτι ἔλεγε· τὴν μὲν κουφο-
τέρων ἐφιέμενος μάλιστα ὅτι οὐδὲ μετρίως κεκινη-
μένον ἅπτεσθαι αὐτῶν· οὐ γὰρ σωματικὴν κίνησιν
ἐνεδείκνυτο· ἀλλὰ τὴν κατὰ προθυμίαν καὶ ὄρεξιν.
πῶς δὲ ὁρμᾶν ἄνευ ὀρέξεως· ὀρεχθῆναι γὰρ ἀνάγκη
πρότερον, καὶ οὕτως ὁρμῆσαι. μήποτε οὖν πρὸς τοὺς
ἀρχομένους παιδεύεσθαι ὁ λόγος ἐστίν· οἷς οὐκ ἀσφαλὲς
ὀρέγεσθαι ὅλως πρὸ τοῦ μαθεῖν τίνων ὀρέγεσθαι
χρή· ὁρμᾶν δὲ χρὴ καὶ ἀφορμᾶν κατὰ τὴν ὁρμὴν
τὴν τῆς ὀρέξεως καὶ τῆς ἐκκλίσεως προηγουμένην.
μήποτε δὲ καὶ πρὸς τοὺς ἔτι παιδευομένους δια-
λεγόμενος· οὐ πᾶσαν ἁπλῶς τὴν ὄρεξιν τῶν
ἐφ' ἡμῖν ἀγαθῶν ἀνελεῖν παρακελεύεται, ὡς δοκεῖ
λέγειν· ἀλλὰ τὸ σφοδρότερον παραιτεῖται τῆς ὀρέξε-
ως μόνης· ἀλλὰ καὶ τῆς ἐκκλίσεως νῦν ἐφίεμαι δοκεῖ.

ἐν αὐτοῖς τὸ ἀγαθὸν ἢ μᾶλλον καὶ τὸ κακόν· αὐτοὶ γὰρ ἐφ' ἡμῖν
ἐστὶν ὡς βουλόμεθα. τὰ δὲ οὐκ ἐφ' ἡμῖν συμβουλεύει
μὴ ζητεῖν γίνεσθαι ὡς θέλομεν· ὅτι μήτε κύριοι τούτων
ἐσμέν, μήτε ἀεὶ συμφερόντως ζητοῦμεν· τὰ μὲν
γὰρ διὰ πολλὰ καὶ βλαβερὰ τυγχάνει ζητοῦντες
γίνεσθαι· τὰ δὲ σκληρότερα, καὶ ὡς ἰατρείας προ-
σφέρονται θεραπευόμενοι: • νόσος σώματός ἐστιν

ἐμπόδιον· προαιρέσεως δέ, οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ:

Εἰπὼν ὅτι τὸν βουλόμενον εὐροεῖν, οὐ χρὴ ζητεῖν τὰ ιϛ.
γινόμενα γίνεσθαι ὡς θέλει· ἀλλὰ θέλειν γίνεσθαι
ὡς γίνεται· διὰ τούτων μάλιστα μὲν τὸ προκείμενον
ἐπιδείκνυσιν ὅτι εὐφόρως διαφέρονται ἀπὸ τῶν
ἐκτὸς προσπιπτόντων δυσχερῶν· ἅμα δὲ δείκνυσιν
ὡς οἷα μάλιστα τινά· καὶ ἡ μὲν ἀπόδειξις τοιαύτη τίς
ἐστιν· εἰ μὲν ἡμέτερα ἦν τὰ ἀπὸ τῶν ἐκτὸς προσ-
πίπτοντα δυσχερῆ· ἔδει μὲν καὶ οὕτως ἐπ' ὠφε-
λίμοις οὖσι καλῶς φέρειν αὐτά, κἂν ἦ δυσχερέστερα·
εἰ δὲ μὴ ἐστὶν ἡμέτερα· ἀλλ' ἕκαστον ἄλλου τινός,
τί δυσχεραίνομεν ἐπὶ τοῖς ἀλλοτρίοις; νόσος σώ-
ματος ἐμπόδιον· καὶ καλῶς ἐμπόδιον εἶπεν·
ἀλλ' οὐχὶ κακόν· οὐ γὰρ κακὸν τῷ σώματι ἡ νόσος.
οὐδὲ ἡ φθορά. ὡς δέδεικται πρότερον· ἀλλ' ἐμ-
πόδιον τῶν ἐνεργειῶν αὐτοῦ· καὶ χωλότης ἐν αὐτ-
ἀρχὴν ἐπίκτητος· διὸ καὶ ἀποζωῆς, ἀλλ' οὐ κατὰ
γλώττης φθέγγεται μόνον· καὶ ἡ χωλότης οὕτως σκέ-
λους ἐστὶν ἐμπόδιον· ὧν δὲ τούτων μὲν οὐδέν· ψυχῆς δὲ
λογικῆς τῷ σώματι χρωμένης ὡς ὀργάνῳ καὶ τοῖς
ἐκτὸς εἰς ὑπηρεσίαν· τὸ δὲ ἀγαθὸν καὶ τὸ κακόν, ἐν
προαιρέσει τῇ ἑαυτῶν ἔχοι μένον· εἰ δὲ ἡ μὴ βου-
λομένη προαίρεσις, οὐκ ἐμποδίζεται ὑπ' αὐτοῦ.

ϛον

ϵ

δῆλον ὅτι οὐδὲ ἡμᾶς ἐμποδιζόμεθα· οὐδὲ ἡμεῖς μὴ
ἐμποδιζόντων τῶν ἔξωθεν προσπιπτόντων ὁδόν· ἀλλ'
ἕκαστον ἄλλου τινός· ὧν οὐδὲν ἡμᾶς ἐσμέν· οὐδὲ ὡς
ἐπὶ οἰκείοις χρὴ δυσχεραίνειν αὐτοῖς· συμβαίνειν γὰρ
οὕτως τὴν προαίρεσιν ἐπ' ἀλλοτρίοις οἰκεῖον ἰσχὰν
κακὸν τὴν δυσχέρειαν σὴν οὕτω μεμνῶ· οἶμαι τὸ προ-
κείμενον ἀποδέδεικται· ἐναντίον δὲ λύειν τινὰ ἀπὸ
τοῦ συμφέροντος ὡς οἶμαι κατὰ τοὺς τῶν ῥητόρων δεῖν.
φαίη γὰρ ἄν τις μηδὲ συμφέρον εἶναι τὸ νοσεῖν ἢ τὸ
πένεσθαι· τίς γὰρ νοσῶν δύναται τὰς κατὰ φύσιν
ἐνεργείας ἀποδιδόναι· τῆς δὲ πᾶν ὑπομένων ὃς ἀν-
ἀγκάζεται τῶν πορισμῶν τῶν ἀναγκαίων πρὸς κ(αὶ) τῇ
λύσω οὖν ταύτην τὴν ἔνστασιν ἐκ τοῦ τὴν νόσον καὶ
τὴν πενίαν, καὶ τὰς τοιαύτας περιστάσεις· μὴ εἶναι
προαιρέσεως ἐμπόδια· καθ' ἣν οὐσίωται ἄνθρωπος· καὶ
καθ' ἣν τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἔχει· τίς γὰρ κωλύει
τὸν νοσοῦντα τὰ μὲν κατὰ φύσιν αὐτοῦ αἱρεῖσθαι.
τὰ δὲ κατὰ φύσιν ἐκκλίνειν· τί δὲ ἡ ἄκρα πενία
ἠνάγκασε τῶν μὴ καλῶν καὶ ἀγαθῶν ἀνδρὶ πρεπόντων
ποιῆσαι· οὐχὶ δὲ καὶ Διογένης καὶ Κράτης καὶ Ζήνων
ὅτε γνησίως ἐφιλοσόφησε τὸν κατὰ φύσιν
ἥκοντα τοῖς ἀνθρώποις βίον· καὶ τὸν ἐν τῇ λιτότητι
πλοῦτον ὅτε μάλιστα τοῖς ὁρᾶν δυναμένοις ἐ-
πεδείξαντο· ὅτι τὴν ἄκραν ἀκτημοσύνην
ἀντὶ τῆς εὐπορίας ἠλλάξαντο· τίς γὰρ οὐκ ἀ-
ναγκάσαι τρέφειν τὸν τοιοῦτον; λαμβάνειν γὰρ χάριν
μᾶλλον ἤπερ διδόναι νομίζων· καὶ τίνων ἀπο-
λαυόμεθα παραδειγμάτων ὅτε αὐτὸς ὁ ταῦτα λέ-
γων ἀκτητος καὶ δοῦλος ἦν. καὶ τὸ σῶμα ἀσθενής·
καὶ χωλὸς ἐκ νέας ἡλικίας· καὶ πενίαν ἀκροτά-

ἐπέπεσε τῇ δευσθεν. ὥστε τὸ ἐν Ῥώμῃ οἴκημα αὐτοῦ· μη-
δέποτε κλείθρου δεηθῆναι· διὰ τὸ μηδὲν ἔνδον
ἔχειν ἢ μὴ τὴν στιβάδα καὶ τὴν ψίαθον ἐφ' ὧν
ἐκάθευδε. καὶ οὗτος ἐστὶν ὁ λέγων χωλοῦ σκέ-
λους ἐμποδιστικόν· προαιρέσεως δὲ οὔ· ἐὰν μὴ αὐτὴ θέλῃ.
διὰ τῆς ζωῆς προφέρων τοὺς λόγους· καὶ οὐχὶ τὰ ἐ-
παγγέλλεσθαι δοκοῦντα σπουδάζων λέγειν· ὅπερ
οἱ πολλοὶ ποιοῦσι σοφισταί· διὸ καὶ οὕτως ἐστὶ δει-
κτικοὶ τῶν ἀμοίρων ἀρετῆς οἱ τοῦ δὲ τοῦ ἀνδρὸς λόγοι:

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων μέμνησο ἐπιστρέ-
φων πρὸς ἑαυτὸν ζητεῖν τίνα δύναμιν ἔχεις :

Μεγάλα προστάγματα τινὰ καὶ ἀδύνατα δοκοῦντα 12
εἶναι πολλοῖς. ὡς τὸ τὴν νόσον τοῦ σώματος ὡς
ἀλλότριον καὶ περιπτύειν· καὶ θέλειν γίνεσθαι
τὰ γινόμενα ὡς γίνεται· καὶ ὑπομένειν τὸν ἤδη
τῶν προσπιπτόντων ἔξωθεν μηδὲ ἐλεαίζεσθαι.
ἀπὸ δὲ τῶν λυπηρῶν μὴ ταπεινοῦσθαι. εἰκότως
προστίθεται δεῖξαι· ὅτι δυνατὸν ταῦτα ἐστὶ καὶ οὐκ
ἀδύνατον προστάττομεθα· καὶ δείκνυσιν ὅτι τὰς
ἀφορμὰς ποιήσας τὴν δύναμιν ὁ ὑπάρχων πεφυκυῖ-
αν· ὡς τὰς ἡλικίας καὶ ἔτι πρότερον ταῖς θέ-
ἀλλὰ καὶ ἐς γένεσιν ποτὲ κατανάγουσαν· καὶ τοῖς τοι-
ούτοις ὁμιλοῦσαν. δύναμις ἐδόθη αὐτῇ καθέ-
καστα πρὸς ἃς δύνηται ἀβλαβὴς ὑπὸ τῶν τοιούτων
διαβαίνειν· καὶ ὑπερανέχειν αὐτῶν. πρὸς μὲν
τὰ ἡδέα δοκοῦντα ἐγκράτειαν· καὶ οὐκ ἀπὸ σω-
φροσύνην. ἀλλ' ἐγκράτειαν· ἐπειδὴ πρὸς τοὺς
ἔτι παιδευομένους ἐστὶν ἡ παραίνεσις. ἐφ'
ὧν κινεῖται μὲν τὰ πάθη καὶ ἀμφισβητεῖ πρὸς
τὸν λόγον. ἡ δ' ἐπαυτὴ, ὅταν ἡττᾶται ἀνύσιμος ἦ.

καὶ τοῦτο ἐστὶ τὸ ἀκρατὲς τῆς ζωῆς εἶδος· ὥσπερ ὅταν γε
μὴ κρατήσῃ τοῦ πάθους ὁ λόγος αὐτὸς ἡττώμενος,
ἀκρασίας ἡ διάθεσις λέγεται· ἐπὶ δὲ τῶν τε-
λέως πεπαιδευμένων· τὸ πάθη τι ὅπερ ἐγγινόμεν-
ται δι' ἧς καθέστηκε. τελέως καὶ ἀναμφισβητήτως
ὑποκέκλιται τῷ λόγῳ· ὥστε ἐπεὶ κἂν γνωρίζεσθαι
μένον· ἐφ' ὧν ὁ λόγος πρὸς τὰ ζῆ καὶ ὅτι καὶ ἀφορᾶν
ἐστὶ τοῦτο σωφροσύνης σχέσις ἡ ὑπεροχὴ τοῦ
ἐν ἡμῖν σωφρονοῦντος· μ ζητεῖ γὰρ τοῦτο δὶς
πάθεσιν ὑποκλινομένου καὶ δι' ἀπαυομένου ὑπὸ τῶν
σον δὲ μένει καὶ ὁ λόγος κλῆρον ὑπερανέχοντος τῶν πα(θῶν)
προσδέεται ἐπίπονα καὶ τὰ λυπηρά· τοῖς μὲν
πεπαιδευμένοις ἀνδρεία πάρεστιν· οὐδὲ
παρελθεῖν ἔσω τῶν τῆς ψυχῆς προθύρων συγχω-
ροῦσαι λύπην· ἀλλὰ τὰ ἐπίπονα πάντα ὡς γυ-
μνάσιον αὐτῇ προηγούμενον· ἀλύπως καὶ ἀθλί-
πτως ἐκπονοῦσι· τοῖς δὲ παιδευομένοις καρ-
τερία πρὸς τὰ συμβαίνοντα λυπηρὰ γενικῶς
ἀνθίσταται· καὶ ποιοῦσα μὴ καταπίπτειν τὴν
ψυχήν· ἀλλὰ μάχεσθαι καὶ ἀμύνεσθαι τὰς τῆς λύπης
πολήσεις· ἡ γὰρ ἔντονος τῆς καρτερίας ἀντίταξις
τὸν μὲν λόγον ποιεῖ νικᾶν· τὸ δὲ πάθος ἡττᾶσθαι
καὶ τούτου πολλάκις γινομένου μετὰ φρονήσεως,
ἐθίζεται τὸ πάθος ὑπακούειν τῷ λόγῳ, καὶ
μὴ ἀντιτείνειν ἢ ἀντιπεπαιδευμένον· καὶ οὐκέτι
δεῖται τὸν λυπούμενον καρτερεῖν· οὐδὲ γὰρ λυπεῖται
ἔτι ὁ τοιοῦτος· οὐ γὰρ ὀρέγεταί τινος οὗ δύναται ἀπο-
τυγχάνειν· οὔτε ἐκκλίνει τι ὧν περιπίπτει· πᾶσα
δὲ λύπη, ἐπὶ τούτοις συμβαίνει· πρὸς δὲ
λοιδορίαν φησὶν ἀνὴρ σοφὸς αὐτῷ ἀμυντήριον,

τὴν ἀδοξίαν καί· οὔτε γὰρ πόνον οὔτε θλῖψιν ἡ
ἑαυτῆς φύσει ἡ λοιδορία τοῖς λοιδορουμένοις·
ἀλλὰ τὸ δόγμα τὸ ἐν ἡμῖν ἢ κενόδοξον ἢ θυμῶδες. δεῖ
τοσοῦτον δὲ μόνον ποιεῖ καθ' ἡμῶν ὅσον ἐὰν τοῦ λοιδο-
ροῦντος· ἵνα οὖν μὴ μετὰ πάθους ἡμετέρου
καταγνώσεις ἐλκήται· γινώσκειν μὲν χρὴ τὴν τοῦ
λοιδοροῦντος κακίαν ἐπὶ ψευδεῖ λοιδορίᾳ, ἢ διε-
χθρεύοντι ἡμῖν· ἀνέχεσθαι δὲ αὐτῆς ὡς οὐδὲν ἡμᾶς
βλαπτούσης· τάχα δὲ τῆς μὲν κακίας τοῦ λοιδο-
ροῦντος ἀνέχεσθαι· ἐννοοῦντες ὅτι αὐτὸς ὁ βε-
βλαμμένος ἐστὶν ὅτι τὴν ἑαυτοῦ προαίρεσιν ταύτῃ
ἀπέφηνεν αὐτοῦ κακίας· ἀπὸ δὲ τῆς λοιδορίας καὶ ὠ-
φελεῖσθαι πάντως· προφανῶς μὲν εἰ ψευδής·
εἰ καὶ ἀληθής ἐστιν, ὅτι ἐκφαίνεταί τι τῶν ἡμετέρων κακῶν
ἀγνοούμενον παρ' ἡμῶν ἢ γινωσκόμενον μὲν,
νομιζόμενον δὲ λανθάνειν τοὺς ἄλλους· ἱκανὸν γὰρ καὶ
τοῦτο ἀποστρέφειν τοὺς ἀρχομένους παιδεύεσθαι.
ὡς μὴ ἐμποδίαν μόνον τὸ ἀγαθόν. ἀλλὰ καὶ διὰ φιλο-
τιμίαν τῶν ἑτέρων κρατοῦσι παθῶν.
χρήσιμος γὰρ πρὸς τὴν τῶν ἄλλων παθῶν διόρ-
θωσιν ἡ φιλοτιμία· διὸ καὶ ἔσχατος λέγεται
χιτὼν τῶν παθῶν ἡ φιλοτιμία· ὅτι τὰ ἄλλα
πάθη συνεργούσης αὐτῆς ἀποδυσαμένη ἡ ψυχὴ
ἔσχατον ἀποδύεται ταύτην· εἰς αὐτὸ λοιπὸν τὸ ἀγαθὸν
ἀπογυμνουμένη· χρὴ οὖν φυλάσσειν ἕκαστον τῶν
ἔξωθεν προσπιπτόντων· καὶ πρὸς τὸ ἐκτὸς
ἑλκόντων, μὴ συναρπάζεσθαι εὐθὺς ὑπὸ τῆς
φαντασίας αὐτοῦ. ἢ ἀγαθὸν τὸ προσπῖπτον ἢ κακὸν
λεγούσης· μηδὲ ὄρεξιν ἢ ἔκκλισιν εὐθὺς κινεῖν·
ἀλλὰ τὴν ἐν ἡμῖν νοῦ συμμαχίαν λαβόντα·

ὡς προσκαρτερησάμενον σῶον ἐκείνην καὶ δι᾽ ἐκείνην
ἀμύνεσθαι τὰ προσπίπτοντα. μήποτε εἴπῃς
ἐπὶ μηδενὸς εἴπῃς ὅτι ἀπώλεσα αὐτό, ἀλλ᾽
ὅτι ἀπέδωκα:

ιε Εἰπὼν περὶ τῆς τῶν ἐκτὸς προσλήψεως, καὶ περὶ
προθέσεως, τίνων τε καὶ ὅπως χρὴ λαμβάνειν, καὶ
ὅπως δεῖ τοῖς ἔξωθεν προσπίπτουσιν ἡδέσι τε
καὶ λυπηροῖς κεχρῆσθαι· περὶ τῆς ἀποβολῆς αὐτῶν
λέγει, πῶς χρὴ ἐπ᾽ αὐτῇ διατίθεσθαι. ἀπαι-
τούντων ὁ μὲν τὰ ἴδια ἑαυτοῦ νομίζων ἀπολλύναι, οὐ
δύναται μὴ καὶ λυπεῖσθαι, καὶ τὸν ἀφελόμενον
μέμφεσθαι. ὁ δὲ τὰ ἀλλότρια ἀποδιδοὺς
ἃ μὴ πάνυ ἠγνωμόνησεν, οὔτε λυπεῖται οὔτε
μέμφεται τῷ τὰ οἰκεῖα αὐτῶν ἀναλαμβάνοντι. ἐπειδὴ
τὰ ἐκτὸς οὐχ ἡμέτερα. διὸ οὐδὲ ἐφ᾽ ἡμῖν ἐστιν. ἀλλ᾽ ἡ με
÷ ὡς τὸ κακὸν τὸ ἡμέτερον. χρὴ περὶ τῶν ἐκτὸς ὡς
περὶ ἀλλοτρίου βεβαίως διακείμενον, πρόχειρον
ἔχειν τοῦτο. ἔστι δὲ πρόχειρον. ἐὰν καὶ μὴ χεῖρον
νομίζωμεν ὡς ἀλλοτρίοις διακείμεθα. καὶ συνε-
θιζόμενοι ἑαυτοὺς μὴ χεῖρον κατὰ τοῦτον. ὁ μὲν οὖν τοῦ
παιδίου ἀποθανόντος οἰμώζων καὶ λέγων ἀπώλεσα
αὐτόν, δῆλός ἐστιν ὡς ἐπ᾽ ἰδίῳ πρότερον δια-
κείμενος· καὶ διὰ τοῦτο ἀπώλειαν καλοῦσι τὴν ἀ-
φαίρεσιν. καὶ δυσχεραίνων ἐπ᾽ αὐτῇ. καὶ δῆλος
ὁ τοιοῦτος ἐστὶν ὥσπερ ἀδικούμενος καὶ ἀμύνεσθαι τὸν
ἀφελόμενον θέλων. ὁ δέ γε ὡς ἀλλότριον ἀπο-
δεδωκέναι νομίζων, οὔτε ἑαυτὸν θρηνεῖ, οὔτε
αἰτιᾶται τὸν ἀναλαβόντα ὃ δέδωκε. καὶ ὅ γε
οἷον διὰ τούτων ἡμῖν ἐπιδείκνυσιν ὁ Ἐπίκτητος.
ὅτι οὐ μόνον ἡ ἔννοια τὴν ἑαυτῆς διάθεσιν

μόνα. ὄρεξις ἐστὶ καὶ ὁρμὴ καὶ ἔκκλισις ἐν οἷς τὸ ἀγαθόν ἐστι

ἐντίθησι τῷ προφερομένῳ διὰ τῆς αὐτῆς λέξεως· ἀλλ᾽
καὶ οἱ λόγοι τὰς ἐννοίας πρὸς ἑαυτοὺς διατιθέασι·
χρήσιμον φησὶ καὶ τοῖς ὀνόμασι τῶν ἀλλοτρίων καὶ ἐπὶ τὰ
ἐκτός· ἵνα καὶ ἀπὸ τούτων ὡς ἐπ᾽ ἀλλοτρίοις δια-
τιθέμεθα· καὶ μέντοι καὶ χρῆσθαι αὐτοῖς ὡς ἀλλο-
τρίοις δεῖ· τοῦτο περὶ αὐτῶν ἐννοοῦντας· καὶ ἐπειδὰν
αἱ περὶ αὐτὰ φροντίδες καὶ ἐπιμέλειαι, τὴν περὶ
αὐτὰ συμπάθειαν αὐξουσι καὶ ταύτας ὡς ἀλλοτρίων
φησὶ χρὴ ποιεῖσθαι. καὶ ἐπιμελεῖσθαι μὲν ἄν· οὐ γὰρ
ῥαθυμεῖν προσήκει· οὐ μέντοι ὡς ἰδίων οὐδὲ ὡς ἀναφαι-
ρέτων. ἀλλ᾽ ὡς τοῦ πανδοχείου οἱ παριόντες. ἀλλό-
τριόν τε αὐτὸ ἡγούμενοι· καὶ μετ᾽ ὀλίγον ἀπολείψειν
ἐλπίζοντες αὐτό, ἕως δ᾽ ἂν παρῶσι τῆς εὐχρηστίας
αὐτοῦ κατὰ τὸ δυνατὸν φροντίζοντες· καλῶς δὲ ἐν-
διατρίβειν εἶπεν· ἵνα πρόχειρον ὑπάρχῃ τὸ ὑπ᾽
ἄλλου δεδόσθαι αὐτό τοῦ καὶ ἀφαιρουμένου· ἐπεὶ
δὲ τινὲς κατὰ τοὺς τρόπους τῆς ἀφαιρέσεως,
ἧς προσθήκην λύπης ἐκτραγῳδοῦσι διατί με
οὗτος ἢ τοιῶσδε ἀφείλετο· διατί δὲ οὕτως ἐτελεύ-
τησε τὸ παιδίον ἢ ἡ γυνή· ἤθελον ὑπὸ πυρετοῦ καὶ
μὴ σφαγῆς μᾶλλον· ὅμοιόν ἐστι φησὶ τοῦτο τῷ διαφέρειν
διατί· ὁ δούς μοι τὸ δεῖνα διὰ τοῦδε τινὸς αὐτό·
ἀλλὰ μὴ δι᾽ αὐτοῦ ἀφείλατο· καίτοι τὸν δεδωκότα
καθ᾽ ὃν ἠβουλήθη τρόπον καὶ ἀναλαβεῖν ὡς ἐβούλετο
πρέπει· καὶ αὐτὸς ὁ ἐπίκτητος ἐπὶ τῶν τὰς μεγίστας
συμπαθείας κινούντων τέκνων καὶ γαμετῆς, ἐποι-
ήσατο τὸν λόγον. πρὸς δὲ τὰ παραβαλλόμενα τὰ ἄλλα,
καὶ ὑπὸ τῶν τυχόντων καταφρονεῖται· ἄλλο περὶ αὐτοὺς
καὶ πρότερον εἶπε καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ, ἀπὸ τοῦ μι-
κροῦ ἄρχεσθαι χρή· ἔκλεψέ τις τὸ κερμάτιον. ἀφείλετο
τὸ οἰκέτην ἢ τὴν οἰκίαν

ἢ λοιπὸν καὶ τὰ ὑπάρχοντα ἐδήμευσε, μὴ εἴπῃς
ὅτι ἀπώλεσα αὐτά· ἀλλ' ὅτι ἀπέδωκα:

Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους
ἐπιλογισμούς.

ιγ. Εἰπὼν ὅτι οὕτως χρὴ τῶν ἐκτὸς ἐπιμελεῖσθαι ὡς
ἀλλοτρίων· καὶ ὡς τοῦ πανδοχείου οἱ παριόντες,
ἀκούει τινῶν πρὸς τοῦτο λεγόντων· ἀλλ' ἂν ἀ-
μελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἂν μὴ κο-
λάσω τὸν οἰκέτην πονηρὸς ἔσται· πρὸς οὓς ἀπο-
κρίνεται τὴν ἐξ ἀρχῆς ἔμφασιν φυλάττων τοῦ
λόγου· τὴν τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὸ ἡμέτερον ἐν τοῖς
ἐφ' ἡμῖν τιθεῖσαν· καὶ οὔτε ἐν τῷ σώματι, οὔτε
ἐν τοῖς ἐκτός· ἔστι δὲ ὁ λόγος πρὸς τοὺς ἔτι παιδευο-
μένους· αὐτίκα τοιαύτην ἕξιν ἔχοντας, ὥστε δεῖσθαι
καὶ ἑαυτῶν ἀμελεῖν καὶ τῶν ἐξῆς ἐπιμελεῖσθαι ἀβλαβῶς·
τοῦτο γὰρ τοῖς ἤδη πεπαιδευμένοις ὑπάρχει· οἱ τὴν
ἐν αὐτοῖς ἱδρύσαντες τὴν ἐν αὐτοῖς ἀλογίαν ὑπο-
τάξαντες τῷ λόγῳ οὐδὲ δεδοίκασιν ἔτι· μήπως
[illegible] ὑπὸ τῶν ἀλόγων ὀρέξεων πρὸς τὰ
ἐκτὸς παρασυρῶσι· καὶ τὴν ἐναγώνιον ἀταξίαν
[illegible] δέξωνται· μένοντες γὰρ ἐν ἑαυτοῖς
οὗτοι, καὶ τὰ ἐκτὸς ἀπὸ τῆς ἐν αὐτοῖς τάξεως
διακοσμοῦσιν· οἷς δὲ ἔτι ἡ ψυχὴ τὸ ἄλογον οὐδέπω
ἐπιτρέπειν πρὸς τὰ ἐκτὸς ἀποτείνεσθαι· συγγέ-
γαρ ἔχουσι πρὸς ταῦτα αἱ ἄλογοι ὀρέξεις· καὶ οὔπω
μεμετρημέναι· οὐδὲ ὑποταχθεῖσαι τῷ λόγῳ,
καθέλκουσιν αὐτὸν καὶ καταβαπτίζουσιν εἰς τὰ
ἐκτός· μήπω τῶν πηδαλίων τῶν οἰκείων ἐπι-
λαβόμεναι· τί οὖν χρὴ ποιῆσαι πρὸς τὸ τὸν παι-
δευόμενον μὴ ἀποχωρῆσαι τῶν ἀναγκαίων τροφῶν;

ζόμενοι αὐτοῦ μὲν ἢ καὶ ἐπί· ὅτι πρὸς ἡγεμόνα ἀπὸ τῆς ἀμελεί-
μάθωσιν τῶν ὑπαρχόντων αὐξῆσαι καλῶς· ἢ τοῦ
παιδευομένου λιτότητι καὶ τὸ ὀλιγαρκές· ὅπερ
αὐτῷ μᾶλλον προσήκει· εἰ δὲ μήτε πρὸς ταῦτα
ἀντέχοι, οὐ λέγουσιν οἱ τρέφειν αἱρούμενοι τὸν
ἐν ὀλίγοις ἀρκούμενον· καὶ διὰ τὴν ἑαυτοῦ ἐπιμέ-
λειαν τῶν ὑπαρχόντων καταφρονήσαντα· δέον ἀπειλ-
μένοις ὅπερ ἄτοπον τοῖς οὐ πρὸς αὐτὸν χρήσασθαι
λόγοις, ἀληθῶς λεγομένοις· ὁ δέ, τούτοις μέν, ὡς
μαλακοῖς παρῆκε καὶ ὡς τὸν τόνον τῆς ἀρετῆς χα-
λῶντας, καὶ ῥυπαίνοντας τὴν καθαρότητα αὐτῆς·
ἐν πάντη πάντως τῶν ἐκτὸς προσδέεσθαι· εἰς τὸ
τὸ ἄκρον αὐτό, τῆς συμμετρίας ἀμείβη· κρεῖττον
γάρ ἐστι λιμῷ ἀποθανεῖν ἄλυπον καὶ ἄφοβόν τε
γενόμενον. καὶ ἀπολαύοντα τῆς ἑαυτοῦ ἐλευθεριότη-
τι ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον· τί γὰρ ὄφελος
τῆς τῶν ἐκτὸς ἀφθονίας, τῷ παρὰ φύσιν δια-
κειμένῳ καὶ βλαπτομένῳ μᾶλλον ὑπ' αὐτῆς· τί δ'
ὄφελος πολυτελῶν καὶ ποικίλων ὀψώνων, τῷ μὴ
δυναμένῳ δι' αὐτὸ μόνον ἀβλαβῶς αὐτοῖς χρήσασθαι.
κρεῖττον δέ φησι καὶ τὸν παῖδα κακὸν γενέσθαι, ἢ
σὲ κακοδαίμονα· εἰ μὲν γὰρ δυνατὸν ἦν σεαυτὸν σώ-
ζοντα τοῦ παιδὸς ἐπιμεληθῆναι, τοῦτο ἂν ἦν κάλ-
λιον· εἰ δὲ ἀδύνατον, τοῦτο δεῖ ἐννενοηκέναι· καὶ ὅτι
ἀπαίδευτος οὐκ ἂν ἄλλον παιδεύσειε· καὶ ὅτι
τὸν παῖδα μηδὲν ὠφελῶν αὐτὸς τὰ μέγιστα
βλάπτεται, κἂν ἀνηλοῖ τῷ· ἐκείνου μὲν ἐπὶ
τῆς ἑαυτοῦ κακίας ἀφιέναι· ἡμᾶς δὲ ἑαυτῶν ἐπι-
μελεῖσθαι· οὕτως οὖν συνάγει τοῖς ἀκριβεστάτοις λόγοις
τὸν παιδευόμενον· αἱρεῖσθαι μᾶλλον αὐτῷ τὴν ἀπολ-

θάνατον συμβουλεύων· ἡ μὲν γὰρ [illegible] δεύτερον·
διὰ τὴν περὶ τὰ ἐκτὸς ἀσχολίαν· καὶ τὸν παιδο-
τριβεῖ ὁρᾶν ἐν ἀφανεῖ καὶ γινόμενον· ἡ περὶ ἑαυτοῦ
κακοδαίμονα ἐν αὐτῇ τῇ κρίσει διὰ τὸ τῶν μικρῶν
ἄρχεσθαι συμβουλεύει· καὶ τῆς δυνάμεως τοῦ
παιδευομένου καλῶς στοχαζόμενος· ἡ μὲν γὰρ
διὰ τῶν συμμέτρων ἄσκησις καὶ γυμνασία
καὶ ἀσφαλής ἐστι καὶ ἀνύσιμος· εἰ δέ τις τῶν μὴ
συμμέτρων ὡς εὐτελῶν καταφρονήσει· τὸ δ' ἐν
τῇ τοῦ ἐλαίου ἐκχύσει καὶ τῇ κράσει τοῦ οἴνου
γυμνάσασθαι· τοῖς δὲ ἀσυμμέτροις ἐπιπηδήσει
οὔτε τούτων δύναται περικρατῆσαι· ἅτε μὴ
κατὰ βαθμὸν αὐτοῖς ἐπιβάς, οὔτε δι' ἐκείνων ἐπι-
προκόψαι καταφρονήσας αὐτῶν· ὑπόθου γὰρ
τινα μὴ διὰ τῶν μικρῶν γυμνασάμενον τὸν
κράτητα μιμήσασθαι· καὶ τὸ ἑαυτοῦ πᾶν τὰ ἀ-
θρόως ἀποβαλεῖν· τὸ θ' ὅτι οὕτω ταχέως μεταγινώσκει
καὶ διαστήσεται τὴν προτέραν ἐν ὑπονοίᾳ ἐπιζητεῖ·
κἂν γὰρ κράτης ἢ διογένης ἢ ζήνων ἢ ἄλλος ὅστις ὢν
ἀθρόως εἰς τὸ ἄκρον ἐπεπήδησε τῆς λιτότητος
καὶ τῆς κατὰ φύσιν ζωῆς· ἀλλὰ σπάνιον τοῦτο, καὶ
οὐκ ἀσφαλὲς πρὸς τὸ σπάνιον παραβάλλεσθαι, τὸ μὲν
καὶ αὐτὸ σπάνιον ὄντα· ἀλλ' ἐν ἐνίοις τῶν πολλῶν·
εἰπὼν δὲ πῶς ἀπὸ τῶν μικρῶν ἀρξάμενον γυ-
μνάζεσθαι χρὴ πρὸς τὸ καταφρονεῖν τῆς τῶν κτή-
σεων καὶ χρημάτων μειώσεως, τῆς ἡμετέρας ἕνεκα προ-
κοπῆς· ἐπάγει πῶς καὶ ἐπὶ τῶν οἰκετῶν ἀπὸ τῶν
μικρῶν ἀρξάμενοι γυμνασόμεθα καταφρονεῖν
αὐτῶν τῆς ἀνυπηρεσίας· καὶ μὴ ταράττεσθαι
ἐπ' αὐτῇ· προτυποῦμεν γὰρ ἀδιάφορα τῇ φαντασίᾳ.

ὅτι καλούμενος ὁ παῖς οὐχ ὑπακούει· ἢ ὑπακού-
ων οὐ ποιεῖ τὸ προσταχθέν· καὶ χρὴ προσεπιγνῶ-
ναι οὕτω καλῶς αὐτὸ εἶναι. τουτέστι μὴ τοσοῦτον
ὑπερέχειν τῆς γνώμης ἡμῶν, ὥστε ἐπ' αὐτῷ
ἡμᾶς τὸ ἐμμέτρως ταραχθῆναι· τὰ μὲν γὰρ αἰφνίδια
ταράττει μάλιστα τοὺς δεχομένους· παιδεύεσθαι καὶ
ὀξεῖαν· καὶ ἐπιλανθάνεσθαι ποιεῖ τῆς ἐργασίας·
τὰ δὲ προμελετώμενα, μὴ φθάνειν ποιεῖ καὶ μεμνῆσθαι.
ὥστε συνεθισμὸν παρασκευάζεσθαι, πρὸς τὰ δυσ-
χερῆ ταῖς φαντασίαις καὶ ταῖς ἐλπίσιν· ὅσον δὲ
διαφέρει τὸ παρεσκευασμένον αὐτὸ δέχεσθαι, ἢ ἀπρο-
σδόκητον παντὶ δῆλον· καὶ γὰρ οὐ μόνον τὰ λυπηρὰ.
ἀλλὰ καὶ τὰ ἡδέα ἀνελπίστως προσπίπτοντα· τὰ
μὲν γὰρ λυπηρὰ, ἀθρόως πλήττει καὶ συγχεῖ τὴν φαντασίαν·
σὺν αὐτῇ τὴν νοῦ κρίσιν, τουτέστι σώματος καὶ τοῦ πνεύματος·
τὰ δὲ ἡδέα, ἀθρόως διαχεῖ καὶ διασπᾷ καὶ διαφορεῖ
τὸν τόνον· ὥστε ἐξ ἀμφοῖν καὶ ταὐτὰ ἐναντίων
ὄντων τὰ αὐτὰ πως ἕπεσθαι συμπτώματα· λει-
ποθυμίας καὶ ἀποψύξεις· καὶ μέχρι θανάτου πολλάκις
ἀπορρεύσεις· ἀλλὰ ταῦτα μὲν ἁπλᾶ· τοῦ δὲ οἰ-
κέτου ἐπὶ μὲν τῆς τῶν ἄλλων ὑπερεχόντων
μαθήσεως μετὰ τὸ γενέσθαι παραινοῦντος ἐπὶ πλεῖ-
στον οὐ πολὺ ταλαιπωρία· τοσοῦτον ἀταραξίας·
παροῖ καὶ δὲ οὐδὲν παρεγγίνεται· ἐπὶ τῶν οἰκετῶν
ὅτι καλοῦντος τοῦ οἰκέτην προσενθυμεῖσθαι δεῖ ὅτι οὐ-
κ ὄντως ὑπακούει· εἰ ὑπακούσας οὐ ποιήσει
τὸ προσταχθέν· καλῶς ἔχει ὡς ἐπ' ἀμφοῖν ἀμφοτέροις
προστεταγμένην ἀκούειν· καὶ γὰρ τὴν τῶν ὑπαρ-
χόντων μάθησιν προϋπογράφειν ἑαυτῷ δεῖ καὶ προ-
ερωτίζειν· καὶ τοῦ οἰκέτου μὴ ὑπακούσαντα ἢ μὴ ποιήσαντα

τὸ προσταχθὲν ποιεῖ· λέγειν ὅτι τοσούτου πωλεῖται ἀπά-
θεια· τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν περιγί-
νεται· αὐτὸς δὲ ἴσως ὡς ἐπὶ εὐτελεστέρου τοῦ ἐκχυθῆ[ναι]
τὸ ἔλαιον· καὶ κλέπτεσθαι τὸ οἰνάριον· οὐκ ἐνόμισε
δεῖσθαι προπαρασκευῆς· ἀλλ' ἀρκεῖν γενομένων αὐ-
τῶν ἐπιλέγειν· καὶ ὅτι ἐπὶ τῶν μικροτέρων καὶ ἡ σύμμετρο[ς]
ἱκανὴ ἐστὶ κινεῖν τὴν ψυχήν· ἀπὸ ἐλαίου καὶ οἰναρί-
δ' ὀλίγων προϊέμενον· δυνατὸν μέν ἐστι τὸν βουλόμενον
ἀπάθειαν καὶ ἀταραξίαν λαβεῖν· καὶ οὕτω μὴ πρὸς
μόνον· ἀλλὰ καὶ τὴν κατὰ δόξαν· εἴ τις τῶν καλῶς
ἐμπορεύοιτο τὴν ἀφρασίαν· τίς γὰρ οὐκ ἂν χρυ-
σοῦ χαλκὰ ἀνταλλάξαι· κατὰ τὸν ὁμηρικὸν διομήδη·
τίς δὲ οὐκ ἂν νομίζων ἔχειν τὰ μέγιστα τῆς ψυχῆς ἀγα-
πεῖ αὐτό· τὰ ἐκτὸς προϊέμενος· ἐνίοτε δὲ μὴ
προϊέμενος ἀλλ' ἀρκούμενος τῇ παρασκευῇ τοῦ
διαφόρως προΐεσθαι:· Εἰ προκόψαι θέλεις, ὑπό-
μεινον ἕνεκα τῶν ἐκτὸς ἀνόητος δόξαι καὶ ἠλίθιος:·

ιγ. Πολλοὶ περὶ τὰ ἐκτὸς σπουδάζομεν· οὐ μόνον τοῦ
πορισμοῦ τῶν ἀναγκαίων ἕνεκεν· ἀλλὰ καὶ τοῦ μὴ
δοκεῖν τοῖς ἄλλοις ἄπρακτοί τινες καὶ ἀνόητοι.
ὁ πρὸς ταύτην οὖν τὴν φαντασίαν ἐνιστάμενος,
συμβουλεύει τῷ παιδευομένῳ καὶ προκόψαι θέ-
λοντι μὴ διὰ ταύτην τοῖς ἐκτὸς ἑαυτὸν ἐπιδι-
δόναι· τῶν μὲν ἐκτὸς ἀμελήσαντα· οἷον γὰρ ἐστὶ τὸ
ἀνόητον ὄντως ἀπολειφθῆναι· διὰ τὸ μὴ νομι-
σθῆναι τοῖς ἀνοήτοις ἀνόητον· καὶ αὐτὸ δὲ τοῦτο
τὸ συνεθίσαι ἑαυτόν· μήτε κατὰ τὸ δοκοῦν τοῖς
ἀνοήτοις ἐθέλειν ζῆν· μήτε ἐπιστρέφεσθαι αὐτῶν.
ὅπως ἂν οὗτοι περὶ ἡμῶν διακέοιντο· ἀλλ' εἰς τὸν
ὀρθὸν λόγον ἀποβλέποντες· καὶ τῇ κρίσει τῶν

κατ' αὐτὸ ζῶον ἑπόμενον τὰ καθ' ἑαυτοὺς νόμον· ἀλλὰ τὸ
τὸν κατὰ φύσιν πρέποντα λογικῷ ζώῳ τὸν ἄνω
βίον περιποιήσασθαι, τὸ μάλιστα σωτήριον:

μηδὲν βούλου δοκεῖν ἐπίστασθαι· κἂν δόξῃς τις εἶναί τισιν, ἀπίστει σεαυτῷ:

Πολὺς ὁ λόγος αὐτῷ ἐπὶ τὸ κτήσασθαι τὸν παιδευόμενον ιη
ἀξίαν πρὸς ἑαυτὸν ἐπιτρέψασθαι κατὰ τὸν τῆς παιδείας
μάλιστα καιρόν· ἐπειδὴ οὐ μόνον ἡ τῶν ἐκτὸς
ἐπιμέλεια ἐξάγει τὴν ἀξίαν πρὸς τὰ ἐκτός· ἀλλὰ
ἔτι μᾶλλον ἡ περὶ τὴν κενὴν δόξαν πτοία· καὶ τοῖς
ἀπαιδεύτοις καὶ ἐπὶ πόσον ἤδη προκόψασιν
ἐνοχλοῦσα· καὶ πάλιν διὰ ταύτης τὰς ῥίζας ἐκκόπτειν
παρακελεύεται· μηδὲν βούλου δοκεῖν ἐπίστασθαι
λέγων· οὐκ ἐμποδίζοντι τῇ ἐφέσει τῆς ἐπιστήμης·
ἀλλὰ τὴν τοῦ δοκεῖν ὄρεξιν ἀναστέλλων· χαυνοῖ γὰρ
αὕτη τὴν ἀξίαν, καὶ πρὸς τὸ ἐκτὸς ἕλκει· καὶ ἀρέσκειν
μὲν τοῖς πολλοῖς ζητεῖν καὶ μηκέτι ἑαυτῷ παρασκευάζει·
ἅμα τῇ δοκήσει τῇ ἐκείνων ἀρκουμένην οὐ συγχωρεῖ
πρὸς τὸ ἀληθινὸν κρίνεσθαι τῆς ἐπιστήμης ὄρεξιν. καλῶς
δὲ οὐκ εἶπε μηδὲν δοκεῖν ἐπίστασθαι· ἀλλὰ μηδὲν
βούλου δοκεῖν ἐπίστασθαι· τὸ μὲν γὰρ δοκεῖν ἢ περὶ ἡμᾶς
οὐχ [illegible] ἐστιν οὐδὲ ἐφ' ἡμῖν· τὸ δὲ βούλεσθαι ἡμέ-
τερόν ἐστιν ἔργον· ἐπειδὴ δοκοῦμεν πολλάκις
τισὶ κἂν μὴ βουλώμεθα, τό τε ἀπιστεῖν ἑαυτῷ
βοηθεῖ γὰρ τοῦτο πρὸς τὸ μὴ ἐπιτρέπειν ἑαυτὸν
τῇ τῶν πολλῶν κρίσει· μηδὲ ἀρκούμενον ἐκείνῃ
πρὸς τὴν προκοπὴν ἐμποδίζεσθαι. δῆλον δὲ
ὅτι τὸ ἀπιστεῖν ἑαυτῷ ἐπὶ ταῖς καλλίοσι περὶ αὐτοῦ
τῶν πολλῶν ψήφοις τοῖς ἔτι παιδευομένοις προσήκει·
ὁ γὰρ ἐπιστήμων, ἀσφαλῶς τε ἑαυτὸν καὶ ἀληθῶς κρί-
[illegible]

οὐδὲ ταὐτὸ ἑαυτῷ ἀπιστεῖν· δοκήσεις δὲ οὕτω τοῦ ἀπο-
σπᾶσθαι μόνον γίνεσθαι· ἀλλὰ καὶ τοῦ σώφρονα ἢ
δίκαιον ἢ ἀνδρεῖον εἶναι· ἢ φρόνησιν ἔχειν ἢ ὅλως
ἀρετήν τινα· ἢ δύναμιν πολιτικήν· ἢ περιττό-
τερον παρὰ ἄλλοις τιμᾶν· ταῦτα πάντα καὶ τὰ τοιαῦτα
περιέλαβε διὰ βραχέος μορίου· τουτέστι τὸ πάλιν
κἂν δόξῃς τὶς εἶναι τισίν· ἔτι λοιπὸν κοινὸν ἐπά-
γει συμπέρασμα τοῖς τε νῦν εἰρημένοις καὶ τοῖς πρό-
τερον· περὶ τῆς τῶν ἐκτὸς ἐπιμελείας· ὅτι οὐ ῥάδι-
ον τῷ παιδευομένῳ καὶ τὴν προαίρεσιν κατὰ φύσιν
ἔχουσαν διαφυλάξαι, καὶ τῶν ἐκτὸς ἀντιποιεῖσθαι
χρημάτων· ἢ κτημάτων ἢ δόξης· ἡ μὲν γὰρ τῆς
προαιρέσεως αὐτοῦ κατὰ φύσιν φυλακὴ· περὶ αὐτοῦ
μὲν τῶν ἐφ᾽ ἡμῖν· καταφρόνησιν δὲ τῶν οὐκ ἐφ᾽
ἡμῖν ἐστίν· ἡ δὲ πρὸς τὰ ἐκτὸς σπουδὴ τοὐναν-
τίον ἐπιτηδεύει· διὸ οὐ ῥᾴδιον τῷ παιδευομένῳ
τὸ ἀμφότερον ποιεῖν καὶ ἀσφαλῶς οὐκ εἶπεν ἀδύ-
νατον· ἀλλ᾽ οὐ ῥᾴδιον διὰ τὰς ποικίλας φύσεις· καὶ
τὰ ποικίλα κινήματα τῶν μεγαλουργῶν ψυχῶν·
ἀλλ᾽ ἀνάγκη φησὶ εἰ μέλλοι κατορθοῦν ὁπότερον τὸ
ἕτερον πάντα τὰ πᾶσιν ἀμελεῖν: •   ἐὰν θέλῃς
τὰ τέκνα σου καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους ζῆν,
ἠλίθιος εἶ:

ιθ. Σπουδῆς ἀξία ἐστὶ τά τε δυνατὰ κατορθοῦσθαι·
ὁ γὰρ περὶ τὰ ἀδύνατα σπουδάζων οὔτος· καὶ
ἔτι τὰ προσήκοντα τῷ σπουδάζοντι· τὸ γὰρ
ἀλλοτριοπραγμονεῖν, περιττὸν καὶ τρίτον· σπουδῆς
ἄξιον τὸ λόγου τινὸς ἄξια εἶναι τὰ προτιθέμενα·
ὡς ἀσφάλειαν ἔχειν καὶ βεβαιότητα· τίς γὰρ ἂν φοβερὸν
εἰ τὰ ἀτελῆ καὶ μὴ σπουδῆς ἄξια τὰ σφόδρα
σπουδάζοι.

βουλόμενος οὖν ἀποστρέψαι τὸν παιδευόμενον
τῆς περὶ τὰ ἐκτὸς σπουδῆς διὰ τῆς τοῦ ἐφ' ἡμῖν
καὶ οὐκ ἐφ' ἡμῖν διαιρέσεως ἐν ἀρχῇ παραληφθείσης,
καὶ ἀλλότρια δεικνύσι τὰ ἐκτός· οὐ γάρ ἐστιν ἐφ'
ἡμῖν τὰ ἀλλότρια δέδεικται· ὅτι ὁ μὲν τὰ τέκνα
καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους βουλόμενος ζῆν,
βούλεταί τι καὶ σπουδάζει τῶν οὐκ ἐφ' ἡμῖν· ὅπερ
δὲ θεοῦ διὰ τοῦτο καὶ ἀδύνατον ἡμῖν ἐστι· τὸ πάντως
περιποιήσασθαι· ὧν γὰρ οὐκ ἐσμὲν κύριοι, ταῦτα
πάντως ἐν αὐτοῖς δυνάμεθα περιποιεῖν· τοῦ γὰρ
κύριός ἐστι τὸ δοῦναι ἡμῖν· ἔστι δὲ καὶ φύσει εὐτελῆ
καὶ σαθρὰ καὶ εὐαπόβλητα τὰ ἐκτός· τὰ γὰρ θνητὰ
θνήσκειν ἀνάγκη ὅταν ἐπέλθῃ τὸ χρεών· ὁμοίως δὲ καὶ
ὅταν οἰκέτης ἁμαρτάνῃ καὶ ἐὰν ἐνίοτε κάλλιον
ἄγει· ὅπερ πάσχομεν πολλάκις οἱ πρὸς τὰς πλημ-
μελείας τῶν οἰκετῶν δυσχεραίνοντες· μωρὸς φησὶν
ἐστὶ τὰ ἀδύνατα θέλων· ἀδύνατον γὰρ τὴν κατὰ
τὸ ἀλλότριον τὸ ἑαυτῆς ζῶσαν ζωὴν ψυχὴν ὑπὲρ ἑτέρας κακῆς
ψυχῆς πλημμελοῦς ἐνεργεῖν· καὶ τὰς κακίας ἀπρεπεῖ
σας ἐνεργείας ἀποδιδόναι· ἀνάγκη οὖν τὸν περὶ
τὰ ἀδύνατα καὶ ἀλλότρια καὶ δ' ἀπόβλητα καὶ σα-
θρὰ σπουδάζοντα, ἀποτυγχάνειν αὐτῶν καὶ ἀπο-
τυγχάνοντα λυπεῖσθαι καὶ θρηνεῖν· ἐὰν οὖν βουλώ-
μεθα μὴ ἀποτυγχάνειν περὶ τὸ ἐφ' ἡμῖν σπουδάσομεν·
ἐφ' ἡμῖν δέ ἐστι τὸ τῶν κατὰ φύσιν προσηκόντων
ἡμῖν ὀρέγεσθαι· περὶ τοῦτο οὖν καὶ περὶ τὰ ἐκτὸς
τὴν ἑαυτῶν σπουδὴν δαπανήσωμεν:

Κεφ. ἑκάστου ἐστὶ κύριος ὁ τῶν ὑπ' ἐκείνου θελομένων
ἢ μὴ θελομένων ἔχων ἐξουσίαν εἰς τὸ περιποιῆσαι
ἢ ἀφελέσθαι:

κ. Καὶ τοῦτο διὰ πολλῶν ἐλέγχει τῶν ἐκτὸς· καὶ τῆς πρὸς αὐτὰ
τῶν ψυχῶν ἀπονεύσεως· δεικνὺς ὅτι οὐ μόνον λυποῦμεθα
καὶ θρηνοῦμεν ἀποτυγχάνοντες ὧν ὀρεγόμεθα καὶ
περιπίπτοντες οἷς ἐκκλίνομεν· ἀλλὰ καὶ δου-
λεύομεν· καὶ οὐχ ἑνὶ μόνον, ἀλλὰ καὶ πολλοῖς ἐνίοτε
δὲ καὶ πικροῖς δεσπόταις ἀνδραποδιζόμεθα. κύριος γάρ φησιν
ἑκάστου καὶ δεσπότης ἐστὶν· ὁ ἔχων ἐξουσίαν τῶν θελο-
μένων ὑπ' αὐτοῦ· καὶ ὧν ὀρέγεται ἢ περιποιῆσαι ἢ ἀ-
φελέσθαι ἀπ' αὐτοῦ· καὶ γὰρ τοῖς δυναμένοις πρᾶ-
ξαι τὰ ὀρεκτὰ ὑποκρινόμεθα καὶ ὑποταττόμεθα καὶ
ὑπηρετοῦμεν δουλικῶς· ἵνα παράσχωσιν ἡμῖν
αὐτά· καὶ τοὺς δυναμένους ἀφελέσθαι ἃ ἔχομεν,
κολακεύομεν μετὰ δέους· καὶ τρέμομεν καὶ περισαί-
νομεν ὡς δεσπότην· τὸν τὰ ἐκκλινόμενα παρ' ἡμῶν
ἐξουσίαν ἔχοντα ἐπαγαγεῖν ἵνα μὴ ἐπαγάγῃ καὶ
τὸν ἀφελέσθαι δυνάμενον· ἵνα μὴ ἀφέληται·
δῆλον δὲ ὅτι τὰ ἐκτὸς καὶ τὰ ἀλλότρια ἡμῶν ταῦτα
ἐστίν· ὧν ἄλλοι τὴν ἐξουσίαν ἔχουσιν· ἃ δὲ περι-
ποιῆσαι ἢ ἀφαιρεῖσθαι· τῶν γὰρ ἡμετέρων ἡμεῖς
κύριοι· καὶ ἐφ' ἡμῖν ἐστιν ἐπέκεινα· ὅσῳ ἀγαθὸν
ἡ ἐλευθερία. καὶ βουλόμεθα ἐλεύθεροι εἶναι. καὶ
μὴ δοῦλοι· μήτε ὀρεγώμεθα μηδενὸς τῶν ἐπ' ἄλλοις
ὄντων, μήτε ἐκκλίνωμεν αὐτά· εἰ δὲ μὴ, δουλεύ-
ειν ἀνάγκη πολυδεσπότως, ἵνα τύχωμεν τῶν ὀρεκτῶν·
καὶ μὴ ἀφαιρεθῶμεν αὐτῶν· ἵνα ἐκκλίνωμεν τὰ
φευκτά, καὶ μὴ περιπίπτωμεν αὐτοῖς. ὅρα δὲ
ὅτι ἐφ' ἑκάστου διπλοῦς ἔχομεν τοὺς δεσπότας·
τὸν μὲν ἔνδον, τὸν δὲ ἔξω· ἡ γὰρ ἄλογος ὄρεξις τὸν
λόγον κινήσασα· τουτέστιν ἡμᾶς τοὺς κατ' αὐτὸν
οὐσιωμένους· καὶ αἰχμάλωτον λαβοῦσα σὺν ἑκα-

δουλεύει

λοιπὸν τῶν ἐκτὸς δεσποτῶν· ὥστε μὴ μόνον δούλους ἡμᾶς
ἀλλὰ καὶ δούλων δούλους εἶναι· καὶ οἱ μὲν ἄλλοι δοῦλοι
χωρίζονται τῶν δεσποτῶν κἂν ἐν τοῖς ὕπνοις· καὶ
ἀνάπαυσιν ἐξ αὐτῶν λαμβάνουσί τινα· ἡμᾶς δὲ,
καὶ ἐν τοῖς ὕπνοις τοῖς ἀκολάστοις καὶ ἀδίκοις· καὶ
ἀλλοκότοις πρὸς τὰ ἔξω, τῶν ἤδη ἐπιπεσόντων τούτων
δεσποτῶν ὑπηρετοῦμεν· καὶ ἐνδόσιμον οὐδὲ μίαν
ἔχομεν ὅταν αὐτοῖς ὑποταττώμεθα· ἀλλὰ ποτὲ μὲν
ἔργοις· ποτὲ δὲ λόγοις· ποτὲ δὲ φαντασίαις ὑπ' αὐτῶν
δεσποζόμεθα· καὶ τὸ χεῖρον ὅτι τῶν μὲν δούλων
οἱ μετριώτεροι, ἄκοντες ὑπηρετοῦσι τοῖς αὐτῶν
δεσπόταις ἐπιτάγμασιν· ἡμᾶς δὲ καὶ συνηδομένους
καὶ μὴ χαλινοὺς ὑποβάλλοντες· πρὸς τὸ τυχεῖν ἡμῖν ἡδονῆς
ὧν οὐδέποτε ἀβλαβῶς καὶ συμφόρως κελεύουσι:·

μέμνησο ὅτι ἐν συμποσίῳ ὡς δεῖ ἀναστρέφεσθαι περιφερόμενον:· κα.

Πολλαχῶς ἀναχαιτίσας τὴν ἐπὶ τὰ ἐκτὸς τῶν προαιρουμένων ῥοπήν. ἵνα μὴ τελέως περὶ αὐτῶν
ἀποστρέφεσθαι νομισθῇ, λέγει τίνα καὶ ὅπως χρὴ
μεταλαμβάνειν· καὶ πρότερον μὲν ἔλεγεν ὅτι τὰ
ἀνῆφθαι καὶ τοῦ μὲν ἄλλως χρησίμου πρὸς τὸν βίον
ὁδοῦ πάρεργον μεταληπτέον· πρὸς τὸ πλοῖον
ἀνατεταμένον· νῦν δὲ ὅτι τὰ μὲν διδόμενα δεῖ
αὐτῶν κοσμίως χρὴ λαμβάνειν καὶ τέκνα καὶ γυναῖκα καὶ ἀρχὰς
καὶ πλοῦτον καὶ τὰ τοιαῦτα· μὴ ἐκτείνειν δὲ ἐπ' αὐτὰ
τὴν ὄρεξιν· ἀλλὰ μὴν γινόμενα ἀφαιροῖτο· τότε
γὰρ νομίζω δηλοῦν τὸ παρέρχεται· μὴ κατέχειν φησί·
τουτέστι μὴ βιάζου μένειν αὐτά· μηδὲ δυσχέραινε
τὴν ἀφαίρεσιν· ἃ δὲ οὔπω ἥκει μὴ ὀρέγου αὐτῶν·
μηδὲ πρὸς αὐτοῖς ὅλος γίνου ταῖς ἐπιθυμίαις

καὶ φαντασίαις· σαυτοῦ τε καὶ τῆς ἑαυτοῦ προκοπῆς
ἐπιλανθανόμενος· καὶ διδομένων δέ φησι μὴ ὅλον
σαυτὸν παρέχειν ὡς καὶ λαιμάργως ἐκτείνης πρὸς
αὐτά· ἀλλὰ κοσμίως καὶ τεταγμένως ἀκροδακτύ-
λως τὸ λεγόμενον αὐτῶν μεταλαμβάνειν· ἵνα
ἀρχὴν αὐτῶν δέῃ· καὶ χρῆσθαι δεόντως ἐξῃρη-
μένος καὶ μὴ κατακλυζόμενος ὑπ' αὐτῶν. συμ-
ποσίῳ δὲ ἀπείκασε τὴν ἐνταῦθα σύνοδον τῶν ὑπὸ
θεοῦ συνηγμένων ὑπ' αὐτοῦ προσφόρως ταῖς οἰκείαις
ὀρέξεσι· τοῦ μὲν κοσμίως ἑαυτόν τε κατὰ φύσιν
καὶ κατὰ τὴν γνώμην τοῦ ἑστιάτορος· ὅτι καὶ συμ-
πότου αὐτῶν δοκεῖ· τοῦ δὲ ἀτάκτως καὶ ἐπισεσυρμένως
ἑαυτῷ τε ἀσυμφόρως καὶ ἀνοικείως τῷ ἑστιά-
τορι. ἐὰν δὲ καὶ διδομένου φησί τινος τῶν ἐκτὸς
τούτων τῶν ὑπὸ τῶν πολλῶν μακαριζομένων
μὴ λάβῃς ἀλλ' ὑπερίδῃς· ὡς Κράτης ἐποίησε καὶ
Διογένης· Ἀλεξάνδρου γὰρ ἐρωτήσαντος τί βού-
λεται, ἀπόστηθι φησὶ τοῦ ἡλίου· ἐτύγχανε γὰρ ὑπ'
αὐτοῦ θερμαινόμενος· ὥστε θαυμάσαντα τὴν μεγα-
λοφροσύνην τοῦ ἀνδρὸς τὸν Ἀλέξανδρον λέξαι·
εἰ μὲν δυνατὸν κατὰ Διογένην ἔσεσθαι· εἰ δὲ μή, μένειν
Ἀλέξανδρον. ὁ τοίνυν φησὶ καὶ διδομένων αὐτῶν
μὴ λαμβάνων ἀλλ' ὑπερορῶν· καὶ εἰς τὴν ἐξῃρη-
μένην τῆς γενέσεως ὑπεροχὴν τῆς ζωῆς ἀνατρέχων,
οὐ συμπότης μόνον τῶν κρειττόνων. ἀλλὰ καὶ συνάρ-
χων γίνεται· ἡ μὲν γὰρ περὶ τὴν γένεσιν πρόνοια
τῶν κρειττόνων συνεστίους ποιεῖται τοὺς κατὰ
γένος μὴν αὐτῶν ἐν αὐτῇ πολιτευομένους· ἡ δὲ
ἐξαίρεσις αὐτῶν καὶ ὑπεροχὴ τῶν ὅλων· ἐξῃρημένη
γὰρ ἡ κυρίως ἄρχουσα τοῦ ἀρχομένου· αὐτὴ τῶν

μιμουμένας ψυχὰς εἰς τὸ σωφρονίζειν αὐτοῖς καλεῖ·
μετεωροπολοῦσαι γὰρ τότε συνδιοικοῦσι τὸ πᾶν·
καὶ οὐκ ἀγανακτοῦσι τεταγμέναι αὐτῶν· διό φησιν οἱ ὑπερ-
ιδόντες τούτων Ἡράκλειτός τε καὶ Διογένης ἄξι-
ως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο· θεῖοι γὰρ οἱ κατὰ τὸ ἄκρον
καὶ ἐξηρημένον τὸ ἐν ἑαυτοῖς διαζήσαντες· τὸ
γὰρ πάντων ἄκρον θεῖον· ὅτι πάντων ἀκρότης θεός:

ὅταν κλαίοντα ἴδῃς ἐν πένθει, ἢ ἀποδημοῦντος
τέκνου, ἢ ἀπολωλεκότα τὰ αὐτοῦ, πρόσεχε
μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς
ὄντα αὐτὸν τοῖς ἐκτός:

Ὥσπερ ἐν τοῖς αἱρετοῖς δοκοῦσι τῶν ἐκτὸς οὐδὲν πρό- κϛ
χειρον εἶναι καὶ ἐπιθυμητικῶς αὐτῶν ἐννοοῦντα
ὅτι ὁποῖα ποτ' ἂν ᾖ οὐκ ἔστιν ἐν αὐτοῖς τὸ ἀγαθὸν ἡμῶν.
οὕτως καὶ ἐν τοῖς φευκτοῖς δοκοῦσι τῶν ἐκτὸς ἀσφαλῆ
χρὴ εἶναι· ὡς οὐδὲ τῶν κακῶν τῶν ἡμετέρων ἐν τοῖς
ἐκτὸς κειμένων· ὅταν οὖν φησὶ κλαίοντα ἴδῃς ἢ ὡς ἀπο-
θανόντος αὐτῷ τέκνου ἢ ὡς ἀποδημοῦντος· ἢ ὡς
ἀπολωλεκότα τὰ αὐτοῦ, μή σε συναρπάσῃ ἡ φαν-
τασία ὡς ἐν κακοῖς ὄντος ἐκείνου τοῖς ἐκτός· οὐ γὰρ
ἐν τοῖς ἐκτός ἐστιν ἡμῶν τὰ κακά· ὥσπερ οὐδὲ τὰ
ἀγαθά· πῶς οὖν ὁ κλαίων οὗτος ὡς ὑπὸ κακοῦ τοῦ συμβε-
βηκότος θλίβεται· οὐ γὰρ τοιοῦτον φύσει τὸ συμβε-
βηκός ἐστιν· ἐπεὶ καὶ πάντας ἔθλιβεν οἷς συνέ-
βαινεν· ὥσπερ τὸ φύσει θερμὸν πάντας θερμαίνει
τοὺς ἁψαμένους· Ἀναξαγόρας δὲ ἀκούσας ὅτι τέ-
θνηκεν αὐτοῦ ὁ υἱός, γαληνῶς ἅμα καὶ μεγαλοφρό-
νως ᾔδειν φησὶ θνητὸν γεγεννηκώς· τί οὖν θλίβει τοῦτον·
τὸ δόγμα τὸ περὶ τοῦ συμβεβηκότος ὅτι κακόν·
τοῦτό ἐστι τὸ θλῖβον αὐτόν· τὸ δὲ δόγμα ἡμέτερον·

ὥστε τεθρηνημένων ὄντως καί. τοῦτο δὲ οὐκέτι τοῖς
ἐκτὸς ἀλλ' ἐν τοῖς ἐφ' ἡμῖν γέγονε, τὸ τοίως ἢ τοίως περὶ
τῶν συμβαινόντων ὑπολαμβάνειν. τί οὖν; ἀσυμ-
παθῶς ἔχειν δεῖ πρὸς τοὺς θρηνοῦντας τὸν ἐπιεικῆ
καὶ τοῦ δόγματος αὐτῶν καταγινώσκοντα, ἢ περιορᾶν
αὐτούς; οὐδαμῶς. ἀλλὰ συμπεριφέρεσθαι μὲν καὶ
μέχρι τινὸς συγκαταβαίνειν καὶ λόγον συμπαθῆ
λέγοντα· κἂν δέοι συνεπιστενάζοντα, οὐ προσποιητῶς·
οὐ γὰρ προσήκει τῷ ἐπιεικεῖ ἡ προσποίησις· ἀλλ' αὐτὸν
ἐπὶ τῇ ἀγνοίᾳ ἀληθεύοντα στενάζοντα· οἷα πράγματα
στεναγμοῦ ἀξιούμενα. προσέχειν δὲ χρὴ τῷ μέτρῳ
τῆς συγκαταβάσεως. μὴ τῇ συμπαθείᾳ παραχθεὶς
καὶ αὐτὸς ἐνδοθεὶς ἐπὶ τῷ συμπεπονθότι στενάζῃ.
οὐ γὰρ βοηθεῖν ἔτι δύναται τῷ θρηνοῦντι. χρὴ γὰρ
τὸν μέλλοντα τῷ πάθει βοηθεῖν καὶ ἀνθέλκειν αὐτὸν
ἀπὸ τοῦ πάθους, μέχρι τινὸς συγκαταβαίνειν ἀ-
σφαλῶς ἡδρασμένον αὐτόν. οὔτε γὰρ ἐφεστῶ-
τος τελέως μὴ ἀγωνιάσει τὸν κατασυρόμενον ὑπὸ
ῥεύματος, οὔτε ὅλος ἐκείνῳ συγκαταπεσθείς.
ὁ μὲν γὰρ τελέως ἀπηρτημένος, ἀσυμπαθὴς εἶναι
δοκῶν οὐ πείθει τὸν παθαινόμενον· ὁ δὲ καὶ αὐτὸς
συνηττηθεὶς τοῦ πάθους, ἄλλου δεῖται τοῦ βοηθή-
σοντος :· Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος
οἵου ἂν θέλῃ ὁ διδάσκαλος :

κζ'. Πρότερον μὲν συμποσίῳ τὴν ζωὴν ταύτην διαφορῶν
καὶ μέθεξιν τῶν ἐκτὸς ἀγαθῶν καλεῖ. καὶ συμποσιάρ-
χον τὸν διδόντα θεόν· ὅτι κυρίους ἡμᾶς τοῦ λαβεῖν ἢ
μὴ λαβεῖν ὑπετίθετο. καὶ διὰ τοῦτο τὴν ὄρεξιν
ἡμῶν ἐπαιδαγώγει πῶς ἔχειν αὐτὴν χρή. καὶ τὴν
αἵρεσιν πρὸς τὰ παρόντα τῶν ἐκτὸς καὶ τὰ

παρεληλυθότα

ε̄ον·

καὶ ὁ ὀρθὸς λόγος, ὃς· κοινοῦ δέοντος ἐν ταῖς τῶν φίλων
ψυχαῖς κανὼν ὅμως· τοῦ διακρίνοντος τά τε ὠφέλιμα
καὶ τὰ βλαβερά· καὶ τὰ ἡδέα καὶ τὰ λυπηρά, ἑνοῦ-
σθαι δὲ πρὸς ἀλλήλους αὐτοὺς ἀνάγκη· καὶ πᾶσαν δι-
άστασιν καὶ ταραχήν, ἐκποδὼν γίνεσθαι· ἐὰν δὲ
μὴ χρῶνται κανόνι ἄμφω κοινῷ τῷ ὀρθῷ λόγῳ,
διΐστασθαι ἀνάγκη· καὶ ἡ μὲν ἕνωσις τῶν φίλων
τοιαύτη· ἡ δὲ χρῆσις αὐτῶν καὶ ἡ φυλακή, ἐν τῷ
λόγῳ τὸ ὀρθὸν ἔχει· διὰ τοῦτο, τοῖς φίλοις ἡμῶν οὕτω
χρῆσθαι, ὡς ἡμεῖς ἐκείνοις χρῆσθαι βουλόμεθα·
καὶ τὰ μὲν ἀφ' ἡμῶν εἰς αὐτοὺς γινόμενα ἀγαθά,
κατασμικρύνειν ἐν ταῖς ἐννοίαις· τὰ δὲ ἀπ' ἐ-
κείνων εἰς ἡμᾶς, μείζονα ἡγεῖσθαι· τὸ δὲ ἐναντίον,
ἐπὶ τῶν παροραμάτων· τὰ μὲν ἐκείνων, κατα-
σμικρύνειν· ἐπὶ δὲ τοῖς ἡμετέροις ὡς ἐπὶ μεί-
ζοσι μεταγινώσκειν· ἴδιον δὲ μηδὲν ἔχειν ὑπο-
λαμβάνειν· ἐγὼ μὲν καὶ μᾶλλον ἡμῶν τοῖς φίλοις προ-
σήκει· προσιέναι τε παραχωρεῖν ἡδέως ὡς ἐὰν
παραχωρῶνται· ἐπεὶ ὁ φίλος ἄλλος ἐγὼ κατὰ τὸν
παλαιὸν ἐστὶ λόγον· ἐπεὶ δὲ καὶ ἀνθρώπους ὄντας, ἀνά-
γκη ποτέ τι ἁμαρτάνειν εἰς ἀλλήλους· χρὴ τὴν διά-
στασιν φυλάττοντας τῆς φιλίας παρ' ὅσον δυνατόν·
οὕτως τὸ παροραθὲν ἐπανορθοῦσθαι μετὰ πρᾳότη-
τος· πειθόμενον τῷ χρυσῷ ὄντως ἐκείνῳ παραγγέλμα-
τι τῷ λέγοντι· μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος
εἵνεκα μικρῆς, ὄφρα δύνῃ· καλὸν δὲ τὸν ἁμαρ-
τηθέντα παρ' αὐτοῦ φανῆναι τοῦ ἁμαρτάνοντος,
καὶ τὴν συγγνώμην πιστὴν καὶ ἔργοις καὶ λόγοις προσ-
φέρειν αὐτῷ, ἵνα μὴ τὸ τῆς ἁμαρτίας σῶμα
ὕποπτον ποιήσῃ τοῦ λοιποῦ, τὴν φιλίαν ὡς ἀ-
[illegible]

μὴ πιστεύοντι τὸν ἁμαρτήσαντα τὴν αὐτὴν
φυλάττειν προαίρεσιν. δῆλον δὲ ὅτι οὐ μόνον
τῷ φίλῳ χρῆ, ἀλλὰ καὶ τοῖς τοῦ φίλου ταῖς
συμπαθείαις ἐπιμελείας ἀποδιδόναι. ὥστε καὶ ἐ-
κείνοις μὴ δεῖν ἔλαττον οἰκείως ἔχειν. πρὸς αὐτὸν ὁμοίως
ἢ πρὸς τῶν ἑαυτοῦ. ἀπ' αὐτοῦ τοῦτο, οὐδὲ ἧττον.
εἰ μὴ καὶ μᾶλλον ἐπιμελεῖσθαι προσήκει. ὅπερ
εἰώθασιν οἱ δέοντιν τῶν ἐμῶν φίλων. ἵνα δὲ συν-
τέμω τὸν λόγον τῆς ἐκλογῆς ὀρθῶς γινομένης.
ἐξ ἀρχῆς ἀγαθῆς καταβαλλομένης. αὐτὴ λοιπὸν ἡ
μετὰ λόγου συμπάθεια, πρὸς τὴν χρῆσιν ἐφεξῆς τὴν
δέουσαν. καὶ τὰ φιλικὰ καθήκοντα ῥᾳδίως
διδάσκει. καὶ γὰρ αὐτὸ φύσει λοιπὸν ὡς ἑαυτῷ
τῷ φίλῳ χρώμενος ὁ φίλος, πάντα ποιήσει τὰ
δέοντα. οἷον δὲ κτῆμα καὶ πόσων ἀγαθῶν αἴτιον
ἡ φιλία. μακροῦ μὲν ἂν εἴη λόγου διεξελθεῖν.
λεγέσθω δὲ ὅμως ὀλίγα τὰ νῦν ἐπιόντα. πρῶτον
μὲν οὖν ἑκάτερος τῶν φίλων. δύο μὲν ἔχει ψυχάς.
δύο δὲ σώματα. δῆλον δὲ ὅτι καὶ τὰ ἐκτὸς
κοινά. οἱ δὲ πλείονες εἰ σύνοι τοιοῦτοι φίλοι, πο-
λλαπλάσιος ἕκαστος αὐτῶν ἐστί. καὶ ψυχαῖς καὶ
σώμασι καὶ τοῖς ἐκτός. ἐν τῷ οὖν τῇ τῶν ὄντων
ζητήσει. μέγα φῶς ἀληθείας ταῖς οὕτως ἡνωμέναις
ψυχαῖς ἀναφαίνεται. καὶ ἐν τῇ τῆς ἀρετῆς ἀσκή-
σει, πάντων ἑκάστου πλεονεκτημάτων. εἰς τὸ κοιν-
ὸν ἀγομένων καὶ συγγυμναζομένων, μία τις ὁλοτελὴς
ἀρετὴ κοινή πᾶσί τε ἅπασι καὶ ἰδίᾳ ἑκάστῳ πα-
ραγίνεται ῥᾳδίως. καὶ ὑπὸ τῶν κρειττόνων ἐλλαμ-
πομένη διὰ τὴν τελειότητα. βουλαί τε ἀσφαλεῖς
ἐν τοῖς πλείοσι τοῖς τοιούτοις. καὶ πράξεις ἄπταιστοι.

φρουρῆσαί τε σῶμα καὶ δεινῶν ἀμῦναι παρουσίᾳ τῷ στρα-
παραττομέναι· ἀποδημῶν δὲ τῶν οἰκείων ὁ φί-
λος, πάρεστιν αὐτοῖς ἀντὶ τοῦ φίλου παρόντος· καὶ οὐ
ζῶν μόνον· ἀλλὰ καὶ ἀποθνήσκων θαρρεῖ ὡς σῶν
ἀντὶ φίλων αὐτοῖς· ἡ δ' ἀνδρεία ὅπως ἐστὶ τὸ χρῆμα· τί
γὰρ ἂν εἴη ἡδύτερον φιλίας καὶ ὀψέως καὶ ἀκοῆς καὶ
τῶν ὑπὸ σοῦ πραττομένων· πίστις δὲ καὶ θάρρος. οὔτε
ἐπὶ συγγενέσι βεβαίως ἄν οὕτως φρονοίη, οὔτε
ἐπὶ δαψιλεῖ ἢ πλήθει χρημάτων. ὡς ἐπὶ
φίλοις γνησίοις· λέγεται γοῦν ὁ Ἀλέξανδρος ἐρωτη-
θεὶς ποῦ τοὺς θησαυροὺς ἔχει, τοὺς φίλους ὑποδεῖξαι·
παιδαγωγὸς δὲ ἄριστος ὁ φίλος· ὑπ' οὐδενὸς γὰρ
οὕτως ἀφανῶς ἐλέγχεταί τις πλημμελήσας ὡς
ὑπὸ φίλου· οὔτε ἡδὺ συμμαθητὴν ἄλλον οὕτως
ἐφ' οἷς παραινοῦμεν τι τῶν καλῶς ἐχόντων,
ὡς τὸν φίλον· καὶ τὰς εὐημερίας δὲ καὶ εὐφρο-
σύνας, αὔξει παρὼν ὁ φίλος καὶ τὰς λοιπὰς φρον-
τίδας οὐδεὶς οὕτως ἐπικουφίζει καὶ παραμυθεῖ-
ται ὡς ὁ φίλος· καὶ γυμνάσιον δέ, πρὸς τὴν ἀρίστην
χρῆσιν τῶν ἀγαθῶν ἐστιν ἀσφαλές· καὶ γὰρ προ-
τέρων τις ἡδέως παραχωρεῖ τῷ φίλῳ· καὶ πλημ-
μελοῦντός τι ἀφαιρεθῶσαι ἀνέχεται· καὶ τὰ δοκοῦντα
ἀπλάστως τις καὶ ἀληθῶς λέγει πρὸς φίλον ἀ-
μαρτάνοντα τὰς ἐργασίας καὶ ἐννοίας αὐτοῦ
διδάσκει προθύμως· καὶ τὸ φιλάγαθον δὲ καὶ ἀγαθο-
φ... τῆς ψυχῆς, πρὸς οὐδένα οὕτως ὡς πρὸς
φίλον μετ' εὐφροσύνης ἐκτελεῖται· σύμμαχος
δ' ἀπροφάσιστος καὶ ἄχρι θανάτου· οὐδεὶς ἂν γέ-
νοιτο τοιοῦτος τις οἷος τοῦ φίλου· καὶ ἀδάμαντον
στρατόπεδον· ἀπὸ φίλων συνεστάναι, πολλῶν

ἂν

ἐλάττους ἐσόμενοι οὗτοι πλείονας ἄν τι πολλοὺς ῥᾳδίως
καθηγωνίζοντο· πρὸς τοὺς φίλους οὕτως εὐφόρως ἐν
τούτοις ἀσκούμενός τις καὶ συνεθιζόμενος διαπο-
λαῖ αὐτὴν φιλικὴν συμπάθειαν, δι' ἣν καλῶς ἂν αὐτῷ
χρήσαιτο καιροῦ καλοῦντος καὶ πρὸς τοὺς ἄλλους
ἀνθρώπους κατὰ τὸ αὐτὸ προσῆκον· ἐπιστῆσαι δὲ ἄ-
ξιον ὅτι καὶ ταῖς φυσικαῖς σχέσεσι παραπλήσιον καὶ
συμπαθὲς καὶ μετὰ προθυμίας τῶν καθηκόντων
ἀποδοτικὴν ἡ φιλία παρέχει· καὶ γὰρ καὶ ἀδελφοὶ
καὶ γονεῖς καὶ τέκνα καὶ ἀνὴρ καὶ γαμετὴ ἐὰν μὴ
φίλοι ὦσιν ἀλλήλων κἂν πάθωνται τῶν ἐπικτήτων
καὶ τῇ φυσικῇ σχέσει τὸ καθῆκον ἀποδιδόασιν.
ἀλλ' οὐ προθύμως οὐδὲ μετ' εὐφροσύνης· οὐ διὰ
τὸ ὅλον ἑκουσίως· ἀλλ' ἀνάγκῃ τε ἕπῃ καὶ ὡς ἀναγκα-
ζόμενοι ποιοῦσι λειτουργίαν τινὰ ἐπὶ κακῷ μένων
νομίζοντες ἐκτελεῖν· ἀλλ' οὐκ ἐπιθήγοντες
τοῖς γινομένοις· οὐδ' ὡς προηγούμενα αὐτὰ ἀγαθὰ
ἀγαπῶντες· ἀλλ' ὡς ἀναγκαῖα ὡς χρεωμένοι πρὸς
τὴν τοῦ καθήκοντος ἀποπλήρωσιν· αἴτιον δὲ
τοῦ τοσοῦτον δύναμιν ἔχειν τὴν σχέσιν τὴν φιλικὴν
τὸ κατὰ προαίρεσιν αὐτὴν ἐπιτελεῖσθαι· τὰ μὲν
γὰρ προαιρέσεως ἐστερημένα διὰ τῆς φυσικῆς
συνδέεται σχέσεως· τὰ δὲ προαιρετικὰ μεί-
ζονα τῆς φυσικῆς συνδέσεως τὴν προαιρετικὴν
ἔχει· ὅτι καὶ τῆς φυσικῆς οὐσίας ἡ λογικὴ καὶ
προαιρετικὴ ὑπερτέρα ἐστί· καὶ μᾶλλον τῷ ἑνὶ
τῷ παντὶ ἑνίζουσι ἁρμόζουσα· καὶ ἔστι μὲν
μεγάλα καὶ θαυμαστὰ φιλίας ἀγαθὰ καὶ τὰ εἰρη-
μένα· πολλῷ ἀμείνω ταῦτα παρεῖσθαι αὐτῶν· τὸ δὲ
μέγιστον καὶ μάλιστα θεῖον αὐτῆς χρῆμα ἁρμόζεται.

ὅτι ἡ καθαρὰ φιλία τὰς φίλας ψυχὰς, εἰς ἓν
συμφύουσα μελέτη καλλίστη ἂν γένοιτο τῆς πρὸς θεὸν
ἐρώσεως· καὶ γὰρ ῥᾳδίως αὐτὸν τῆς πρὸς τὰς ὁμοφυεῖς
ψυχὰς, κρείττονος ἐρώσεως τυχεῖν· καὶ καλῶς οἱ Πυ-
θαγόρειοι περιττῶς τῶν ἄλλων ἀρετῶν τὴν φιλί-
αν ἐτίμων· καὶ σύνδεσμον αὐτὴν πασῶν τῶν ἀρετῶν
ἔλεγον· καὶ μιᾶς γὰρ ἧστινος οὖν τῶν ἀρετῶν ἀπο-
λειπομένης, οὐκέτι θέλει παραγίνεσθαι φιλία·
τίς γὰρ ἄδικος ἢ ἀκόλαστος ἢ δειλὸς ἢ ἔτι μᾶλλον
ἀνόητος, δύναται τὸ τῆς φιλίας ἀγαθὸν ὑποδέ-
χεσθαι· χρὴ οὖν τὸν βουλόμενον εἶναι φίλον κα-
θαίρειν ἑαυτὸν ὅσον δυνατὸν μάλιστα ἀπὸ τῶν ἀλόγων
τῆς ψυχῆς παθῶν. καὶ τὸ τὸν ὅμοιον ζητεῖν· καὶ
ἀφροῦνται περὶ πλείονος ἀρέσασθαι τὸ ἡμῖν σὺν τούτῳ ἐναντίον
εὕρῃ καὶ γενόμενον μεῖζον κατὰ τὸν Ἀριστοφάνην μῦθον·
ἀλλὰ ταῦτα μὲν τῇ περὶ τὴν φιλίαν ἐπιθυμίᾳ
κεχαρίσθω· τὴν καλὴν ἐν ὀλίγοις αὐτὴν ἐφιεμένην
ὁρᾶν. διὰ τὴν σπάνιν ἢ σχεδὸν αὐτῆς ἀπὸ τῶν
καθ' ἡμᾶς ἀνθρώπων ἀναχώρησιν· ἐπανηκτέον δὲ
ὅθεν ἐξέβημεν· καὶ τὰς λοιπὰς προσθετέον
σχέσεις, ὧν ἐμνημόνευσεν ὁ Ἐπίκτητος· ἐπειδὴ
γὰρ δεῖν ἀπὸ τῆς διαφορᾶς τῶν σχέσεων, τὴν
διαφορὰν τῶν καθηκόντων εὑρίσκειν· οὕτω φησὶ
δ' ἀπὸ τῆς τοῦ ὑποσχέσεως, τὸ περὶ αὐτὸν καθῆκον
ληπτέον· συγγένεια δέ τίς ἐστι καὶ αὕτη· ἡ γὰρ κοινὴ
μήτηρ ἡ πόλις μητρὶς οὖσα καὶ πατρὶς δηλονότι κατὰ τοὺς
ἀδελφοὺς πως ἐσμὲν πολῖται. καὶ κατὰ τὸ
προφανὲς δὲ τοῦτο κἂν πόρρω θεῖν· ἀλλ' ὅσῳ πα-
ρὰ τὸν τοῖς γνησίοις πολίταις καὶ μὴ μετοίκοις ἀρί-
σκεταί τις πρὸς ἀλλήλους συγγένεια· ἀρκεῖ δὲ

καὶ τὸ κατὰ τὴν φύσιν συγγενές· πολλὴν γὰρ
ἔχουσι κατὰ τὰς φύσεις ὁμοιότητα· οὐ μόνον οἱ τῶν
αὐτῶν πόλεων, ἀλλὰ καὶ οἱ τῶν αὐτῶν ἐθνῶν.
ὡς συγγενέσιν οὖν τοῖς πολίταις προσγενήσεται
τῆς τε τῶν ἠθῶν ὁμοιότητος αὐτῶν κατὰ τὸ δυ-
νατὸν ἐπιμελόμενον· ἵνα ἅμα περιγένηται
τὸ ἀγαθοῖς συνοικεῖν ἀνδράσι· καὶ τοῦ ἀνενδεοῦς
ἐν τοῖς ἀναγκαίοις· καὶ τῆς ἐν ταῖς περιστάσεσιν
ἐπικουρίας τοῖς τε ὀρφανοῖς παρεῖναι καὶ ταῖς χη-
ρευούσαις γυναιξὶ παραφαίνεσθαι· δυνατὰ γὰρ
ὁ μὲν διὰ χρημάτων. ὁ δὲ διὰ πολιτικῆς δυνάμεως
αὐτοῦ ἢ φίλων. οἱ δὲ διὰ συμβουλῆς
σωματικῆς ὑπουργίας. ὁ δὲ καὶ μηδὲν γοῦν ἄλλο
διὰ συμπαθείας γοῦν τὸν πολίτην παραμυθήσεται.
ὁ γείτων ἐὰν καὶ πολίτης ᾖ, ἔχει τι πλέον προσοι-
κειότητος· ὥσπερ γὰρ πόλιν τὴν αὐτὴν καὶ γένος
ὁμοῦ τὴν οὐδὲ ἐκ ταὐτομάτου τυγχάνομεν, οὕτω
τὸ τόπον τὸν αὐτὸν τῆς πόλεως. κατά τινα κοινὴν
ἀξίαν κληρούμεθα· πλείονα γοῦν οἰκειότητα χρὴ πρὸς
τοὺς γείτονας τῶν πολιτῶν ἐπιδείκνυσθαι.
ταῖς τε ἐπὶ τῶν πολιτῶν εἰρημένα μετά τινος
ἐπιτάσεως καὶ ἐπὶ τῶν γειτόνων φυλάττοντα
μεταδιδόντα ὧν δυνατόν ἐστι καὶ μεταλαμβά-
νοντα· καὶ τοῖς ἀγαθοῖς αὐτῶν συνηδόμενον· καὶ
ἐν τοῖς λυπηροῖς συστυγνάζοντα· νοσοῦντάς τε
ὡς οἰκείους ἐπιμελεῖσθαι· καὶ ἐν ταῖς πρὸς ἀλλήλους
αὐτῶν ὁμιλίαις. δῆλον εἶναι πᾶσι τῷ γείτονι
τὰ δίκαια προϊσχόμενον κατὰ τὸ δυνατὸν
βοηθήσοντα· καὶ ἁπλῶς εἰπεῖν αὐχοῦντα ἡγούμενον
ἄξιον τὸ ἐν οἷς ὁ γείτων δεῖται δυνατοῖς ἡμῖν

ἐν τούτοις παρ' ἄλλων αὐτὸν ὠφελεῖσθαι· ἐπεὶ δὲ
χρεῖοις καὶ πρὸς τοὺς ξένους τοὺς ἐπιδημοῦντας
ἡμῖν ὑπὸ τοῦ τοὺς ξένους ἐφορῶντος θεοῦ συνδεομένη·
χρεωστοῦμεν καὶ τούτοις τὸ καθῆκον ἀποδιδόναι· διά
τε τὸν ἐφορῶντα αὐτοὺς θεόν· καὶ διὰ τὴν αὔξησιν
τῆς ἐν ἡμῖν φιλαγίας· ὀφειλούσης μὴ μόνης συν-
ίστασθαι τῇ οἰκειότητι· ἀλλὰ καὶ ἐπὶ τὸ γένος ὅ-
λον τῶν ἀνθρώπων ἐκτείνεσθαι· ἔτι μέντοι ἵνα καὶ
ἡμᾶς μετὰ παρρησίας ἱκετεύομεν ἡμῖν συλλαμ-
βάνεσθαι τὸν τοὺς ξένους ἐφορῶντα θεόν· καὶ κατὰ
τὴν θείαν δίκην, καὶ ἡμᾶς τυγχάνομεν τούτων
ὧν ἡμᾶς τοῖς ξένοις μεταδίδωμεν· χρὴ γὰρ ἐν-
νοεῖν ὅτι καὶ τῷ θεῷ δαψιλεστέρας τὰς ἀγαθὰς προσφέ-
ρουσι καὶ πράξεις· καὶ μετὰ τόκων μεγάλων
ἀγνωμονέστερον ἐν ὧν αὐτὰς ἀποδίδωσι· κα-
θήκει δ' ἢ μηδαμῶς τὸν ξένον ἀδικεῖν· ἀλλὰ καὶ
ὑπ' ἄλλων ἀδικούμενον κατὰ τὸ δυνατὸν βοηθεῖν·
ἔρημον γὰρ ὄντα ἐποίκου εἰς ἀδικίαν ἥκει· ὁ τοὺς ξένους
ἐφορῶν θεὸς ἐλεεῖ μᾶλλον καὶ μᾶλλον ἐκδικεῖ· χρὴ
δὲ καὶ πρὸς τὴν χρείαν ἧς ἕνεκεν ἀφῖκται συ-
λλαμβάνειν αὐτῷ τὸν δυνάμενον· καὶ ἐπὶ τῇ δ-
εομένῳ κατὰ δύναμιν παρασχεῖν· κἂν νοσήσῃ
ξένος ἐφ' ὅσον οἷόν τε βοηθεῖν· καὶ πρὸς τὴν οἴκα-
δε ἐπάνοδον συμπράττειν κατὰ τὸ δυνατόν· χρὴ
δέ φησι καὶ ἀπὸ τῆς περὶ τὸν στρατηγὸν χρείας
τὸ περὶ τὸν στρατηγὸν καθῆκον εὑρίσκειν τὸν στρα-
τιώτην· καθήκει δὲ καὶ ἐπιτάττοντα ταχέως
ὑπακούειν διὰ τὴν ὀξύτητα τῶν ἐν τοῖς πολέμοις
καιρῶν· καὶ ἀνδρικῶς ἀγωνίζεσθαι τῷ στρατηγῷ
πειθόμενον· ὡς ἐπ' αὐτῷ οὔσης τῆς τοῦ πολέμου
τύχης·

καὶ προκινδυνεύειν δὲ καθήκει τοῦ στρατηγοῦ τοὺς στρα-
τιώτας· διότι ἑνὸς μὲν στρατιώτου πεσόντος, ὀλί-
γον τὸ μέρος ἐκείνου κατὰ τὸν πόλεμον βλάπτεται.
στρατηγοῦ δὲ πεσόντος κἂν νικῶντες τύχωσιν οἱ ὑπ'
αὐτὸν στρατιῶται καὶ τοῖς φρονήμασιν ἀθυμίᾳ κατα-
πίπτουσι· καὶ ὥσπερ πρόβατα ποιμένος στερηθέντα
λύκων ἐπερχομένων ἄλλος ἀλλαχοῦ πρὸς φυγὴν
διασπείρονται· ὥστε οὐ μόνον τὸ στρατόπεδον, ἀλλὰ
καὶ ἡ πατρὶς κινδυνεύει στρατηγοῦ κατὰ τὸν πόλεμον
πίπτοντος. δηλοῖ δὲ τὰ ἐπὶ τῶν θαυμαστῶν Κύρου
συμμαχιῶν· ἅπερ ὁ Ξενοφῶν ἐν τῇ ἀναβάσει ἱστό-
ρησε. δῆλον δὲ ὅτι καὶ πρὸς τοὺς ἐν ταῖς πόλεσιν
ἄρχοντας, ἐπεί τις τῶν ἀρχομένων σχέσις, ἣ κα-
θήκοντα τὰ πρέποντα τῇ σχέσει· πρέπει δὲ
τοῖς ὄντως ἄρχουσι πάντα πείθεσθαι τοὺς ἀρχο-
μένους καὶ ὑπακούειν προθύμως καὶ τιμᾶν ὡς
μετὰ θεὸν εὐεργέτας· οἱ γὰρ ἀληθῶς ἄρχοντες,
ἀπὸ τῆς ψυχῆς ἄρχουσι καὶ διὰ πάντων τῶν τοῦ
ἀνοὺ χωρ        ἐπιμελόμενοι· καὶ ὁ πρὸ Ἱπποκρά-
της τῶν ἰατρῶν ὥσπερ τοῦτο καὶ ἐπὶ τῶν ἀρχόντων
ἰδεῖν ἐστι δυσφιλέστερον· ἀπ' ἀλλοτρίαις γὰρ συμ-
φοραῖς, ἰδίας καρποῦται λύπας· μὲν οὖν πάν-
τες περ πάθοιεν τοῦτο ἐπικτῆται· φροντίδας δὲ
καὶ πόνους καὶ τοὺς οἰκείους κατὰ φρονήσεις καὶ ἀσχο-
λίας ἀφελκούσας αὐτοὺς τῆς πρὸς ἑαυτοὺς καὶ τὰ
κρείττονα ἐπιμελείας· χρὴ δὲ μὴ μόνον ὑπουργεῖν,
ἀλλὰ καὶ συνεργεῖν τοῖς ἄρχουσι τοὺς ἀρχομένους.
καὶ συγκινδυνεύειν ἀγωνιζομένων αὐτοῖς τῶν ἀρχῶν.
ἢ λεγόμενοι μόνον τύχωσιν ἄρχοντες, τὰ τοῖς
ἄρχουσι προσήκοντα μὴ πράττοντες· καὶ οὖν ὥσπερ

μοχθηρὲ χρὴ καταγινώσκειν· τὸ δὲ τὴν ἀρχὴν προ-
σῆκον ἀποδιδόναι· προστάττων γὰρ παραχω-
ροῦντας καὶ τοῖς θεομένοις ἐφ' οἷς κατὰ ψυχὴν οὐ βλα-
πτόμεθα· ἀλλ' ἐπὶ τὰ λοιπὰ κεφάλαια τοῦ ἐπι-
κτήτου ἰτέον· μὴ ἐμαυτὸν λάθω προθέμενος
μὲν τὰ τοῦ ἐπικτήτου σαφηνίσαι· περὶ καθηκόντων
δὲ βαττολογῶν μέν :· τῆς περὶ τοὺς θεοὺς εὐ-
σεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστι:

Πρᾶος ἔσται πρὸς τοὺς ὁμοφύλους· τουτέστι τὰ περὶ λζ
τοὺς ἄλλους καθήκοντα, μεταβαίνει λοιπὸν ἐπὶ τὰ
πρὸς τοὺς κρείττονας ἡμῶν· ὁδὸς γὰρ αὕτη τῶν προ-
σεχῶν ἀρχομένων οὕτως ἐπὶ τὰ ὑπέρτερα ἀνα-
βαίνειν· καὶ ἐν τοῖς καθήκουσι· καὶ ταῦτα δὲ ἀπὸ
τῆς σχέσεως εὑρίσκει· σχέσις μὲν γάρ ἐστιν ὡς
πρὸς αἴτια προόντα καὶ ὑπερέχοντα· δῆλον δὲ
ὅτι τοιαῦτα ὄντα οὐδὲν αὐτὰ δεῖται παρ' ἡμῶν·
διότι τὰ πρὸς αὐτοὺς καθήκοντα ἡμῖν ἐστι ταῦτα οἰ-
κειοῦντα καὶ ὑποτάττοντα ἡμᾶς αὐτοῖς· τοῦτο γὰρ ἐδέ-
το τὴν σχέσιν. καὶ τὴν κατὰ φύσιν σύνταξιν φυ-
λάττειν τὰ αἰτιατὰ πρὸς τὰ προόντα καὶ ἐξῃρη-
μένα αἴτια· τιμᾶν οὖν αὐτοὺς δεῖ καὶ σέβεσθαι·
καὶ πείθεσθαι τοῖς ὑπ' αὐτῶν γιγνομένοις· καὶ ἡδὺ
αὐτοὺς ἔχοντας· καὶ ἀρεσκομένους ὡς ὑπὸ ἀρίστης
γνώμης καὶ ἀγαθῆς προνοίας γινομένης· ταῦτα
δὲ ἡμῖν ὑπάρξει τῆς τε γνώσεως ἡμῶν ἀληθιζο-
μένης· καὶ τῆς ζωῆς κατὰ φύσιν διατιθεμένης·
τῆς μὲν γνώσεως ὑπολήψεις καὶ δόξας ὀρθὰς
περὶ αὐτῶν ἐχούσης· ὅτι τε ἐστὶ προόντα τῶν ὅλων
αἴτια· καὶ ὅτι διοικοῦσι τὰ πράγματα καὶ προνοοῦν-
ται τῶν ὅλων· καὶ ὅτι καλῶς αὐτὰ καὶ δικαίως κατευθύν·

ἅτε γὰρ μὴ εἶναι αἰτίους αὐτοὺς νομίζειν· ἅτε εἶναι μὲν μὴ
προνοεῖν δέ· ἅτε εἶναι μὲν καὶ προνοεῖν· μὴ δι-
καίως δὲ καὶ κατὰ λόγον ὀρθὸν προνοεῖν. οὔτε
τιμῆς στέργειν καὶ σέβεσθαι· οὔτε τοῖς γινομένοις
ὑπ' αὐτῶν ὑπείκειν καὶ ἕπεσθαι· ὡς ὑπὸ ἀρίστης
γνώμης γινομένοις· τῆς δὲ ζωῆς εὐαρέστως πρὸς
τὰ γινόμενα διατιθεμένης· ὡς ὑπὸ ἀρίστης
γνώμης διοικουμένων τῶν ὅλων· καὶ μήτε
μεμφομένης τι, μήτε ἐγκαλούσης τοῖς αἰτίοις.
τοῦτο δὲ οὐ κατορθοῖ ἡμῖν εἰ μὴ τὸ ἀγαθὸν καὶ κακὸν ἡμεῖς
ἐν τοῖς ἐφ' ἡμῖν ζητοῦμεν· ἵνα ἐν τούτοις τὰς ὀ-
ρέξεις ἔχωμεν καὶ τὰς ἐκκλίσεις. καὶ μήτε ὀρεγόμενοι
ποτὲ ἀποτυγχάνωμεν· μήτε ἐκκλίνοντες περιπί-
πτωμεν· ἐὰν γὰρ τῶν ἐκτὸς ὡς ἀγαθῶν ὀρεγώμεθα·
ἢ ὡς κακά τινες τῶν ἐκτὸς ἐκκλίνωμεν, ἀνάγκη
ἢ τῶν ὀρεκτῶν πολλάκις ἀποτυγχάνειν, καὶ τοῖς ἐκ-
κλινομένοις περιπίπτειν· ἀποτυγχάνοντες ὧν
ὀρεγόμεθα· καὶ περιπίπτοντες οἷς ἐκκλίνομεν,
ἀνάγκη μέμφεσθαι καὶ μισεῖν τοὺς αἰτίους τούτων
ἢ τοὺς δυναμένους μὲν παῦσαι περιορῶντας δέ. πᾶν
γὰρ ζῷον τάχα δὲ καὶ πάντα τὰ ὄντα. τοῦ μὲν ἀγαθοῦ
ἐφίεται· τὰ δὲ κακά, διὰ τὸν αὐτὸν λόγον ἐκκλίνει
κατὰ φύσιν· καὶ διὰ τοῦτο τὰ μὲν βλαβερὰ ὄντα
ἢ δοκοῦντα· ὡς κακὰ καὶ τὰ αἴτια αὐτῶν ἐκτρέπεται.
τὰ δὲ ὠφέλιμα ὁμοίως ὄντα ἢ δοκοῦντα καὶ τὰ
αἴτια αὐτῶν ἀσπάζεται καὶ μεταδιώκει. καὶ ὡς μέγα
τεθαύμακεν. ἀδύνατον οὖν βλάπτεσθαί τινα
οἰόμενον χαίρειν τῷ δοκοῦντι βλάπτειν ὥσπερ
καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν, ἀδύνατόν ἐστιν.
ὡς γὰρ πρὸς τὴν βλάβην, οὕτως καὶ πρὸς τὸν ποι-

οἴονται τὴν βλάβην δὲ ἀντίθετον· ἡ δὲ βλάβη κακόν· κγ
τὸ δὲ κακὸν, φευκτὸν καὶ μισητόν· ὥσπερ τὸ ἀγαθὸν
ἐφετὸν καὶ ἀσπαστόν· καὶ ὅτι ἀμφότερα τὸν αἴτιον νο-
μιζόμενον τοῦ δοκοῦντος κακοῦ μισεῖν καὶ λοιδορεῖν
πειρῶνταί τε ὡς ἐκ τοῦ μὲν δὲ τὴν φύσιν οἰκείου
ὄντος πρὸς τὸ μὲν μισεῖν τοὺς τῶν φαινομένων
ἀγαθῶν ἀποστεροῦντας· ἢ τοῖς δοκοῦσι κακοῖς περι-
βάλλοντας· διὰ τοῦτο γὰρ καὶ ὁ πατὴρ ὑπὸ υἱέος μι-
σούμενος λοιδορεῖται· ὅταν τῶν δοκούντων ἀγαθῶν
μὴ μεταδιδῷ τῷ παιδί· ἢ τῶν δοκούντων τι κακῶν
αἴτιος ᾖ· τύπτων ἢ σῶμα ἐθίζων πρὸς ἐγκράτειαν·
τὸν πολυνείκην δὲ καὶ ἐτεοκλέα τοὺς οἰδίποδος
παῖδας· καίτοι ἀδελφοὺς ὄντας τοῦτο ὁμοίως κἀμάχει
τοῦ μονομαχῆσαι καὶ ἀμυνθῆναι ἀλλήλους προκαλεῖ
τὸ ἀγαθὸν δοκοῦσαν τὴν τυραννίδα ὑπ' ἀλλήλων
ἀφαιρεθῆναι νομίζων· καὶ ὅτε ὄμβρος δέοιτο σπει-
ροντος μὲν ἐπιβρέξῃ· ἢ πλέον ἢ ὅσον ποτέ· ἢ ἄλλο τι
τῶν βλαπτόντων ἢ ὠφελούντων δοκούντων γένηται ἢ μὴ
γένηται λοιδοροῦσι τοὺς αἰτίους· ποτὲ μὲν καὶ λόγοις
βλασφημοῦν· ἃ δὲ μὴ τῇ γε ἐννοίᾳ· καὶ οἱ ναῦται
δὲ δυσχεραίνουσι νότῳ μὲν οἰκεῖος ὢν ἄνεμος αὐτοῖς
ἐπιπνέῃ· καίτοι πολλάκις ὁ μὲν, νότου χειμάζει
κατ' αὐτὸν. ὁ δὲ, βορέου· καὶ οὐκ ἐννοοῦσιν
ὅτι ἅμα πνεῖν τοῖς ἀντικειμένοις ἀδύνατον·
ἀλλὰ μόνον διαφοροῦσι πρὸς τὸν τῶν ἀνέμων
αἴτιον· ὅτι μὴ τοῦ οἰκείου τυγχάνουσιν ἢ τοῦ ἐναντίου·
πειρῶνται· καὶ οἱ ἔμποροι δέ, ὠνούμενοι μὲν, ἀφθο-
νίαν ἐν αἰμούλον τῶν ἐμπορευομένων· οἱ πρά-
σκοντες δὲ ἀπονίαν· καὶ ἀγανακτοῦσιν ὁποτέρου ἂν
τούτων μὴ γένηται· καὶ τοὺς τοῦ ὅλου διοικοῦντας αἰτιῶνται.

καὶ οἱ ταῖς γυναιξὶ δὲ καὶ τοῖς τέκνοις καὶ ὅλως τὰ φίλτατα ἀπολλύντες ὡς ἀποτυχόντες ὧν ὀρέγονται· καὶ περιπεσόντες οἷς ἐξέκλινον, μέμφονται τοῖς αἰτίοις κοινῶς· τοὺς γὰρ τὸ δοκοῦν συμφέρον πορίζοντας ἐπαίνοις καὶ τιμαῖς καὶ σέβειν πεφύκαμεν· τῇ γὰρ τοῦ συμφέροντος τεύξει, σέβας ἀθρόως ἀνακινεῖται πρὸς τοὺς τὸ συμφέρον παρέχοντας· ὥσπερ τῇ τοῦ ἀσυμφόρου μῖσος καὶ ἀποστροφὴ πρὸς τοὺς αἰτίους· ὥστε ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ καὶ ἐκκλίνειν, ἀλλὰ μὴ πρὸς τὰ ἐκτὸς τείνει τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν, οὗτος ἐν ταὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται· τυγχάνων γὰρ ἀεὶ ὧν ὀρέγεται, καὶ μὴ περιπίπτων οἷς ἐκκλίνει διὰ τὸ ἐφ' ἡμῖν εἶναι ταῦτα, καὶ εὐαρεστεῖ προσγινόμενα καὶ τὸ προσῆκον σέβας τοῖς αἰτίοις αὐτῶν ἀποδίδωσιν· ὁ δὲ τῶν ἐκτὸς ὀρεγόμενος καὶ ταῦτα ἐκκλίνων εἰ μὴ τὰς τῶν ἀγαθῶν γνώμας ἔχει τῇ ἑαυτοῦ δοκήσει συντρεπομένας· καὶ πάλιν καὶ πενίαν καὶ ἥτταν καὶ νόσον· καὶ ζωὴν καὶ θάνατον καὶ νίκας καὶ ἥττας· καὶ μὴν τοὺς ἀνέμους καὶ ὄμβρους καὶ χαλάζας καὶ πάντα τὰ μετέωρα καὶ τὴν εἱμαρμένην πᾶσαν περιφοράν· ἐπειδὴ εἰς ταῦτα τὰς ὀρέξεις καὶ τὰς ἐκκλίσεις ἐξέτεινεν· ἀνάγκη ὡς πολλῶν μὲν ὀρεγόμενος ἀποτυγχάνει· πολλοῖς δὲ ἐκκλίνων περιπίπτει· ὥστε καὶ δυσχεραίνει πάντως καὶ μέμφεται τοῖς αἰτίοις· καὶ ζῇ βίον πρὸς τῷ λυπηρῷ καὶ ἐπίπονον καὶ ἀσεβῆ πρὸς τὸ θεῖον· ὥστε πάντοτε κακοδαίμονα. [illegible] δὲ τῆς περὶ τὸ θεῖον εὐσεβείας τὸ κυριώτατα ταῦτα αἴτια τὴν τὸ ἀγαθὸν περὶ αὐτῶν ἐπιστήμην.

καὶ τὸ πᾶν θεᾶσθαι καὶ ἀγαπᾶν τοῖς ὑπ' αὐτοῦ γινομένοις
ἔχοντας καὶ εὐαρεστοῦντας ὑπὸ τῆς ἀρίστης γνώμης
γινομένοις· καὶ δείξας ὅτι τοῦτο ἀδύνατον ἐστὶ
τοῖς μὴ τὸ ἀγαθὸν καὶ κακὸν ἐν τοῖς ἐφ' ἡμῖν τιθε-
μένοις. ἀλλ' ἐν τοῖς ἐκτὸς ἐφόδοις προστιθεῖσι·
ζητεῖ ταῖς δι' αὐτῶν ἐκτὸς τῷ θεῷ προσαγομέναις τιμ-
ῶν ταῖς νομιζομέναις καὶ ἐνθέσμοις. ὁ θεὸς πάντως
τοῖς ἁγνοῖς ἐξέφηνεν. ὡς καὶ αἱ ἱστορίαι δηλοῦσιν·
ἵνα καὶ ἡμᾶς διὰ τῶν τυγχανόντων τῆς πρὸς
αὐτὸν οἰκειότητος· καὶ τὰ ἐκτὸς διὰ τῶν προσφερο-
μένων ἀπολαύοντες τῆς θείας ἐλλάμψεως ἀφθό-
νως ἡμῖν καὶ εὐχερῶς γίνηται· ὥσπερ γὰρ τὴν ψυ-
χὴν ἧς αἴτιος ἐστὶν ἀνατιθέμεν αὐτῷ καὶ ἀφιεροῦμεν·
ἀποκαθαίροντες αὐτὴν διά τε τῆς ἐπιστήμης μα-
γικῆς περὶ αὐτοῦ ἐννοίας· καὶ διὰ τῆς κατὰ
φύσιν ζωῆς· οὕτως ἐπὶ ταύτῃ χρὴ καὶ τὸ σῶμα
τὸ ὑπ' αὐτοῦ δοθὲν ἀνατιθέναι καθαίροντας.
ἔξωθεν δὲ δι' αὐτῶν τὰς φανερὰς καὶ ἀφανεῖς
κηλῖδας ἀπορριπτόντων. ἡ δὲ κεκαθαρμένη
διὰ τῶν εἰρημένων τρόπων ψυχή. διὰ τοῦ κε-
καθαρμένου ὀργάνου. καὶ ἀμφιέσμασι καθαροῖς
ὡς δυνατὸν κεχρημένου· καὶ τῶν ἐκτὸς ὑπὸ τοῦ
θεοῦ δοθέντων προσφέρεται τὰς ἀπαρχάς· καὶ γὰρ
ὅσιον καὶ δίκαιον ἐστὶ τοῖς δεδωκόσιν ἀπάρχεσθαι·
οὐχ ὅτι δεῖται τούτων ὁ θεός· οὐδὲ γὰρ τῆς εὐζωΐας
δεῖται τῆς ἡμετέρας· οὐδὲ τῶν ὀρθῶν περὶ αὐτοῦ
ἐννοιῶν· ἀλλ' ἡμᾶς διὰ τούτων κατὰ τὸ ἐπι-
βάλλον αὐτοῖς μέτρον ἐπιτηδείων γινομένων
πρὸς τὴν θείαν ἔλλαμψιν· ὑποδεχόμεθα γὰρ θεὸν
ὅστις ἄξιος. οὕτως καὶ τῶν ἐκτὸς τὰ προσαγόμενα

καὶ ἀνατιθέμεναι ἀπὸ ζωῆς καθαρᾶς κατὰ τὸν προ-
σήκοντα τρόπον μεταλαμβάνειν καὶ αὐτὰ τῆς
θείας ἀγαθότητος ὡς καὶ θείας ἐνεργείας ἐπιδει-
κνύναι. καὶ γὰρ ἐπιληψίας τις ὁμολογεῖ ἀπαλ-
λάττεσθαι. καὶ διὰ τῆς τῶν τοιούτων μεταλήψεως.
καὶ χαλάζας καὶ θαλάσσης κλύδωνας ἔπαυσε
τῶν τοιούτων πολλάκις. καὶ οἱ προσφέροντες
ὁσίως αὐτὰ τῇ πρὸς αὐτὰ χάριτι συμμετέχουσι
καὶ αὐτοὶ τῆς θείας ἐλλάμψεως μετὰ τοῦ καὶ δί-
καιον καὶ ἐλάχιστον ἔργον ποιεῖν τὸ τοῖς δεδωκό-
σι παρέχεσθαι καὶ ἀνατιθέναι. ὅπερ δὲ ἕν τῶν δι᾽
ὀλίγου τοῦ προσφερομένου καὶ τὸ ὅλον εἶδος ἐκεῖνο
ἀνατίθεται καὶ ἀφιεροῦται τῷ θεῷ. καὶ τυγχάνει
τῆς ἐπιβαλλούσης αὐτῷ θεόθεν ἐπικουρίας.
ταῦτα δέ φησι προσήκει κατὰ τὰ πάτρια ποιεῖν
ἑκάστοις. ὁ μὲν γὰρ θεὸς ἁπανταχοῦ πάρεστι
ἀεὶ μετὰ πασῶν αὐτοῦ τῶν θείων δυνάμεων.
ἡμεῖς δὲ καθ᾽ ἓν εἶδος ἀφωρισμένοι τρόπον εἰδῶν
πολλῶν ὄντων τῶν ὑπὸ θεοῦ παραχθέντων. καὶ τοῦ
δὲ τούτου εἴδους, ἐν εἴδει ζωῆς γένους. καὶ βίου ἀέρα
ἐν οἷς ἀποτεμόμενοι καὶ ἐν μέρει βραχεῖ τοῦ παντὸς
καὶ αὐτῆς τῆς γῆς ἀπομερισθέντες, ἄλλος ἄλλως
θείας ἀγαθότητος μετέχει. καὶ ἐν ἄλλοις τόποις
καὶ χρόνοις ἄλλως. ὁρῶμεν γοῦν ὅτι ὅταν παρ᾽ ἡμῖν
ἡμέρα ᾖ, παρ᾽ ἄλλοις νύξ ἐστι. καὶ ὅταν ἀλλαχοῦ
χειμών, ἀλλαχοῦ θέρος. καὶ ἐνταῦθα μὲν τάδε
φύεται φυτὰ καὶ ζῷα. ἐν ἄλλοις δὲ τόποις
ἕτερα. τῆς τε γῆς καὶ τῶν ἐν αὐτῇ μεμερισμένως
δεχομένων τὰς θείας ἀγαθότητας. ἕκαστοι οὖν δι᾽ ὧν
ὁ θεὸς τέθεικεν· καὶ αὐτοὶ διὰ τῆς πείρας σώζον-

ζαθοῦ

διαφόροις ὥσπερ τόποις καὶ βίοις, οὕτως καὶ καιροῖς
καὶ τρόποις· καὶ ἐπὶ τῶν ἐσθιομένων καὶ προσφερο-
μένων ἡ ἀλλαγή· τὸ θεῖον ὀξυμηνίζον· καὶ ὅτε τὸ
καυταθὲν τοῦ περὶ ἡθῶν ὀργιάζει· ἀλλ᾽ ἡ γίνεται
τῆς ὑπὸ ταῖς διαφόροις μῆσιν ἢ ἡμέραις ἐνεργείας τῆς
ἐλλάμψεως· ἤ τις ὑπ᾽ ἄλλαις αὐτὸ πάντα ἡ γίνεται· οἱ
γὰρ νοσοῦντες θεραπεύονται· καὶ προλέγεται
τις αὐτὸ τὸ τῶν συμφερόντων. οὕτω μεγάλη
ἐλάττων διὰ ἡ τῶν χρόνων διαφορά, πρὸς
τὴν θεανοικότητα· οὕτω δὲ καὶ ἡ τῶν τρόπων
καὶ τόπων καὶ τῶν λεγομένων καὶ πραττομένων καὶ προσ-
φερομένων συναρμοζόμενα πάντα δέ φησι τοῖς πρὸς τὰ
θεῖα ἀνήκοντα τι μὲν καθαρῶς χρηστοὶ δή· καὶ μὴ
ἐπισεσυρμένως· μὴ καθαρῷ γὰρ καθαρῶν ἐφάπ-
τεσθαι οὐ θεμιτόν ἐστι· τῷ δὲ καθαρῷ καὶ εἰλι-
κρινεῖ ἐστι νόθον. παραμιχθὲν ἡ μολῦναι αὐτό.
οὐχ ἧσσον ἐπισεσυρμένως ποιεῖν τι· τὸ γὰρ ἐπι-
σεσυρμένον, μεταλαμβάνει τινὸς ἀπὸ τοῦ ἐ-
δάφους ἀκαθαρσίας· οὐδὲ ἀμελῶς χρὴ φησὶν,
οὐδὲ τῶν τοιούτων ποιεῖν· ὥστε διὰ ῥαθυ-
μίαν παραλιμπάνειν τι τῶν δεόντων ἢ συγχεῖν
ἢ ἐναλλάττειν· ὥσπερ γὰρ ἐὰν τοῖς στοιχείοις τοῦ λόγου
ἀφέλῃς τι ἢ ὑπαλλάξῃς, οὐκ ἐπιγίνεται ὁ τοῦ
λόγου εἶδος· οὕτως καὶ τῶν θείων ἔργων ἢ λόγων
ἐὰν ἐλλείπῃ τι ἢ ὑπαλλάττεται ἢ συγχεῖται,
οὐκ ἐπιγίνεται ἡ τοῦ θεοῦ ἔλλαμψις· ἀλλὰ καὶ
ἐξυδαροῖ τὴν τῶν γινομένων δύναμιν· ἡ τοῦ ποι-
οῦντος ῥαθυμία· ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου ἡ συμ-
πλήρωσιν καὶ τελείωσιν τῶν ἄλλων ἡ σύντονος
μετὰ ἐπιστήμης προθυμία τοῦ ποιοῦντος τοῦ.

ὁ δὲ περὶ τὴν τοῦ θεοῦ τιμὴν ἀμελὴς καὶ ῥᾴθυμος
φαινόμενος, περὶ τί ἂν τῶν δεόντων σπουδά-
σειεν. ἀλλ᾽ οὐδὲ ἀσεβῶς φησὶ δεῖν προσιέναι τῇ τι-
μῇ ἀμελῶς, ὡς ἀκόσμου. ὅσῳ γὰρ ἂν τιμιώτερα καὶ σε-
βασμιώτερα νομίζοιμεν τὰ θεῖα, τοσούτῳ μᾶλλον
αὐτῶν ὡς τοιούτων μετέχομεν. καὶ γὰρ καὶ ἡμᾶς τὸ σε-
βασμὸν τοῦ θείου κατὰ τὸ δυνατὸν ὑποταττόμεθα
καὶ ἁρμοζόμεθα. εἰπὼν δὲ ὅτι οὐδὲ ἀμελῶς
ποιεῖν ηὐλαβήθη ὡς ἔοικε μή τις ὑπολάβῃ κελεύειν
αὐτὸν ὅτι καὶ ὑπὲρ δύναμιν χρὴ φιλονεικεῖν
προσφέρειν τε καὶ ἀνατιθέναι. καὶ προσέθηκε
ὅτι οὐδὲ ὑπὲρ δύναμιν χρὴ τὰ τοιαῦτα ποιεῖν.
πρῶτον μὲν γὰρ παντὸς ἂν εἴη τὸ μέτρον ἄριστον.
εἶτα μὴ ἐπὶ τοῦ θείου. τῶν μετρούντων πάντα καὶ
ὁριζόντων τοῖς ἀρίστοις ὅροις. ἔπειτα οὐδὲν ἔστω
τοῦ θείου ἔργου συνεχές. ὥστε τὸ τὴν ταυτότητα συ-
νέχειν καὶ ἀνέκλειπτον φυλάττειν ἐν αὐτοῖς. καὶ
ἔργῳ καὶ λόγῳ, μηδὲν κατὰ τὸ δυνατὸν παρα-
λλάττοντας. ἀδύνατον δ᾽ ὑπὲρ δύναμιν πολλὰ
αὐτὰ ποιεῖν. ἐοίκασι δὲ οἱ πρὸς τὸ θεῖον περιττῶς
φιλοτιμούμενοι. ἅμα μὲν δωροδοκίαν αὐτοῦ
καταψηφίζεσθαι. ἅμα δὲ ἀγνοεῖν τίνα χρὴ
ταῦτα εἰς τὴν θείαν εἰσάγει τιμήν, ὅτι ἀπαρχαὶ
βούλονται εἶναι τῶν ὑπὸ τοῦ θεοῦ δοθέντων ἡμῖν.
τούτῳ μὲν οὖν τῷ θαυμαστῷ συνοδεύσας ὡς ἐμοὶ
δυνατὸν κατὰ τὸ παρὸν εἶδος τοῦ λόγου διηκριβώθη.
ἐπειδὴ δὲ ἀρξάμενος τοῦ κεφαλαίου συντόμως
τὰ περὶ θεῶν τέλεια προβλήματα ἐνεδείξατο.
ὧν προωμολογημένων δεῖται πᾶσα νομοθεσία
καὶ πᾶσα τῶν ἠθῶν ἀγωγή. ὅτι καὶ εἰσὶ καὶ προ-
νοοῦσι

καλῶς καὶ δικαίως τὰ πάντα κατευθύνουσιν·
οὐδὲν κωλύει δι' αὐτοὺς καθ' ἡμᾶς ὑπὸ τῶν ἀνθρώπων· τὰς
ἀποδείξεις προσθεῖναι τοῖς προβλήμασι· φύ-
σει μὲν γάρ, οὐ μόνοι ἄνθρωποι· ἀλλὰ καὶ τὰ ἄλογα ζῶα
καὶ φυτά· καὶ λίθοι καὶ πάντα ἁπλῶς τὰ ὄντα κατὰ
τὴν ἑαυτοῦ δύναμιν· ἕκαστον ἐφίεται πρὸς
τὸν θεόν· ἄνθρωποι δὲ πρὸς τούτῳ καὶ παρὰ γονέων εὐθὺς
ἐκ παίδων συνεθίζονται θεοσεβεῖν· καὶ ταῖς κοι-
ναῖς ἀνθρώπων ἐννοίαις ἀκολουθοῦσι· πάντες γὰρ ἄνθρωποι
καὶ βάρβαροι καὶ ἕλληνες· καὶ κατὰ τὸν πρότερον
καὶ ἄπειρον χρόνον καὶ νῦν· κἂν ἄλλοι κατ' ἄλλας
ἐννοίας νομίζουσιν εἶναι θεόν· πλὴν Ἀκροθοιτῶν
ὥς ἱστορεῖ Θεόφραστος ἀθέους γενομένους ὑπὸ
τῆς γῆς ἀθρόως καταποθῆναι· καὶ εἰ δή τις ἄλλος
εἷς ἢ δύο κατὰ πάντα τὸν πρότερον αἰῶνα ἱστό-
ρηται· μέμφονται δέ τινες καὶ δι' αὐτὸ ἀναπο-
δέκτως ἀπιστεύειν καὶ διὰ τὸ ὁρᾶν· ποτὲ μὲν ἀ-
γαθοὺς δυστυχοῦντας· ποτὲ δὲ κακοὺς ἐν αὐτοῖς εὐ-
ημεροῦντας ὀλιγωρεῖν· τολμῶσι καὶ τὸ πᾶν μὴ προ-
νοεῖσθαι θεούς· κακοὶ γὰρ εὐτυχοῦντες ἐπὶ πλεῖ-
στον πλουτοῦσι μέν· καλῶς οὖν ἔχει τούτους καὶ τοῖς ἐπι-
κτήτοις πειθομένοις μὴ ἐν τοῖς ἐκτός, ἀλλ' ἐν τοῖς
ἐφ' ἡμῖν τιθέναι τὰ ἀγαθὰ ἡμῶν καὶ τὰ κακά·
οὕτως γὰρ ὁ Στέφανος δὶς περιῆλθε ποτέ, οὔτε
ἱκανὸς εὑρονῆσαι· καὶ μέντοι δι' ἀποδείξεως ὡς δυ-
νατὸν βεβαιῶσαι τὰς ἀναποδείκτους περὶ θεοῦ
προλήψεις· ἀρχὴ δὲ τῆς σκέψεως ἐστὶν ἰδεῖν
πρῶτον τί σημαίνει τὸ τοῦ θεοῦ ὄνομα· καὶ ἴσως
ὅτι οἱ πρῶτοι θέντες αὐτὸ τοῖς ἀεὶ ὁμοῦ περι-
πολοῦντας παρὰ τὸ θέειν· τουτέστι τρέχειν.

Καὶ ὅτι ἕως κινδυνεύειν οὕτως ὠνόμασαν· χρώμενοι δ'
ὕστερον καὶ ἐπὶ τὰς αὐτομάτως κινοῦντας τῶν
ὄντων ἀργίας δὴ ἐνέργειαν τὸ ὄνομα· καὶ μάχεται
τῆς μιᾶς τῶν πάντων ἀρχῆς καὶ αἰτίας· ὥστε
δηλοῦσι τὸ ὄνομα ἀρχὴν τοῦ ὄντος καὶ αἰτίαν
μόνην τὴν πρωτίστην καὶ κυρίως· ἢ γὰρ ἐκ ταὐτο-
μάτου καὶ ἀπὸ τύχης πάντα γίνεται τὰ γινόμενα·
ἢ ἔχει προηγουμένας αἰτίας ἀφ' ὧν γίνεται·
ἀλλὰ τὸ μὲν ἐκ ταὐτομάτου καὶ ὡς ἔτυχε γινόμενον
οὔτε αἴτιον ὡρισμένον ἔχει τὸ ποιοῦν, οὔτε
σκοπὸς ὡρισμένος ἐστί τινι· ὁ γὰρ ἂν ἐκ ταὐτο-
μάτου καὶ ἀπὸ τύχης· ἀλλὰ κατὰ προηγούμενον
ὑφίσταται τὸ αἴτιον καὶ σκοπόν· ἀλλ' οὔτε
τάξιν οὔτε ἀκολουθίαν τὴν αὐτὴν ἐκ τῶν τοιούτων
ἀεὶ συνέσεις φυλάττει· πάντα δὲ τὰ κατὰ φύσιν
καὶ προαίρεσιν γινόμενα· καὶ σκοπὸς ὡρισμένος
ἐστὶ τοῦ ποιοῦντι· καὶ γὰρ ὁ γεωργὸς, σπείρει καὶ
φυτεύει σκοπὸν τιθέμενος τὸ γινόμενον. καὶ ἡ
τῶν ζώων συνοδος, ἧς τεκνογονίαν ὁρᾷ· καὶ
ἀκολουθία καὶ τάξις ἀπ' ἀρχῆς μέχρι τέλους
φυλάττεται τῆς γενέσεως· τῶν μὲν ἐν ἀρχῇ,
τῶν δὲ ἐν μέσῳ· τῶν δὲ τῷ πέρατι κατὰ τὸν
αὐτὸν ὅρμον παρακολουθούντων· τὸ γὰρ σπέρμα
καταβαλλόμενον ἐπὶ μὲν φυτῶν τεμνόμενον,
ὕδατι ῥίζας ἀφίησι καὶ βλαστούς· εἶτα καλάμην
ἢ κλάδους τρέφει· καὶ τὰ ἑξῆς μέχρι τῆς ἀποδόσεως
τοῦ καρποῦ· καὶ πεπάνσεως· ἐπὶ δὲ ζώων
δεδομένου τοῦ καταμηνίου τὸ σπέρμα, ἐκτυποῦται
τε καὶ σχηματίζεται ἐς τὸ ἔμβρυον· ὃ τρεφόμενον
καὶ αὐξούμενον ἀποτίκτεται, κατὰ τὸν προσή-
κοντα χρόνον.

καὶ ἡ αὐτὴ τάξις ἀεὶ καὶ ἀκολουθία, φυλάττεται
τῆς γενέσεως· σώζονται μὲν κατὰ φύσιν καὶ προ-
αίρεσιν γινόμενα, καὶ αἴτιον ὡρισμένον ἔχει·
καὶ ὁπωσοῦν ὡρισμένος ἐστὶ τῷ ποιοῦντι· τὴν κατὰ
ἀκολουθίαν καὶ τάξιν ἀεὶ τὴν αὐτὴν ἀποτελεῖ.
δῆλον ὅτι σώζεται τὸ κατὰ φύσιν καὶ προαι-
ρεσιν· καὶ ὅλως πάντα τὰ προηγουμένως ἐν τῷ
κόσμῳ γινόμενα. μὴ ἐκ ταυτομάτου μηδὲ ὡς ἔ-
τυχε γίνεσθαι· ἀλλὰ κατὰ προηγουμένας αἰτί-
ας· δεῖ ἄρα προηγουμένας αἰτίας εἶναι τῶν γι-
νομένων· καὶ ὅσα γίνεται δὲ ἐν αὐτοῖς, ἀνάγκη καὶ τούτων
ἄλλας αἰτίας εἶναι προηγουμένας, ἕως ἂν ἐπὶ
τὰ ἀγένητα ἔλθωμεν· ἅπερ οὐκέτι τῶν γινο-
μένων ἐστίν· ἀλλὰ ὄντα ταῦτα κυρίως πρότερον λέγεται·
ἀγένητα πάντως ὄντα· ἅτε σὺν αὐτοῖς ἔχοντα
τὴν αἰτίαν τοῦ εἶναι καὶ οὐκ ἔξωθεν· ὥστε ἢ
καθ' ὑπόστασιν ἐστὶ τὰ πρῶτα καὶ ἀγένητα αἴτια,
ἢ κατ' ἐπίνοιαν ὧν καθ' ὑπόστασιν ὡς δέδεικται προϊὼν
ὁ λόγος· ὁμοίως δὲ καὶ ἀπὸ τῆς κινήσεως ἀνα-
βαίνοντες τὰ πρῶτα κινοῦνται αἴτια, ἢ αὐτο-
κίνητα ἄρα ἢ ἐσόμενα ἢ ἀκίνητα· τὸ γὰρ ἑτεροκί-
νητον, ὑφ' ἑτέρου τινὸς κινεῖται· τὸ δὲ ἑτεροκι-
νητον, ἢ καὶ αὐτὸ ὑφ' ἑτέρου καὶ τοῦτο εἰς ἄπειρον.
ὅπερ ἐστὶν ἀδύνατον· οὐδὲν γὰρ οὕτως οὔτε κινοῦν
ἔσται, οὔτε κινούμενον· μὴ οὔσης δὲ ἀρχῆς τῆς κινήσεως.
ἢ ἀνάγκη πρῶτον ἑτεροκίνητον ὑπὸ αὐτοκινήτου
κινεῖσθαι, ἢ ὑπὸ ἀκινήτου· ἀλλὰ τὸ κατὰ πᾶσαν
κίνησιν ἀκίνητον ἴσασι μᾶλλον καὶ πηγὴν οὖσαν.
καὶ τὸ ἀεὶ ὡσαύτως ἔχειν ἑκάστοις, καὶ μὴ μεταβάλλειν
παρέχεται· ἀνάγκη οὖν τὸ αὐτοκίνητον εἶναι

τὸ πρώτως κινοῦν τὰ ἑτεροκίνητα. ταῦτα δέ
ἐστι τὰ γινόμενα καὶ φθειρόμενα καὶ αὐξόμενα
καὶ μειούμενα. καὶ κατὰ ποιὸν μεταβάλλοντα. καὶ
ἀπὸ τόπου εἰς τόπους μεταβαίνοντα. οὐ γὰρ τὸ γι-
νόμενον ὑφ' αὑτοῦ γίνεσθαι δυνατόν. ἔμελλε
γὰρ εἶναι πρὸ τοῦ γενέσθαι. οὔτε τὸ αὐξόμενον ὑφ'
ἑαυτοῦ αὔξεται. προσθήκῃ γὰρ αὔξεται τὸ αὐξόμενον.
οὔτε τὸ ἀλλοιούμενον ὑφ' ἑαυτοῦ ἀλλοιοῦσθαι. ὑπὸ
ἐναντίας γὰρ ποιότητος. ἀλλοιοῦται τὸ ἀλλοιούμενον.
ἀλλ' οὔτε κατὰ τόπον ὑφ' ἑαυτοῦ μεταβάλλειν.
σώματα γὰρ ὄντα πάντα τὰ κατὰ ταύτας κινού-
μενα τὰς κινήσεις δειχθήσεται μὴ δυνάμενα
εἶναι αὐτοκίνητα. χρὴ οὖν τὰ προσεχῆ τῶν γινομένων
ἑτεροκινήτων αἴτια, αὐτοκίνητα εἶναι. καὶ γὰρ
εἰ κατ' ἐπίνοιαν τὰ πάντα. οὐδαμόθεν ἄλλοθεν
ἄρξεται αὐτὸ δὴ τὸ ἀκίνητον εἰ μὴ ἀπὸ τοῦ αὐτοκινήτου.
τό τε γὰρ ἀκίνητον ἀεὶ ὡσαύτως ἐστί. καὶ τὸ ἑτεροκί-
νητον, τὴν τοῦ κινοῦντος περιμένει δύναμιν.
δεῖ δὲ καὶ ἁπλᾶς τὰς ἀρχὰς εἶναι. τὰ γὰρ συντί-
θεται, ἐκ τῶν ἁπλῶν συνέστηκε. καὶ προηγεῖσθαι
τῇ φύσει τὰ ἁπλᾶ τῶν συνθέτων. ἴσως μὲν
οὖν καὶ τῷ θ[illegible]ιόντες. καὶ ἀπὸ τῶν προσεχῶν
ἀρχόμενοι ζητοῦμεν. εἰ δύναται τὰ σώματα
ἐν ἀρχῆς λόγῳ παραλαμβάνεσθαι. καὶ εἶναι τοι-
αῦται οἵας τὰς ἀρχὰς τὰς πρώτας ὁ λόγος ὑποτί-
θεται. ἢ οὔτε αὐθυπόστατα οὔτε αὐτοκίνητον
εἶναι δύναται ταῦτα τὰ κινούμενα σώματα.
τὸ γὰρ αὐτοκίνητον, ἢ μέρει μὲν κινοῦν, μέρει δὲ
κινούμενον λέγεται αὐτοκίνητον. ἢ ὅλον ἑαυτὸ
κινοῦν, καὶ ὑφ' ἑαυτοῦ κινούμενον. ἀλλ' εἰ μέρει δὲ κιν-

Καὶ γὰρ ὁρμᾶν καὶ ἀφορμᾶν κούφως καὶ ἀνειμένως
παρακελεύεται. δῆλον δὲ ὅτι ὁρμῶμεν μὲν ὀρεχθέντες·
ἀφορμῶμεν δὲ ἐκκλίνοντες. προηγεῖται γὰρ τῆς μὲν
ὁρμῆς ἡ ὄρεξις· τῆς δὲ ἀφορμῆς ἡ ἔκκλισις. καὶ ὅταν
οὖν πρότερον ἔλεγε· τηλικούτων οὖν ἐφιέμενος, μέμνησο
ὅτι οὐδὲ μετρίως κεκινημένον δεῖ ἅπτεσθαι αὐτῶν, οὐ
σφοδρὰν ὄρεξιν παρῄτει λέγων· ἀλλ' ἅπερ ἐφεξῆς
αὐτὸς ἐπάγει· τὰ μὲν, ἀφεῖναι παντελῶς· τὰ δὲ, ὑπερ-
θέσθαι πρὸς τὸ παρόν. τὸ δὲ σφοδρὸν τῆς ὁρμῆς καὶ
τῆς ὀρέξεως· καὶ τῆς ἀφορμῆς καὶ ἐκκλίσεως ἐπὶ τῶν
παιδευομένων ἀκόπων παραιτεῖται. διὰ τὸ μὴ ὑπερ-
πηδᾶν καὶ ὑπερβαθμίον ποιεῖσθαι τὴν ὑπὸ προ-
θυμίας περιττοτέρας. τοῦτο γὰρ καὶ τῆς ψυχῆς αὐτῶν
τῶν πλείστων ἐκλύει τὸν τόνον· καὶ τὰ σώματα
προδιαφθείρει· καὶ πολλοὶ τοῦτο πεπόνθασι, μὴ δὴ
τῶν ἀκαίρως καὶ ἀμέτρως χρησαμένων προθυμίᾳ
πρὸς ἄσκησιν. ὀλίγαι γὰρ εἰσὶ φύσεις καὶ σωμάτων
καὶ ψυχῶν αἳ ἀθρόως μεταβαλεῖν δυνάμεναι. ἀπὸ
τῶν χειρόνων ἐπὶ τὰ ἀντικείμενα ἐλθεῖν. ὅπερ Διογένει
καὶ Κράτητι καὶ Ζήνωνι καὶ τοῖς τοιούτοις ὑπῆρξεν.
οἱ δὲ πολλοὶ καὶ πίπτειν κατ' ὀλίγον καὶ ἐγείρεσθαι
κατ' ὀλίγον πεφύκαμεν κατὰ ψυχὴν ὥσπερ καὶ κατὰ σῶμα.
ἡ γὰρ διὰ τῶν μέσων ὁδὸς, βεβαιοτέρα καὶ ἀσφαλε-
στέρα ἐστὶ τὴν τῆς ψυχῆς δύναμιν καὶ προθυμίαν
συνέχουσα καὶ διακρατοῦσα· καὶ κατ' ὀλίγον προ-
σαύξουσα. διὸ τὸ πρὸ ὁρμᾶν καὶ ἀφορμᾶν κούφως
τε ἀνειμένως καὶ μεθ' ὑπεξαιρέσεως παρακελεύεται.
τουτέστι μετὰ τοῦ ἐνδιδόναι τι ὀλίγον. καὶ μὴ εἰς ἄκρον
ἀποτείνειν τὴν ὁρμὴν καὶ τὴν ὄρεξιν ἢ τὴν ἔκκλισιν
τε καὶ ἀφορμήν. ὁ γὰρ ὀξὺ ἀπ' ἀγαθοῦ βίου πρὸς ἕκρα-
στάν

Γ

συνεθιζόμενος οὐκ ἀηθῶς ὠφελεῖν ἐπιτηδεύει
τῇ ἀκραιφνότητί τε καὶ γνησίᾳ· ἀλλὰ κατ᾽ ὀλίγον
ὑφεξαιρεῖν ἑαυτὸν ἀπὸ τῶν προτέρων· καὶ ὥσπερ
ὁ τῶν χρυσῶν ἐπῶν ποιητὴς ὥσπερ ἀκοὴν χρὴ
φάγειν ἀπὸ τῶν τοιούτων· καὶ ἐπὶ τῶν γυμνασίων
δὲ τοὺς ἀρχομένους παιδεύεσθαι· οὐ χρὴ δεσμὸν τὰ
ἀηθέστατα φαντάσματα ποιεῖσθαι· ἵνα κἂν δέῃ
μετατίθεσθαι ἀηδίως μετατιθῶνται· ἀλλ᾽ ἃ πρὸς
ἄμφω κούφως καὶ ἀνειμένως ἔχειν συμφέρει τοὺς
παιδευομένους· διότι τὴν μὲν ἄκρισιν μεταθετέον
παραινῶ· ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ᾽ ἡμῖν· τὴν δ᾽
ὄρεξιν· πρὸς τὸ πόρρω πάντη τελέως ἀναιρεῖν· ἢ ὅτι
τοὺς ἀρχομένους ἀπὸ μοχθηροτέρας ἀγωγῆς ἐπὶ καλλί-
ονα μεταβαίνειν· χρὴ πρῶτον ἐξεμεῖν τὸν τῆς
κακοζωΐας ἰόν· καὶ τότε τοῖς τῆς εὐζωΐας ἀγαθοῖς
τρέφεσθαι· ὃ γὰρ ἐπὶ σωμάτων φησὶν ὁ θαυμάσιος
Ἱπποκράτης· ὅτι τὰ μὴ καθαρὰ τῶν σωμάτων
ὅσῳ ἂν θρέψῃς μᾶλλον βλάψεις, τοῦτο πρότερον
ἐπὶ ψυχῶν ἐστὶν ἀληθές· ἡ γὰρ ἐνυπάρχουσα
μοχθηρία, τὰ προσιόντα χρηστὰ διαφθείρει·
ποτὲ μὲν ἀηδῆ νομίζουσα, ποτὲ δὲ βλαβερά· ποτὲ
δὲ καὶ ὡς ἀχρήστων ἢ καὶ ὡς ἀδυνάτων καταγι-
νώσκουσα· ἅμα μὲν σὺν τῷ νεωτέρα γίνεται· καὶ
μετὰ τὰ πέρα ὡς δοκεῖ τῶν καλλιόνων καταφρονοῦσα·
ἅμα δὲ ἀνιάτως ἴσχει μηδὲ ἐς ὕστερον· ὅτι διὰ τὸ
κοινῶς ἐνίοτε πεπονθέναι ὑπὸ τῶν καλλιόνων λόγων καὶ ἐρ-
προσιέμενον ἢ αὐτά· ὡς εἴ τις ἐν ἰκτερικῷ πάθει
τὸ μέλι πικρὸν νομίσας μηδὲ γεύσασθαι λοιπὸν
ἀνέχοιτο μέλιτος· ὥστε ἡ τάξις ἀπαιτεῖ τῆς
ἀγωγίας τῆς παρὰ φύσιν πρῶτον ἐκκλίνειν.

καὶ οὕτως κατὰ φύσιν ὀρέγεσθαι· διὸ καλῶς ἐπὶ τοῦ
παρόντος ἀμβλύνειν τὴν ὄρεξιν τοῦ τοιούτου παρακε-
λεύονται, ἕως ἂν διὰ τῆς τῶν παρὰ φύσιν ἐκκ(λίσεως)
καθαρθείς, ἐπιτήδειος γίνεται πρὸς τὴν τῆς εὐφυ-
ΐας καταδοχήν· ὁ μέντοι λόγος οὗτος καὶ τοὺς ἀρχο-
μένους παιδεύεσθαι πρὸς τὸ ἄκλυστον καὶ ἄφοβον
καὶ ἐλεύθερον παρασκευάζει· ἵνα καὶ ἡδέως διάγωσι
τὸν βίον· ὥσπερ μάλιστα πάντων ὂν τέτευχε ζῷον.
καὶ ὀρέγεσθαι μὲν καλόν ἐστιν ἀπαθείας καὶ τῆς κατὰ
φύσιν πρεπούσης τῷ λογικῷ διαγωγῆς· τοῖς δὲ ἀρχο-
μένοις ἀγαπητὸν· μετριοπαθεῖν καὶ μὴ πλεῖόν ἐστιν
ὅτε καὶ πολὺ ὀρέγεσθαι· τοῖς οὖν τοιούτοις, οὐκ
ἐφικτὰ τέως ἐκεῖνα ἐστὶν ὧν ὀρέγεσθαι καλόν· τοῦ-
το γάρ ἐστι τό, οὔπω σοι πάρεστιν· ὀρεγομένους τῶν
τέως μὴ ἐφικτῶν· καὶ λυπεῖσθαι καὶ ἀτυχεῖν· ἀμφότερα
καὶ ἀτονεῖν καὶ ἀπαγορεύειν ἐνίοτε· πάντη δὲ
πάντως οἱ τῶν μειζόνων ἀσυμμέτρως ὀρεγόμενοι·
τῶν συμμέτρων καταφρονοῦσι· καὶ περιπίπτουσιν
αὐτά, πρὸς τὰ μείζονα παραβάλλοντες. καίτοι ἀ-
δύνατον πρὸ τῶν μικρῶν φασὶ τῶν μεγάλων μετα-
λαχεῖν· καὶ πρὸ τῶν συμμέτρων ἡμῖν, ἐντὸς τῶν
μειζόνων γίνεσθαι:· ἐφ' ἑκάστου τῶν ψυχα-
γωγούντων· ἢ χρείαν παρεχόντων ἢ στεργομένων:

γ

Διελὼν τὰ ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν· καὶ ἑκατέρων, ὅτι
τὰ μὲν, ἴδια χρὴ νομίζειν, τὰ δὲ, ἀλλότρια· καὶ
ὅπως δεῖ τοῖς ἐφ' ἡμῖν προσφέρεσθαι· ὅτι ἐκκλίνειν
μὲν τὰ παρὰ φύσιν· τὴν δὲ ὄρεξιν, πρὸς τὸ παρὸν
ἐπέχειν· δι' ἃς ἔχομεν ἴσως αἰτίας· ἐπεὶ δὲ καὶ
τοῖς οὐκ ἐφ' ἡμῖν ἀναγκάζεσθαι χρῆσθαι πολλάκις, διδά-
σκει πῶς χρὴ καὶ τούτοις προσφέρεσθαι· ἵνα καὶ

μὴ ἔστιν εὐφημεῖν, ἀνδράγαθος ὅμως καὶ ἀλύπως ἐν τούτοις ἀναστρεφόμεθα. διαιρεῖται δὲ τὸ συμφέρον τριχῆ· ἔστι τὰ ἡδονὴν παρεχόμενα τῇ ψυχῇ χωρὶς ὠφελείας· τοιαῦτα γὰρ τὰ ψυχαγωγοῦντα ἐστί· ἔστι τὰ χρειώδη καὶ ὠφέλιμα· καὶ ἔστι διοικοδομούμενα, κἂν μὴ χρείαν ἢ ὠφέλειαν παρέχηται. ταῦτα γὰρ τὰ τρία ἡδονὴ καὶ χρεία καὶ φύσεως ἀναγκαία συμφαίνεται προσκλοῖ τὴν ψυχήν· τὰ θνητὰ διὰ ...

ψυχαγωγοῦνται δὲ ἄλλοι ἄλλοις· οἱ μὲν τραγῳδίαις καὶ κωμῳδίαις· οἱ δὲ ἀγῶσιν ἀθλητικοῖς ἢ ἱππικοῖς ἢ τοῖς τοιούτοις· οἱ δὲ ὀρχησταῖς καὶ θαυματοποιοῖς καὶ μίμοις καὶ γελοίοις· καὶ οἱ μὲν θεάμασι τερπνοῖς ἢ φυσικοῖς· ὥσπερ οἱ τῶν ταῶν ἢ ὀρνέων τὰ κάλλη τεθηπότες· ἢ λειμῶνας καὶ ἄλση καὶ τὰ τοιαῦτα· ἢ τεχνικοῖς ὥσπερ οἱ περιγραφὰς καὶ ἀνδριάντας καὶ οἰκοδομὰς καὶ τῶν ἄλλων τεχνῶν τὰ κάλλη ἐσπουδακότες· οἱ δὲ τοῖς ἐν ἀκοῇ καλοῖς ἐκδεδομένοι ὥσπερ οἱ τὰς καλὰς φωνάς, καὶ τῶν μουσικῶν ὀργάνων τοῖς ἤχοις ἀσπαζόμενοι· καὶ ἔτι μᾶλλον οἱ ταῖς ἱστορίαις καὶ τοῖς μυθικοῖς διηγήμασιν ὡς ἡδέσι χαίροντες· ψυχαγωγεῖ γὰρ καὶ ταῦτα ἡμᾶς· διὸ καὶ ἐκ παίδων φιλόμυθοι τυγχάνομεν ἅπαντες· καὶ τὰ χρειώδη δὲ διάφορα ἐστί· τὰ μὲν εἰς ψυχικὴν ὠφέλειαν τείνοντα· ὡς διδάσκαλοι καὶ ἀγαθοὶ ἑταῖροι καὶ βιβλία παιδευτικά, καὶ τὰ τοιαῦτα· τὰ δὲ εἰς σῶμα ὡς τροφαὶ καὶ ἀμπεχόμενα καὶ γυμνάσια· τὰ δὲ ὡς τὰ ἐκτός· οἷον δυναστεῖαι καὶ τιμαὶ καὶ χρήματα καὶ κτήματα· καὶ τὰ τοιαῦτα. περὶ γὰρ τὰ οἰκειότητα· κἂν τύχῃ μηδεμίαν χρείαν παρεχόμενα· τέκνα· γαμεταί· συγγενεῖς· φίλοι· πολῖται.



ἐπὶ πολὺ τῶν ὁμοίων φησὶ τῶν τοιούτων ἀναμιμνήσκου
καὶ προχείριζου τὴν φύσιν αὐτῶν· ὁποία τίς ἐστιν ὅτι
φθαρτὴ ὅτι εὐαφαίρετος· ὅτι οὐκ ἐφήμερος· ἡ γὰρ
συνήθεια τῆς τούτων φύσεως ἀναμίμνησις, μετὰ
τῆς ἀφαιρέσεως αὐτῶν ἐστιν· ἡ δὲ μεταβολὴ συνήθειαν
τινὰ ποιοῦσα οὐ συγχωρεῖ προσπίπτον τῶν αὐτῶν·
ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τὰ συνήθη φορητά ἐστι καὶ
τῷ σώματι καὶ τῇ ψυχῇ· κἂν πάνυ δυσχερῆ τυγχάνῃ·
καλῶς δὲ κἀνταῦθα καὶ ἐν τοῖς ὀξέσι παραινεῖ ἀπὸ
τῶν μικρῶν ἄρχεσθαι· καὶ οὐ τῶν μικρῶν ἁπλῶς,
ἀλλὰ τῶν μικροτάτων· ἵνα μὴ κατὰ τὴν παροι-
μίαν ἐν πίθῳ τὴν κεραμείαν μελετῶμεν· ὁ μὲν γὰρ
ἀπὸ τῶν μειζόνων ἀρχόμενος, ἡττᾶται ῥᾳδίως καὶ
ἀτυχεῖ καὶ δυστυχεῖ· καὶ αὐτὸν ὧν ἀσθενέστερος γε μὲν
καὶ ἀναγινώσκει· ὁ δὲ τοῖς μικροτάτοις εὐθὺς ἐπι-
χειρῶν ἅπαξ ἰσχυρότερος πάντως ἐφ' ὅσον οὖν γίνεται·
καὶ θαρραλεώτερος· καὶ κάλλιος· οὐ πρότερον ἦν· ὥστε
τῶν μὲν ἴσως ῥᾳδίως κρατεῖν· ἀσφαλέστερον δὲ ἤδη
πρὸς τοῖς ὀλίγοις μείζοσιν ἐπιτίθεσθαι· ὁ γὰρ τετάρ-
της ἡμέρας ἐσθίων· ἐὰν εὐθὺς μὴ στεύσῃ ὅλην τὴν
ἡμέραν ἐπιχειρεῖ· καὶ τὸ σῶμα τῇ ἀθρόᾳ μεταβολῇ
ταράσσεται καὶ αὐτὸς ἐπιπόνως καὶ ἀηδῶς διάγει· διὸ
καὶ ἐπισφαλὴς καὶ ἀβέβαιος ἡ τοιαύτη προκοπὴ
γίνεται· ἂν δὲ ἀντὶ τοῦ τετράκις μεταλαβεῖν τέως
τὸ τρίτον ἐσθίῃ· καὶ τούτῳ συνεθισθῇ· ῥᾳδίως
ἐπὶ τὸ δίς· καὶ ἔτι εὐκολώτερον ἐπὶ τὸ ἅπαξ μετα-
βαίνει ἐσθίειν· καὶ ἀσφαλέστερον καὶ βεβαιότερον·
ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἐγχειρουμένων· ἐὰν
ἐπὶ τῶν μικρῶν καὶ μὴ πάνυ σπουδαζομένων συνε-
θισθῇ τις πρόχειρον αὐτῶν ποιεῖσθαι τὴν φύσιν.

καὶ τὸ ἀναφαίρετον αὐτοῦ οὐκ ἐλπίζουσιν· οἷον ἐπὶ χύτρας διὰ τὴν χρείαν ἀγαπωμένης ὅτι θραυστόν ἐστι· ἀλλ' ἢν χύτρας ἀτελέστερον· καὶ τὸ μέγιστον μεταλαμβάνων καὶ ἰσχυροποιούμενος· ἰσχυρὰ καὶ τὸ τέκνον αὐτοῦ καταφιλοῦν· οὐ λέγω μόνον ἄνθρωπον· οὐδὲ φαντασίαν τοῦ θῆναι φίλη· ἀλλ' ὅτι ζῶον ἢ δι' ἀποθῆναι· ὅτι θνητὸν καταφιλεῖ φθαρτόν τι πρᾶγμα καὶ εὐαφαίρετον· διὸ ἀποθανόντος δὲ οὕτω καὶ συνεθισθεὶς· οὐ ταραχθήσεται ἀφαιρουμένου. Καὶ ὁ μὲν ὅπως ἦ ἔμφρων καὶ τῆς χρείας τῶν πραγμάτων μετὰ χάριτος· καὶ τοῖς μὴ ἐφ' ἡμῖν διὰ τῶν ἐφ' ἡμῖν ὡς ἐφ' ἡμῖν οὖσι κέχρηνται. τὸ μὲν γὰρ μὴ ἀποθανεῖν τὸ τέκνον οὐκ ἐφ' ἡμῖν ἐστι· τὸ δὲ πρόχειρον ἔχοντες τὴν φύσιν αὐτοῦ καὶ διὰ τοῦτο καὶ τὸ ἀποθανεῖν, ἐλπίζοντες ἐπιστήσεσθαι τὸ μὴ ταραχθῆναι ἀποθανόντος· ἀλλ' οὕτως ἔχειν ὡς εἰ καὶ μὴ ἀπέθανε· καὶ τὸ μὴ ἀποθανεῖν ἐκεῖνο ἐφ' ἡμῖν· καὶ τοῦτο ἐφ' ἡμῖν εἶναι ποιεῖ. ὥσπερ δ' ἐστὶ τῷ τοιούτῳ λέγειν ὅτι ἐμοὶ τὸ τέκνον οὐκ ἀπέθανεν· ἢ τό γε ἀληθέστερον ὅτι κἂν ἀπέθανεν, ἐγὼ ἐμαυτὸν ὡς μὴ ἀποθανόντος διαφυλάττω ἀτάραχον. καλῶς δὲ τὰ παραδείγματα τῶν ἐν χρείᾳ καὶ τῶν στεργομένων παρέθετο· μόνον οὐκ ἐνδεικνύμενος· ὅτι τοῖς προκόπτειν ὅλως ἀρξαμένοις δεῖ καταφρονεῖν ὧν φησὶν εἶναι τὰ διὰ ψυχαγωγίαν μόνην ὑπό τινων σπουδαζόμενα:

**Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς ὑπομίμνησκε σεαυτὸν ὁποῖόν ἐστιν·**

Εἰπὼν ὅπως ἔχειν δεῖ πρὸς τὰ σπουδαζόμενα παρ' ἡμῶν ἐν τοῖς ἐκτός, τὰ ψυχαγωγοῦντα καὶ τὰ χρειώδη καὶ τὰ στεργόμενα τῶν οὐκ ἐφ' ἡμῖν ἀφεστ

ἔπειτα πῶς χρὴ πρὸς τὰς καθ' ἡμέραν πράξεις παρα-
σκευάζεσθαι ἡμᾶς· πολὺ γοῦν κεφάλαιον ὅτι καὶ τὴν
τὴν φύσιν δεῖ προσλογίζεσθαι ὁποίαν τινὰ ἔχει
τὰ ἐπισυμβαίνοντα· καὶ μὴ ἀπελπίζειν ὅτι καὶ
ἐνδέχεται καὶ ἐπὶ τοῦ συμβαίνειν· ἵνα ἀδιακόλως φέρη
τὰ φοβούμενα ἐπισυμβαίνειν· ἃ μὲν μὴ ἀναγκαῖον
πρότερον· μὴ δὲ προσήκει αὐτὸ τὴν ἀρχήν· ὁ γοῦν ὁ μέγας κάτων
ῥωμαῖος κάτων ὁ μέγας. ἐν τῶν ἑαυτοῦ παροραμάτων
ἐν τῷ βίῳ ἔλεγε τὸ ἑλέσθαι πλεῦσαι κατὰ τὴν
ἀποδημίαν ἐξὸν πεζῇ ἣν ἠδύνατο καὶ δι' ὁδοιπορί-
ας ποιήσασθαι· ὥστε κἂν μὴ συμβῇ τι δυσχερές φυλακ-
τέον ἐστὶ πολλάκις ἐπισυμβαίνειν ἁμάρτημα ἐστὶ
τὸ χωρὶς ἀνάγκης ἑλέσθαι αὐτό· καὶ τὸ δυνάμενον
ἀσφαλέστερον αὐτὸ μεταχειρίσασθαι· τὴν ἐπισφα-
λεστέραν ὁδὸν αἱρεῖσθαι. διὰ τὸ πολλοὺς καὶ ἐν
αὐτῇ διασώζεσθαι· ἃ μέντοι ἀνάγκη πάντως ἀναδέξασθαι
τοῦ ἔργου· οἷον πλεῦσαι εἰς νῆσον πάντως δεόμενον
ἢ ἀπὸ νήσου· καὶ περὶ ἢ φίλῳ κινδυνεύοντι παρα-
στῆναι· καὶ πολεμῆσαι πάντως ὑπὲρ πατρίδος· τότε
μὴ φεύγειν μὲν τὸ ἔργον· προμελετᾶν δὲ τὰ φοβερὰ
αὐτοῦ· τὰ ἐπισυμβαίνειν φοβούμενα οὕτως ἀποτελεσθῆναι
αὐτοῦ. ἵνα διὰ τῆς μελέτης συνεθιζόμενοι πρὸς
αὐτὰ· μὴ ταραττώμεθα συμβαινόντων αὐτῶν. ὁ
γὰρ οὕτω παρασκευαζόμενος καὶ μὴ συμβαινόντων
ἀνευφραίνεται· ὡς ἤδη σχεδὸν διὰ τῆς μελέτης
συμβεβηκότων ἀποφυγών· κἂν συμβῇ ποτε
τὸ ἐλπιζόμενον ἀταράχως αὐτὸ καὶ ἀκινδύνως ἐκ-
δέχεται. ἀλλ' ἐρεῖ τις πρῶτον μὲν ἀτόλμους
καὶ ἀπράκτους γενέσθαι· τοὺς τὰς ἀποτυχίας ἀεὶ
τῶν ἔργων ἐννοοῦντας· ἔπειτα ἀνιαρὸν εἶναι

τὴν τῶν λυπούντων ὡς παρόντων ἐγγινομένην φαντασίαν
καὶ ἀνιαρότερον ἐστὶ τὸ καὶ χρόνον ἐνίοτε πολλὸν αὐτοῖς
συνεῖναι τοῦ ἔργου παρατείνοντος. διὸ καὶ κάλλιον
ἂν οὗτος φαίη τὸν Δημοσθένην συμβουλεύειν· ἐλπίζειν
μὲν ἅπασι γὰρ δεῖ τοῖς καλοῖς· τὴν ἀγαθὴν προβαλλο-
μένους ἐλπίδα· φέρειν δὲ ἃ ἂν ὁ θεὸς διδῷ, γενναίως.
ἀλλὰ ὁ μὲν Δημοσθένης ὡς βέλτιστα ἀγαθὴν ἐλπίζειν
λέγει τὴν ἐπὶ τῇ τῶν ἀγαθῶν ἐκδοχῇ ὁποῖον ἂν τὸ
τέλος ἀποβῇ· καὶ αὐτὸς ταῦτα τῷ Ἐπικτήτῳ λέγει
πλὴν τοῦ προσθεῖναι τὴν μέθοδον πῶς χρὴ γενναίως
φέρειν ἅπερ ἂν ὁ θεὸς διδῷ κἂν τύχῃ δυσχερέστερα.
ὁ μέντοι Ἐπίκτητος, τὴν εὐφορίαν πορίζεσθαι συμ-
βουλεύει. διὰ τὸ προδιεσκέφθαι τὴν φύσιν τοῦ ἔργου.
καὶ ὅτι πρέπον ἐστὶ μένειν καὶ ὅτι ἔχει τινὰ ἑπόμενα
δυσχερῆ ἐνίοτε ἅπερ εὐφορα γίνεται ἑκατέρωθεν.
ἢ διὰ τὸ ὠφέλιμον καὶ καθῆκον τοῦ ἔργου· ᾧ ἐνίοτε
σύνεστι δυσχερῆ. καὶ διὰ τὸ προμεμελετῆσθαι καὶ μὴ
ἀνελπίστως προσπίπτειν αὐτά. ἡ μέντοι ἀγαθὴ ἐλ-
πὶς ἣν παραινεῖ προβάλλεσθαι ὁ Δημοσθένης τὴν
ἐπίσεισιν καὶ ἀποφυγὴν τοῦ κλιμακτῆρος. διὸ καλὸν
οἶμαι μᾶλλον δὲ ἀδύνατόν ἐστι τὸν σεισμὸν ἐλπίζειν ἀεὶ
προβαλλόμενον. ἀφόρως φέρειν τὰ ἐπισυμβαί-
νοντα δυσχερῆ. οὔτε γὰρ τὸ σῶμα οὔτε ἡ ψυχὴ ἀ-
ταράχως τὰς ἀθρόας ὑποφέρει μεταβολάς· καὶ
ὥσπερ καὶ αἱ τῶν ὡρῶν μεταβολαὶ καίτοι οὐκ ἀθρόαι
ἀλλὰ κατ' ὀλίγον γινόμεναι, ὅμως νοσηματώδεις εἰσὶν
ὡς ἐπὶ τὸ πλεῖστον. οὐ μέντοι ἀτόλμους οὐδὲ ἀ-
πράκτους οὐδὲ ἀνιαρῶς ζῶντας ποιεῖ τὸ προλογί-
ζεσθαι ταῖς πράξεσι συνυπάρχον πολλάκις
δυσχερές. ἡ γὰρ ἀγαθὸν εἶναι καὶ ὠφέλιμον τὴν ψυχὴν

τοῦτο μὲν δὲ ἅπαν τῶν ἀνδρῶν τὴν πρᾶξιν ὁ λόγος ὑπαγορεύει·
κἂν δέῃ κινδυνεύειν ἐν αὐτῇ, πάντως ἡ τοῦ ἀγαθοῦ ἐφε-
σις τολμᾶν καὶ πράττειν ποιεῖ. καὶ τὴν      νοιαν τοῦ
τε καὶ κινδυνεῦσαι παραμυθεῖται. τῷ πείθεσθαι
τῷ ὀρθῷ λόγῳ λέγοντι αἱρετὸν εἶναι τὸ ἔργον κἂν δέῃ
κινδυνεύειν ἐν αὐτῷ. καὶ τὸ ὁ μὲν κίνδυνος καὶ ἡ βλα- βη
βὴ περὶ σῶμα καὶ τὰ ἐκτὸς ὄντα, ὃ οὐχ ἡμῶν ἐστι κακὸν τῶν
ὄντως ἡμῶν, ἐὰν μὴ ἀφῶμεν. ἡ δὲ ὠφέλεια ἡ περὶ τἀγαθὸν
τοῦ τὴν ἀγαθὴν πρᾶξιν, καὶ μετὰ κινδύνων ἑλέσθαι
τῆς ψυχῆς ὄντα· τουτέστιν ἡμῶν τῶν ὄντως ἡμῶν·
πολλαῖς ὀδύναις καὶ ζημίαις καὶ φυγαῖς καὶ ἀτιμίαις
ἀντισηκοῦται· μᾶλλον δὲ καὶ βαρεῖ ἐκείναις, καὶ τῇ
ὑπερβολῇ τοῦ ἀγαθοῦ παραμυθεῖται. καὶ γὰρ πᾶς
ἄνθρωπος μεῖζον ἀγαθὸν μετὰ ἐλάττονος κακοῦ αἱρεῖται.
εἰ μέντοι φαίη τις τὸ μὲν ἀγαθὸν ἡμέτερον, τὸ δὲ κακὸν
ἀλλότριον. καὶ μὴ λόγος μόνον τοῦτο λέγει προφορικὸς
καὶ ψιλὴ φαντασία, ἀλλὰ καὶ λόγος συμφυὴς τῇ
ἀληθείᾳ καὶ ζωή, τῆς διαφορᾶς αὐτῶν συναισθανομένη.
πῶς ἔτι ἄτολμος ἢ ἀνιαρῶς διατεθήσεται ἐπὶ
τῇ ἐλπίδι τῶν ἐνίοτε ἐπισυμβαινόντων δυσχερ.
ταῖς ἀγαθαῖς ἐγχειρήσεσι· καὶ αὐτὸ γὰρ τοῦτο τὸ μετὰ
κινδύνων ἑλέσθαι τὸ ἀγαθόν, καὶ μὴ ἀταλαιπώρως.
ἀλλὰ καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ· μάλιστα τὴν ἀφρο-
σύνην τοῖς κατὰ φύσιν διακειμένοις ἐνδείκνυται· -δος
ὃ δηλοῦσιν οἱ Μενοικεῖς· καὶ ὅσοι τὸν ὑπὲρ πρ
ἄλλου θάνατον. καὶ ὁ μὲν Ἐπίκτητος, ἐπὶ τοῦ εὐ-
τελεστάτου τὴν διδασκαλίαν ποιεῖται. ἅμα μὲν
ἐπὶ τῶν πολλοῖς καὶ πολλάκις συμβαινόντων γνω-
ριμώτερον ποιῶν τὸν λόγον· καὶ τὴν συναίσθησιν
τῶν ἀκουόντων ἀνακινῶν· ἅμα δὲ ὅτι πρῶτος ἐπε

προσεχῶς ἐν τοῖς ἐλάττοσι γυμνάζεσθαι τοὺς ἀρχο-
μένους· διὰ τὰς εἰρημένας πρότερον αἰτίας.
ἔξεστι δὲ καὶ ἐπὶ τῶν μειζόνων μεταθεῖναι· ἐφ' ὧν καὶ
κίνδυνοι μείζονες ἕπονται πολλάκις. καὶ ἐπεὶ ἑκάστου
τοῦ ἔργου τὴν φύσιν λογίζεσθαι ποία τίς ἐστιν ἡ πρέ-
πουσα ἡμῖν· καὶ τίνα ἔχει δυσχερῆ πολλάκις ἀποσυμ-
βαίνοντα· καὶ προδιηγούμενος ἑαυτῷ καὶ ταῦτα φέρειν
ἂν γένοιτο μετρίως· οὕτως γὰρ ἑαυτὸν κατὰ φύσιν ἔχοντα
διατηρήσει· ἐὰν καὶ τὸ τῆς πράξεως ἀγαθὸν καρπώσηται·
ὑπὸ τῶν συμβαινόντων μὴ ταραχθῇ· ταραχθεὶς
γὰρ καὶ ἐν κακῷ νομίσας γενέσθαι· ἢ τὴν ἀρχὴν κακῶς
ἔκρινεν ἅψασθαι τοῦ ἔργου· ἢ εἰ τότε καλῶς, νῦν ἀγνοῶν
δηλονότι ταράττεται καὶ μεταγινώσκει ἅπερ ἄμφω
κατὰ φύσιν ἐστί: • Ταράττει τοὺς ἀνθρώπους οὐ τὰ

η· πράγματα· ἀλλὰ τὰ περὶ αὐτῶν δόγματα:

Εἰπὼν ὅπως ἀταράχους δυνατὸν μὲν εἶναι ὑπὸ τῶν ταῖς
πράξεσιν ἐπισυμβαινόντων πολλάκις δυσχερῶν·
ὅτι προμελετήσαντας αὐτὰ ὡς ἑπόμενα. καὶ ἐγκρί-
νοντας καὶ μετ' αὐτῶν ἑλέσθαι τὴν πρᾶξιν· μετὰ
τὴν ἀπὸ τῆς μελέτης ἀταραξίαν; νῦν ἄλλην παρα-
δίδωσι τὴν ἀπὸ τῆς φύσεως αὐτῶν τῶν δοκούντων
δυσχερῶν καὶ ταραττόντων ἡμᾶς ἔνδειξιν· ἐνταῦθα
οὐκέτι μικρῶν. ἀλλὰ τῶν μεγίστων τῶν ταραττόντων
ἡμᾶς τῷ θανάτῳ χρώμενος εἰς παράδειγμα· ἐὰν γὰρ
ἐπὶ τούτου δειχθῇ τὸ προκείμενον· πολὺ μᾶλλον
ἐπὶ τῶν, ἧττον τούτου δοκούντων δεινῶν ἀποδε-
δειγμένον ἔσται. λέγει οὖν ὅτι τὰ πράγματα τὰ δο-
κοῦντα γίνεσθαι ἡμῖν δεινά· καὶ διὰ τοῦτο ταράττοντα
ἡμᾶς ὡς ἐν δεινῷ γινομένους· οὔτε δεινά ἐστιν αὐτά,
οὔτε ταραχῆς ἡμῖν κατὰ τὸ ἀληθὲς αἴτια· ἀλλὰ τὰ

προορίζε

περὶ τῶν πραγμάτων δόγματα· ὅτι δεινά ἐστι ταῦτα ἃ
ταράττονται ἡμᾶς· καὶ δεικνύσιν ὅτι πάντων τῶν
δεινῶν δοκούντων δεινότατον εἶναι· ὁ παρὰ καιρὸν ἐξ ἀν-
θρώπων ἐπαγόμενος θάνατον· οὐκ ἔστι δεινός· δεί-
κνυσι δὲ τοῦτο. διὰ βραχέων μέν· ἀκριβῶς δὲ καὶ ἀπο-
δεικτικῶς· συλλογιζόμενος οὕτως· τὰ φύσει δεινὰ
πᾶσι δοκεῖ δεινά· ὥσπερ τὰ φύσει θερμά. ἢ ψυχρά·
ἢ καλά· ἢ ὅμοια πᾶσι δοκεῖ τοιαῦτα· καὶ μάλιστα
τοῖς κατὰ φύσιν ἔχουσι καὶ ἐμφρονεστέροις· ὁ θά-
νατος οὐ πᾶσι δοκεῖ δεινός· Σωκράτει γοῦν οὐκ ἐδόκει
δεινός· ὅς γε καὶ δυνάμενος φυγεῖν αὐτὸν ὑπέμενεν
ὅμως ἀταράχως· πᾶσαν ἐκείνην τὴν ἡμέραν, πρὸς
τοὺς ἑταίρους τὴν περὶ ψυχῆς ἐκφαίνων διελέχθη·
τὴν καθαρτικὴν τῶν φιλοσόφων ζωήν· ὁποία
τίς ἐστι διδάσκων· καὶ τὸ συμπέρασμα δῆλον ἐκ τῶν
κειμένων· ὅτι ὁ θάνατος οὐκ ἔστι δεινὸς τῇ ἑαυτοῦ φύσει·
ὥστε οὐδὲ ταράττων ἡμᾶς αὐτός ἐστιν· ἀλλὰ τὸ
δόγμα τὸ περὶ αὐτοῦ ὅτι δεινός ἐστιν ὁ θάνατος· τοῦτό ἐστι
τὸ ταράσσον ἡμᾶς· καὶ τὸ μέλι πικρὸν οὐκ ἔστιν· ὁ δὲ
ἰκτερικὸς. πικρὸν ἴσχων ἐπὶ τῷ μέλιτι διάθεσιν
διὰ τὸν ἐν αὐτῷ πλεονεκτοῦντα πικρὸν χυμὸν,
ὡς ἀπὸ πικροῦ τοῦ μέλιτος ταράσσεται· καὶ χρὴ
τὸν χυμὸν ἐκεῖνον καθαίρειν· ἵνα κατὰ φύσιν τῶν
ποιοτήτων ἀντιλαμβανώμεθα· οὕτω δὴ καὶ ταῦτα
τὰ δόγματα διορθωτέον ἡμῖν τὰ περὶ τῶν πραγμάτων·
τῷ κανόνι τοῦ ἐφ' ἡμῖν καὶ τοῦ οὐκ ἐφ' ἡμῖν· καὶ τοῦ
ἰδίου καὶ ἀλλοτρίου κρίνοντας τὸ ἀγαθὸν ἡμῶν καὶ κα-
κόν· ὁ οὖν θάνατος. μήτε τῶν ἐφ' ἡμῖν ἐστι· μήτε τῶν οὐκ
ἐφ' ἡμῖν, οὐκ ἂν εἴη κακόν· εἰ δὲ μήτε ψυχῆς ἐστι κα-
κὸν ἀλλὰ τοῦ σώματος, οὐκ ἂν εἴη κακὸν ἡμῶν· ὁ δέ γε

πλάτ

καὶ ὁ τοῦ Πλάτωνος Σωκράτης, καὶ ἀγαθὸν αὐτὸν ἡγεῖ-
σθαι κρεῖττον ὂν τῆς μετὰ τοῦ σώματος ζωῆς ἀποφαί-
νεται· οὔτε τοῖς μέν, τοῖς δ᾽ οὔ, ἀλλ᾽ ἁπλῶς πᾶσι.
λέγει οὖν ὁ ἐν τῷ Φαίδωνι Σωκράτης· ἴσως μέντοι θαυμα-
στόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν
ἐστι, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τἆλλα,
ἔστιν ὅτε καὶ οἷς βέλτιον τεθνάναι ἢ ζῆν· ἐν δὲ τοῖς νόμοις
αὐτὸ προσωποποιῶν αὐτὸς ὁ Πλάτων διατείνεται λέγων·
κοινωνία γὰρ ψυχῇ καὶ σώματι διαλύσεως οὐκ ἔστι κρεί-
ττων, ὡς ἔγωγε φαίην ἂν σπουδῇ λέγων. ἀλλ᾽ ὁ μὲν Ἐπί-
κτητος, ὡς ἐπὶ δεινοτάτου πάντων τοῦ θανάτου
δοκοῦντος, τὴν ἀπόδειξιν ἐποιήσατο. ἐπειδὴ δὲ
ἕκαστος ἡμῶν ὧν ἂν περιπέσῃ διαχερῶς, ἐκεῖνο καὶ
θανάτου νομίζει δεινότερον· καὶ γὰρ ἐνίοτε ὀδύνης
οὐδὲ πάνυ σφοδρᾶς παρούσης, τὸν θάνατον ἐπι-
καλοῦμεν· καὶ πενόμενοι τυχὸν μὲν τὴν πενίαν χαλε-
θανάτου πώτερον τοῦ θανάτου νομίζομεν· δεῖ ἔτι καὶ ἐπὶ τῶν
τῷ αὐτῷ τρόπῳ τῆς ἀποδείξεως χρήσασθαι· ὥσπερ
ὁ Ἐπίκτητος ἐπὶ τοῦ θανάτου ἐχρήσατο. καὶ γὰρ
τὰς σφοδροτάτας ὀδύνας αἱροῦνται· νοσοῦντες μὲν
οἱ τυχόντες ὅταν καίειν καὶ τέμνειν ἑαυτοὺς τοῖς
ἰατροῖς ὑπέχωσι, καὶ μισθὸν τελοῦντες· καίτοι γὰρ
διὰ τὸ ζῆν τοῦτο ποιοῦσι, τὸν θάνατον χείρονα νομί-
ζοντες· ἀλλ᾽ ὅτι φέρειν δυνατὸν αὐταρκῶς τὴν συμ-
φορὰν ἐὰν δόξῃ, διὰ τούτων δηλοῦται. οἱ δὲ Λακεδαι-
μόνιοι νέοι, διὰ φιλοτιμίαν μόνην τὴν μαστίγωσιν
ἐκαρτέρουν τὴν φοβερὰν ὑπομένοντες ἄχρι θανάτου
ῥάβδον, τὴν καρτερίαν ἐπιδεικνύμενοι· καὶ δῆλον
ὅτι εὐφόρως καὶ ἡδόμενοι· οὐ γὰρ ἑκόντες
εἰς τοιοῦτον ἀγῶνα κατέβαινον· ἀλλ᾽ ἐκεῖνο τοῦ

πρὸς ἑκάστας τὰς ὀδύνας· οὐχ ὅτι οὐκ ὀδυνῶντο.
ἀλλ᾽ ἔλαττον μὲν, ἴσως τῶν ἀγυμνάστων καὶ ἀ-
παλῶν· δόγμα δὲ ἔχοντες ὅτι οὐ δεινὸν αὐτὸ ὀδύναι.
ἀλλὰ καὶ καλὸν καὶ σύμφορον, τοῖς ἀνδρείως αὐτ(ὰς)
ὑπομένουσι καὶ ἀταράχως. καὶ πενία δὲ ὥσπερ οἶδεν
ὁ Ἐπίκτητος, οὐδὲν δεινόν· ἐπεὶ καὶ Κράτητι δὴ
ἔδοξε τοῦ Θηβαίου δήμου· οἷον τῶν ἑαυτοῦ τῇ πό(λει)
παραχωρεῖν· καὶ ἀπὸ Κράτης Κράτητι τῶν χρημάτων
ἀποστερεῖ, τότε ἔδοξεν ἐλευθεροῦσθαι. καὶ στέφανον
ὡς ἐπὶ ἐλευθερίας περιεβάλετο· ὅτι τὴν πενίαν
ἀντὶ τῆς εὐπορίας ἠλλάξατο. οὕτως γὰρ οὐδὲν
τοῦτο δεινόν ἐστι φύσει καὶ ἀφόρητον ὡς ἡμῖν δοκεῖ.
ἀλλ᾽ ἐνίοτε καὶ τῶν ἐναντίων αὐτοῖς ὠφελιμώτερα, ὅταν
πρὸς ἡμᾶς· τουτέστι πρὸς τὴν λογικὴν ψυχὴν ἡμῶν,
τὴν χρείαν αὐτῶν ἀναμετρουμένην. χρὴ οὖν τὸν μέλλοντα
μὴ ταράττεσθαι ὑπὸ τῶν τοιούτων, δόγματα ὀρθὰ
περὶ αὐτῶν ἔχειν· τοῦτο δὲ ἐφ᾽ ἡμῖν ἐστιν· ὥστε
καὶ τὸ μὴ ταράττεσθαι ἐφ᾽ ἡμῖν ἐστι. διὰ τοῦτο νομίζειν
αὐτὰ μὴ δεινά· ἢ καὶ τὸ παρ᾽ ἐμοῦ οὐκ ἔστιν ἐφ᾽ ἡμῖν·
-τι τοῖς πειθομένοις ὑπάρξει· ὅθεν καὶ τοῖς μὴ ἐφ᾽ ἡμῖν
ὡς ἐφ᾽ ἡμῖν οὖσι κεχρῆσθαι. κἂν γὰρ τὸ ἀτιμασθῆναι
ἢ χρημάτων ἀφαιρεθῆναι ἢ τυπτηθῆναι οὐκ ἔστιν
ἐπ᾽ ἐμοί· ἀλλὰ τὸ ὀρθὸν ἔχειν περὶ αὐτῶν δόγμα·
ὅτι οὐ δεινά, ἀλλὰ καὶ ὠφέλιμα πολλάκις, ἐπ᾽ ἐ-
μοί ἐστιν. ἀρκεῖ δὲ τὸ τοιοῦτον δόγμα, πρὸς τὸ μὴ
δεδιέναι γίγνεσθαι δοκεῖν αὐτά· ἢ γινόμενα μὴ βλαβερὰ
νομίζειν. ἀλλ᾽ ἔστιν ὅτε καὶ ὠφέλιμα. πᾶς γὰρ
εὖ φρονῶν ὡς οἶμαι κάλλιον ἂν ἡμῖν· τουτέστι
τῇ ψυχῇ νομίζοι τὸ ἐν δυσχερέσιν ἀταράχως δια-
γενέσθαι, τοῦ μὴ περιπεσεῖν δυσχερέσι· καὶ

τοσούτῳ καλλίους, ὅσῳ μείζονα τὰ δυσχερῆ καὶ
σκληρότερα· ὡς γὰρ τῶν γυμναστικῶν κινήσεων,
αἱ σφοδρότεραι μᾶλλον συναύξουσι τὰ πρὸς
αὐτὰς ἀντέχοντα σώματα· πρός τε ἰσχὺν καὶ
πρὸς εὐσθένειαν καὶ τάχος, οὕτω καὶ τῶν ψυχικῶν.
ὥστε τὸ ἔργον χρὴ αὐτοῦ ὡς δυνατὸν εὐφόρως καὶ ἀ-
ταράχως ὑπενεγκεῖν ὅπερ ῥᾷον ῥᾳδίως τούτων περι-
γίνεται· τοῦτ᾽ ἔστιν ὀρθῶς δοξάζειν περὶ αὐτῶν.
καὶ τοῦ παρασκευάσασθαι περὶ αὐτῶν διά τε τῆς πλη-
παθεστέρας τοῦ σώματος ἀρρωστίας, ἢ τῆς πρὸς πολλῶν
ἐπιτάδος. διὰ τῶν πολλοὶ καὶ τῶν μοχθηρῶν ἀν-
θρώπων πλήκτας, καὶ τὰ ἐπὶ δῆθεν δοκοῦντα ἡμῖν
περιπίπτουσιν. ἔτι δὲ καὶ διὰ τοῦ προμελετᾶν
αὐτὰ καὶ προελπίζειν. ὥσπερ παντὸς τοῦ ἐφ᾽ ἡμῖν
εἰ τοίνυν μήτε ὁ θάνατος, μήτε τι τῶν τοιούτων
δεινόν ἐστι· δῆλον ὅτι οὔτε αὐτὰ, οὔτε οἱ ἐπά-
γοντες αὐτὰ, τῆς ταραχῆς ἡμῖν εἰσιν αἴτια· ἀλλ᾽
ἡμεῖς αὐτοὶ ἑαυτοῖς, καὶ τὰ δόγματα ἡμῶν. οὐχ ἔ-
στιν ἄλλον αἰτιᾶσθαι ποτὲ τῆς ταραχῆς ἡμῶν, ἢ
λύπης ἢ φόβου ἢ τινος ἄλλου τοιούτου· ἀλλ᾽ ἡμᾶς
αὐτοὺς καὶ τὰ ἡμέτερα δόγματα.: ἀπαιδεύτου

τὸν θ.

ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν ἐφ᾽ οἷς αὐτὸς πράσσει κακῶς:
Ὅσπερ συνεχὲς τῷ πρὸ αὐτοῦ ἐστι· καὶ σαφέστερον· τοῦ
γὰρ σὺν δεσμὸν ὡς λέγειν, ἀπαιδεύτου γάρ ἐστιν ἔργον,
τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ᾽ οἷς αὐτὸς πράσσει κακῶς. τὴν
αἰτίαν δὲ ἔλαβε καλῶς, τοῦ μὴ δεῖν ἄλλοις ἐγκαλεῖν
ἐφ᾽ οἷς ταραττόμεθα ἢ φοβούμεθα· ἢ λυπούμεθα·
ἢ ὅλως ἐν κακῷ τινι γίνεσθαι νομίζομεν· δι᾽ ἀπαιδευσίαν
γὰρ τοῦτο πάσχομεν· καὶ λοιπὸν καλῶς συνάπτει
τὴν τοῦ ἀπαιδεύτου περὶ ταῦτα διάθεσιν· τήν τε

τοῦ ἀρχομένου παιδεύεσθαι, καὶ τὴν τοῦ πεπαιδευμένου. ὁ μὲν γὰρ πεπαιδευμένος, ὡς κατὰ φύσιν ζῶν· καὶ μήτε ἀποτυγχάνων ὧν ὀρέγεται, μήτε περιπίπτων οἷς ἐκκλίνει· οὔτε ἐν κακῷ τινὶ νομίζει εἶναι, οὔτε αἰτιᾶται τινὰ ὡς αἴτιον αὐτῷ τοῦ κακοπραγεῖν. ὁ δὲ ἀρχόμενος παιδεύεσθαι· ἀποτυγχάνει μὲν ἔστιν ὅτε τῶν ὀρεκτῶν, καὶ περιπίπτει τοῖς ἐκκλινομένοις, διὰ τὸ μηδέπω τὴν τῶν ἀλόγων παθῶν ἐνέργειαν ποτε· κατεχόμενος δὲ ὑπὸ τῆς τοῦ ἐφ' ἡμῖν διαιρέσεως· οἶδεν ὅτι αὐτὸς ἑαυτῷ αἴτιος, καὶ τῆς ἀποτυχίας καὶ τῆς περιπτώσεως γίνεται καὶ ὅλως ἄλλος· ὅταν ἐν τοῖς οὐκ ἐφ' ἡμῖν ποτε τὸ ἀγαθὸν ἡμῶν. ἢ τὸ κακὸν ἀποκεῖσθαι νομίσῃ. διατί δέ φαίη ἄν τις ὁ ἀρχόμενος παιδεύεσθαι· καίτοι γινώσκων ὅτι τὸ ἀγαθὸν ἡμῶν. καὶ κακὸν ἐφ' ἡμῖν ἐστιν· ἀλλ' ἑαυτῷ ἐγκαλεῖ μὴ τοῦτο γινώσκων· ἁμαρτάνει ὥστε καὶ ἑαυτῷ ἐγκαλεῖν. ἢ ὅτι προκεῖται μὲν ἡ γνῶσις τῶν ἀγαθῶν καὶ κακῶν τοῦ λόγου τοῦ ἐν ἡμῖν ἐνεργεῖα· οὐκ εὐθέως δὲ ἐπὶ πάντων. καὶ τὰ ἄλογα πάθη τὰ ἐν ἡμῖν μετρεῖται καὶ ῥυθμίζεται· καὶ ὑποτάττεται τῷ λόγῳ· καὶ μάλιστα ὅταν διὰ ῥᾳθυμίαν καὶ ἀργίαν τοῦ λόγου κινήσει μηδὲ συνηθείᾳ τῆς ἀλογίας, νενευρωμένα γένηται, καὶ τυραννήσῃ τὰ πάθη. τοιαύτη γὰρ ἦν ἐν τῇ τραγῳδίᾳ τῆς Μηδείας διάθεσις· ἡ λέγουσα· καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά· θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων. ἀγαπητὸν οὖν ἐν χρόνῳ· τὰ μὲν, βιαζόμενον τὸν λόγον· τὰ δὲ, ἐπᾴδοντα σύμφωνα ἑαυτῷ τὰ πάθη ἐργάσασθαι· ὅτε καὶ ἡ τοῦ λόγου γνῶσις, τραπεῖσα εἰς ἐπιστημονικὴν καὶ τελέως ἀνενδοίαστος γίνεται.

εἰκότως οὖν οἱ ἀρχόμενοι παιδεύεσθαι· ἁμαρτάνοντες
μὲν ὅταν τι ἂν καὶ τῶν παθῶν μήπω ἠρτυμένων.
καὶ τοῦ λόγου μήπω κατ᾽ ἐπιστήμην ἐνεργοῦντος, ἑαυτοῖς
ἐγκαλοῦσι καὶ οὐκ ἄλλοις· διὰ τὴν ὁποιανοῦν παρα-
δοχὴν τῆς τῶν οὐκ ἐφ᾽ ἡμῖν καὶ τῶν ἐφ᾽ ἡμῖν διαφορᾶς·
οἱ μέντοι ἀπαίδευτοι τελέως καὶ ἁμαρτάνουσι πολλὰ
διὰ τὸ τὰ ἄλογα πάθη σφύζοντα ἔχειν ἐν ἑαυτοῖς·
καὶ διὰ τὴν τοῦ λόγου ἄγνοιαν, οὔπω διακρίναντα
τε ὄντως ἀγαθὸν καὶ κακόν· οὔτε ἑαυτὸν ἀπὸ τῆς ἀ-
λογίας ἑλκύσαντος, οὔτε κατὰ φυσικὴν ἔννοιαν· καὶ τὴν αἰ-
τίαν τῆς ἀλογίας· ὅτι ἡμᾶς αὐτοὺς καὶ τὴν ἡμετέραν
ἐξουσίαν, τὸ σῶμα εἶναι νομίζομεν· οἱ δὲ φιλοχρήματοι
ἡμᾶς καὶ τὰ χρήματα, ἁμαρτάνομεν μὲν οὖν ἀ-
παιδευτοῦντες διὰ ταῦτα· ἐν τοῖς ἐκτὸς δὲ τὸ ἀγα-
θὸν ἡμῶν καὶ τὸ κακὸν τιθέμενοι· καὶ τελέως ἀγνοοῦντες
τί τε ἐστὶ τὸ ἡμέτερον ἀγαθὸν ὄντως καὶ κακόν· καὶ ὅτι
ἐστὶν, αἰτίοις ἡμῖν τῶν κακῶν εἶναι νομίζομεν· τοὺς
ἢ ἀφαιρουμένους τι τῶν ἀγαθῶν ἡμῖν καὶ ὀρεκτῶν
δοκούντων ἐν τοῖς ἐκτός· ἢ τοῖς ἐμποιουμένοις ὑφ᾽ ἡμῶν
περιβάλλοντες ἡμᾶς· καίτοι οὐδὲ τὰ ἀγαθὰ νομιζόμενα
τὰ ἐκτός· οὐδὲ τὰ κακὰ πάντως τοιαῦτα ἐστίν. ἀλλὰ
καὶ τὴν ἐναντίαν ἐστίν. ὅτε κατὰ σχέσιν ἔχει ἑκάτερα.
διὸ πρὸς αὐτοὺς ἀπαίδευτοι τῶν μέν· τοὺς μὲν παιδαγωγοὺς
ὡς κακῶν αὐτοῖς αἰτίους μισοῦσι· τοὺς δὲ ἐς ἡδονὰς
προσκαλουμένους, ὡς εὐεργέτας ἀσπάζονται· τεκ-
μήρια μέντοι ἡμῖν ἐναργῆ διὰ βραχέων ὁ ἐπίκτητος
παραδέδωκε· τῶν τε πεπαιδευμένων καὶ τῶν
ἀπαιδεύτων· καὶ τῶν ἔτι ἀρχομένων παιδεύεσθαι.
ὅτι οἱ μὲν ἀναμάρτητοι ὄντες, διὰ τὴν τῶν λόγων
τελειότητα· καὶ τῆς ἀλογίας τὴν πρὸς τὸν λόγον

ἁρμόζειν ἅμα τε καὶ ὑπὸ κατάκρισιν· οὐδενὶ ἐγκαλοῦσι
ποτὲ ὡς κακῶν αἰτίων αὐτοῖς· οὐδὲ γὰρ ἐν κακῷ οἱ
καθόλου γίνονταί τινι· οὔτε ὑφ' ἑαυτῶν ἅτε πε-
παιδευμένοι, οὔτε ὑπ' ἄλλων. ὅτι μὴ ἐν τοῖς ἐκτὸς
τὸ κακὸν ἔχουσιν. οἱ δὲ ἀπαίδευτοι καὶ ἁμαρτωλοί εἰσι
δι' ἄμφω καὶ οὗτοι κακῶς διακείμενοι τό τε λόγον καὶ
τὴν ἀλογίαν· καὶ ἄλλοις τὴν ἑαυτῶν κακίαν ἐπιγρά-
φουσιν ὡς ἐν τοῖς ἐκτὸς αὐτὴν ὁρῶντες. ἔστι δὲ καὶ ἀκόλουθον
καὶ ἡδύ. καὶ τοῖς ἀπαιδεύτοις ὄντως πρέπον. τὸ τῶν
οἰκείων ἁμαρτημάτων ἄλλους αἰτίους προβάλλεσθαι.
οἱ δὲ ἀρχόμενοι παιδεύεσθαι, καὶ σεῖας ἔχοντες ἀρχὴν
κἂν ἁμαρτάνωσι καὶ ἐν κακῷ τινι ποτὲ γίνωνται.
ἀλλ' ἴσασι ποῦ τέ ἐστι καὶ ὅπου φύεται τὸ κακόν. καὶ τί τὸ
τῆς ἐκ φύσεως αὐτοῦ αἴτιον. διὸ καὶ ἑαυτοῖς ἐγκαλοῦσι. καὶ
οὐδεὶς οἶμαι τούτοις χρώμενος τοῖς κριτηρίοις ἀμφρο-
δίᾳ ἁμαρτήσεταί ποτε τῆς ἀκριβοῦς διακρίσεως
τούτων τῶν καταστημάτων τοῦ τε παιδευομένου καὶ τοῦ
ἀπαιδεύτου. καὶ τοῦ ἀρχομένου παιδεύεσθαι. πα-
ραδεδομένα γὰρ ἀκριβῶς. ἡ τοῦ ἐν ἡμῖν παιδὸς ὑπὸ
τοῦ ἐν ἡμῖν παιδαγωγοῦ ἐπανόρθωσις. καὶ παῖς μέν
ἐστιν ἡ ἐν ἡμῖν ἀλογία. τὸ μὲν ὠφέλιμον μὴ ὁρῶσα. πρὸς δὲ
τὸ ἡδὺ τεταμένη μόνον. ὥσπερ οἱ παῖδες. παι-
δαγωγὸς δὲ ὁ λόγος. ῥυθμίζ[illegible] καὶ μετρ[illegible] λόγος
τὰς ἐν ἡμῖν ὀρέξεις. καὶ πρὸς τὸ ὠφέλιμον ἀπευθύνων
αὐτάς. διὸ οἱ μὲν ἀπαίδευτοι, κατὰ τὴν τοῦ παιδὸς
ὄρεξιν ζῶντες ἀνεπιστρόφως πολλὰ ἁμαρτάνουσιν.
αὐτοὶ δ' ὄντες δι' αὐτὸ ἀνεπίστροφον. οὔτε ἑαυτοὺς αἰ-
τιώμενοι. οἱ δὲ ἀρχόμενοι καὶ τὸν παιδαγωγὸν ἤδη
προσδιανιστάμενον ἔχουσι. καὶ τὸν παῖδα ὑπακούειν
ἀρχόμενον. διὸ κἂν ἁμαρτάνωσί τινα, καὶ τοῖς ὁ ἁμαρτὼν
αἰσθάνονται.

Καὶ ἐκείνῳ ζηλοῦσι καὶ οὐκ ἄλλῳ τινί· οἱ δέ γε πε-
παιδευμένοι καὶ τὸν παιδαγωγὸν ἔχουσι μὴ φθονοῦντα καὶ
τοῦ παιδὸς ἤδη κεκρατηκότος· καὶ τὸν παῖδα φανε-
ρωθέντα καὶ τὴν ἑαυτοῦ τελειότητα ἀπολαύοντες.
κατὰ τὸ ὑποτετάχθαι τῷ παιδαγωγῷ σύμφωνον εἶναί
τε αὐτῷ· αὕτη γὰρ ἀρετὴ παιδός ἐστιν. ὅτι μηδενὶ
τον ι. ἐπιφθονητέον ἀλλοτρίῳ προτερήματι :
Διδάξας ὅπως δεῖ αὐτόν ἐστιν ἐπὶ τοῖς ἔξωθεν προσ-
πίπτουσι δεινοῖς ἀτάραχον καὶ ἄλυπον καὶ ἄφοβον
εἶναι τὴν γνώμην διδάσκει πῶς ἔχειν καὶ ἐπὶ τοῖς ἀγαθοῖς δο-
κοῦσι τῶν ἐκτὸς διαγίνεσθαι· ἀπὸ τοῦ ἄλλου καλεῖ
ἀγαθοῦ, κατὰ τὸν ἐξ ἀρχῆς διορισμόν· ἐν ᾧ ἔλεγε τὰ
οὐκ ἐφ' ἡμῖν ἀσθενῆ εἶναι καὶ δοῦλα καὶ κωλυτὰ καὶ
ἀλλότρια· καὶ λέγει ὅτι ἐπ' οὐδενὶ τῶν δοκούντων
ἀγαθῶν τῶν ἐκτὸς ἐπαίρεσθαι χρή· ἄδηλοι γὰρ οἱ μὲν
γὰρ ἡ ἔπαρσις, οὐχὶ κουφότητα καὶ μετεωρισμὸν
καὶ ἀλαζονείαν· ὡς δ' ἔοικε θαυμάζειν πολλάκις ἐπὶ κακῷ
τῇ λέξει κεχρῆσθαι· ὁ γὰρ ἂν οὐδ' ἐπὶ τοῖς ἡμετέροις
καὶ ἀληθινοῖς ἀγαθοῖς ἐπαίρεσθαι συνεβούλευσε·
ἀλλὰ δοκεῖ μοι νῦν ἡ ἔπαρσις δοκεῖν αὐτῷ ὑποχὴ
αὐξήσεως τινὸς καὶ ἀδρύνσεως ἐπὶ προσλήψει τινὸς
ἀγαθοῦ· ὁ γὰρ ἐκ τούτου φησὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἡμᾶς
νομίζειν αὔξεσθαι καὶ ἐν ὑπεροχῇ γίνεσθαι τινί·
ἕκαστον γὰρ ἀγαθὸν ἐκείνου ἐστὶν ἀγαθόν, οὗ ὢν ἔχει τὴν
ὑπόστασιν· καὶ ὃ κατὰ φύσιν διατίθησι καὶ οὐκ
ἄλλου· καὶ τὸ ἐν ἵππῳ τοίνυν ἀγαθὸν, τοῦ ἵππου ἐστὶν
αὐτοῦ καὶ οὐχ ἡμέτερον· εἰ γὰρ τολμηρὸς ἢ δρομικὸς
ἦ ἢ εὐήνιος, τὴν ἀρετὴν ἔχει τὴν ἵππου· ἡ τίς οὐκ
ἔστιν ἡμετέρα ἀρετή· ὥστε οὔτε ἀγαθὸν ἡμέτερον· οὔτε
προσαύξει ἡμᾶς, οὔτε τιμᾷ· τί οὖν ἂν φαίη τις

ἡ τῶν χρημάτων καὶ ὀργάνων ἀρετή· οὐκ ἔστι τοῖς κεκτημένοις
καὶ χρωμένοις ἀναφαίρετα· οὐδὲ ποιεῖ τέκτονα ἀγ-
αθόν, μὴ προνοοῦντα· ἀλλ' ἡ τοῦ σκεπάρνου ἀρετὴ
κατὰ τὸ σχῆμα καὶ τὴν ὀξύτητα· καὶ ἄλλη τοῦ τέκτονος κατὰ
τὴν τέχνην· ἀλλ' ἔστι μὲν αὐτοῦ τοῦ σκεπάρνου, ἀγαθὴ
ὀξύτης καὶ ἁρμοσύνη· συντελεῖ δὲ αὕτη πρὸς ὑπηρ.
καὶ τὸ δι' αὐτοῦ ἀποτέλεσμα· αὕτη γὰρ ὀργάνου ἀρετή·
οὐ μέντοι πρὸς τὴν τοῦ τέκτονος τελειότητα· ἐπεὶ γὰρ
ἐν τοῖς λόγοις τοῖς τεχνικοῖς, τὸ ἀγαθὸν ἔχει τὸ οἰκεῖον· κἂν
τὸ ἀποτέλεσμα τὸ ἐκτὸς διαφόρως ἀποβῇ διὰ τὴν
ὕλην ἢ τὰ ὄργανα· ἢ ἄλλο τι τῶν ἐμποδιζόντων·
τί οὖν ἐστί φησιν ἡ μέτρον ἀγαθόν· ἐφ' ὧ χρὴ διατεθῆ
καὶ ὡς προσηυξημένους τε καὶ τελεωθέντας· πρότε-
μὲν ἀπονέμειν πρὸς τὴν ὀρθὴν ὑπόληψιν· γνῶναι δὲ τὴν
κατὰ φύσιν χρῆσιν τῶν ὑπολήψεων· ὅπερ γὰρ ἐκάλεσεν
ὑπολήψεις, τοῦτο νῦν φαντασίας ὀνομάζει· φαίνεται
γὰρ ἡ μὲν καὶ ὑπολαμβάνεται καὶ δοξάζεται τὰ ὄντα
τοιάδε ἢ τοιάδε· ποτὲ μὲν ὀρθῶς, ποτὲ δὲ διεσφαλμένως·
καὶ ἀεὶ μὲν ἂν καὶ αὐτὴ κατὰ φύσιν χρῆται φαντασιῶν·
τὸ φαίνεσθαι τὰ ὄντα ἢ μὲν οἷα καὶ ἔστι· καὶ μὴ παρα-
λλάττειν ἐν τῇ συμπλοκῇ αὐτῶν· ἀγαθὸν μὲν τὴν ἀκολασίαν·
κακὸν δὲ τὴν σωφροσύνην νομίζουσι· κατὰ δὲ τὸ κύρι-
ώτατον χρῆσις φαντασιῶν, ἢ τῶν κατὰ φύσιν γινομένων
ἀγαθῶν ὄρεξις καὶ ἔκκλισις· οὐχ ἡ γνῶσις αὐτῶν ἁπλῶς
ὅτι τὸ δὲ μὲν ἀγαθόν, τὸ δὲ δὲ κακόν· ἀλλ' ἡ τοῦ φαι-
νομένου ἀγαθοῦ ὄρεξις. καὶ τοῦ φαινομένου κακοῦ ἔκκλισις·
ἐπεὶ δὴ οὐ τοῦ παρατιφανὲς μὲν κύριοι· ἀλλὰ τοῦ ὀ-
ρέγεσθαι κατὰ φύσιν καὶ ἐκκλίνειν· μὴ ποτὲ δὲ καὶ
ἄλλο τι προσθυμηθῆναι ὑπὸ δι' αὐτῆς κατὰ φύσιν χρήσεως
τῶν φαντασιῶν ὁ ἐπίκτητος· τὸ καὶ τὰ ἔργα δύναμιν

Συμφωνίαν εἶναι ταῖς ὀρθαῖς ὑπολήψεσι καὶ ὀρέξεσιν ἀποδίδομεν. καὶ μὴ νομίζειν μὲν ἀγαθὸν τὴν δικαιοσύνην, καὶ ἀδικεῖν δρᾶν ὀρέγεσθαι δι' αὐτὸ τὸ αὐτὸ δοκεῖν ἀγαθὸν καὶ ὀρεκτὸν εἶναι. ἀδικεῖν δὲ ὥσπερ τοῖς ἀκρατέσι συμβαίνειν. ἀλλ' ὀρέξεως τῆς τοῦ ἡδέος νικώσης τὴν τοῦ ἀγαθοῦ ὄρεξιν. καὶ σοῦ μὲν λόγου κἂν ἀμείνω δρᾶν ὁρῶντος δὲ ὅμως τὸ δέον. καὶ μὲ χεῖ τίμος καὶ μαχομένης ὑπὲρ αὐτοῦ. καὶ ὀρέξεων καὶ ἀκολάστων. ὀρθῶν μὲν ἀμεινόνων δὲ συγκινουμένων. τῶν δὲ ἀλόγων παθῶν κατισχυόντων αὐτοῦ καὶ περιόντων. καὶ τὰ ἑαυτοῖς ὀρεκτὰ πράττειν ἀναγκαζόντων. ὅτε ὡς εἶπον πρότερον ἐν τῇ τραγῳδίᾳ ἐκεῖνο λέγει. καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά. θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων. χρὴ οὖν μὴ δοξάζειν μόνον ὀρθῶς, ὀρέγεσθαι καὶ ἐκκλίνειν ἐπιπολαίως. ἀλλὰ καὶ τὰ ἔργα συμφωνεῖν ταῖς ὀρθαῖς δόξαις ἀποδίδομεν. ἐν τούτοις ὡς ἔστιν ἡ κατὰ φύσιν τῶν φαντασιῶν χρῆσις ἣ μέτρον ἀγαθὸν ἡγεῖσθαι χρή. καὶ μηδὲν τῶν ἐκτὸς ὥσπερ τοῦ τέκτονος ἀγαθὸν ἔργον τέκτονος ἢ καὶ τοῦ τεχνικοῦ λόγου ἐνεργεῖν. ἣ μὲν, ἐν ταῖς ἐννοίαις δέ, καὶ ἐκτὸς ἐν ταῖς πράξεσιν:·

ια. ὥσπερ ἐν πλῷ τοῦ πλοίου καθορμισθέντος εἰ δ' ἐξέλθοις ὑδρεύσασθαι:

Συντόμως καὶ ἐπιτακτικῶς ἡμᾶς ἀπὸ τῶν ἐκτὸς δοκούντων ἀγαθῶν ἀναχωρίσας, διὰ τοῦ δεῖξαι πάντα ἀλλότρια εἶναι. καὶ οὐδὲν αὐτῶν ἡμέτερον ἀγαθόν. ἵνα μὴ νομίσῃ τις καὶ γάμου καὶ παιδοποιίας. καὶ πάσης κτήσεως ἢ μαθήσεως τῶν ἐκτὸς ἀποκωλύειν ἡμᾶς τελέως αὐτόν, παραδίδωσιν ἐφ' ὅσον τούτων τε καὶ πῶς χρὴ αὐτῶν μετέχειν. ὅτι πάντα χρὴ τῇ πρὸς θεὸν ἐπιστροφῇ ἐξαρτᾶν

τὸν τοῦ παντὸς κυβερνήτην· καὶ ἐκεῖνον ἐκδεχόμενον τοῦ
κατὰ τάξιν μετέχειν. πρῶτον μὲν τῶν ἀναγκαίων
ἐν βίῳ· καὶ ὧν χωρὶς ἀδύνατον ζῆν· ὥσπερ διὰ τοῦ
ὑδρεύσασθαι ἐδήλωσε· τὰ περὶ τροφὴν λῆψιν καὶ
ἀμπεχόνην καὶ οἴκησιν· ὅσα καὶ ὅσα τοῖς ἀπερίττως ζῶσιν
ἀρκεῖ· καὶ τούτοις οὖν μεμετρημένην σπουδὴν κατὰ δεύτερον
λόγον. τὰ δὲ μὴ ἀναγκαῖα μέν· χρειώδη δὲ ἄλλως ὄντα
πρὸς τὸν βίον, οἷον γυνὴ καὶ τέκνα· καὶ κτῆσις· καὶ τὰ
τοιαῦτα, ὁδοῦ πάρεργον φησί· καὶ κατὰ τρίτον λόγον
αἱρούμενα, ἀπὸ τοῦ παντὸς προσδέχεσθαι χρὴ ὅτε
καὶ κατὰ καιρὸν δίδοται· τὸ ἐντεταμένον ἀεὶ πρὸς τὸ προη-
γούμενον ἔχοντα. τρυφὰς δὲ καὶ πρὸ τούτου καὶ δεῖν ἀφ-
ιστὰς τοιαύτας ἀλλοτρίας σπουδαίου οὔσας· ὡς δεῖν αἱρουμένων
τὸν κατὰ φύσιν βίον ζῆν εἶναι· οὐδὲ ὁδοῦ πάρεργον
προσίεσθαι συγχωρεῖ· ταῦτα γὰρ αἰτίαν πρότερον ἢ ἐκ-
λαβεῖν πάντως ἀφιέναι. γυναῖκα δὲ καὶ παιδοποιίας
καὶ τὰ τοιαῦτα· τοῖς μὲν ἀρτίως ἀρχομένοις παιδεύε-
σθαι, συνεβούλευσε πρὸς τὸ παρὸν ἀναβάλλεσθαι· ἵνα
πῆξιν ἡ ἀρχὴ τῆς παιδείας λάβῃ· τοῖς δὲ ἤδη προ-
κεκοφόσιν· ὡς δύνασθαι χρῆσθαι τοῖς τοιούτοις ἀβλαβῶς,
τούτοις ὁδοῦ πάρεργον ἐκδίδωσι καὶ τούτων μετέχειν.
δοκεῖ δέ μοι καὶ τὸ παράδειγμα πάνυ οἰκείως πεπλασ-
μένον παραγαγεῖν. τὴν μὲν γὰρ θάλασσαν διὰ τὸ ἐμ-
βριθὲς καὶ κλυδαζόμενον, καὶ παντοίως μεταβαλ-
λόμενον. καὶ πνῖγον τοὺς καταδύοντας εἰς αὐτὴν
ἀπὸ τῆς γενέσεως ἀνάγειν· καὶ οἱ παλαιοὶ μυθοπλάσται·
τῆς γενέσεως ἔλαβον σύμβολον· τὸ δὲ πλοῖον ἀν-
τὶ τοῦ ἀεὶ ἀνακομίζον εἰς τὴν γένεσιν τὰς ψυχάς· εἴτε μοῖρα·
εἴτε εἱμαρμένην· εἴτε ἄλλο τι τοιοῦτον αὐτὸ καλεῖν χρή·
ὁ δὲ κυβερνήτης τοῦ πλοίου ἐστὶν ὁ θεός· ὁ καὶ τοῦ παντός·

ἔοικε τὴν μὲν ὡς τὴν γένεσιν κάθοδον τῶν ψυχῶν ταῖς
ἑαυτοῦ προνοίαις πρὸς τὸ δέον καὶ τὸ κατ' ἀξίαν ἀλ
ἀπευθύνοντέ τε καὶ κυβερνῶν· ἡ δὲ καθόρμισις τοῦ
πλοίου· ἡ εἰς τὸν προσήκοντα τόπον καὶ ἔθνος καὶ
γένος τῶν ψυχῶν κατάταξις· καθ' ἣν αἱ μὲν ἐν
τῷδε τῷ τόπῳ καὶ ἔθνει· καὶ ὑπὸ τόδε τὸ γένος·
καὶ ὑπὸ τοῖσδε γεννῶνται τοῖς γονεῦσιν· αἱ δὲ ὑπ' ἄλλοις·
ἡ δὲ ἐπὶ τὴν ὕδρευσιν ἔξοδος ἡ περὶ τὰ ἀναγκαῖα
τῷ βίῳ σπουδή· ὧν χωρὶς ἀδύνατόν ἐστι διαβιοῦν·
τί γὰρ ὕδατος τοῖς ἐν γενέσει πρὸς τροφήν τε καὶ πόσιν
ἀναγκαιότερον· τὸ δὲ ὁδοῦ πάρεργον κοχλίδιον ἀναλέγειν
ἢ βολβάριον· καὶ αὐτὸς ἐξηγήσατο συμφώνως·
ὅτι γυναῖκα καὶ κτῆσιν καὶ τὰ τοιαῦτα διδόμενα παρ'
αὐτῶν δεκτέον μέν· οὕτω δὲ ὡς τὰ προηγούμενα ἀγαθὰ
καὶ ἡμέτερα ἀγαθά· τὸ γὰρ προηγούμενον ἡ πρὸς τὸν
κυβερνήτην ἐπίστασίς ἐστι καὶ ἐπιστροφή· ἀλλ' οὐδ'
ὡς περὶ ἀναγκαῖα ταῦτα σπουδαστέον ὥσπερ περὶ τὴν
ὕδρευσιν· ἀλλ' ὡς παρέργου ὄντος καὶ ἄλλως χρη-
σίμου τοῦ βίου ταῦτα δεκτέον· ἐὰν δὲ ὁ κυβερνήτης
καλέσῃ ἐπὶ τὸ πλοῖον ἀνακαλούμενος ἐν τῷ θανεῖν
πρὸς ἑαυτόν τε καὶ ἡμᾶς καὶ τὴν πατρίδα τὴν ἀληθινὴν
ὅθεν ἐληλύθαμεν, τρέχε φησὶν ἐπὶ τὸ πλοῖον· πάντα
ἀφεὶς ἐνταῦθα μηδὲ ἐπιστρεφόμενος· τουτέστι
παντὶ δὲ τῇ ἐντεῦθεν ἀνακλήσει κατακολουθεῖν ἑκ·
ἔ λύσας τοὺς πρὸς ταύτην σῶμα ἔχοντα δεσμοὺς καὶ
τὰς σχέσεις πάσας ἀφεὶς ἐνταῦθα τὰς πρὸς τὴν γένεσιν
ἀκολουθεῖν καλοῦντι μηδὲ ἐπιστρεφόμενος ὅλως·
ἵνα μὴ καὶ ἐὰν φυσικῶς λυθῇς κατὰ προαίρεσιν
ἐνταῦθα μένῃς· ἐὰν γάρ φησι μὴ ἑκὼν καὶ προ-
θύμως ἀκολουθήσῃς· ταύτῃ δὲ πάντα καταλείπῃ·

-σθε δὲ μέχρις ἐμβληθῇς εἰς τὸ πλοῖον ὥσπερ τὰ προ-
βάτια· τουτέστιν ἄκων καὶ κατακλαίων σαυτόν τε
καὶ τοὺς παρόντας ἀπολαύσας τὸν τῇδε βίον ὥσπερ
οἱ ἀνόητοι καὶ προβατώδεις ἄνθρωποι· ἀπιόμενον δὲ
ὅλως οὐδὲν πάρεργον γάμου καὶ παιδοποιΐας καὶ τῶν
τοιούτων κατὰ καιρὸν ἀπέχεσθαι χρή· ὥστε κόρον λα-
βόντες τὸν σύμμετρον ἀρξώμεθα ἀπελθεῖν ἐνταῦθα
καὶ προθύμως ὑπακοῦσαι τῷ κυβερνήτῃ καλοῦντι·
γέρων δὲ ὢν καὶ πρὸς αὐτῷ ἤδη τοῦ τέλους· μηδ' ἔτι τούτων
σθῇς δεσμῶν· ἀλλ' ὅλος εἰς τὴν ἀναχώρησιν τέτασο εἰς
τὸν ἐντεῦθεν χωρισμόν· ἵνα μὴ τοῦ καιροῦ τῆς ἀνα-
χωρήσεως ἐνστάντος· καλούμενος ὀπισθοβαρὴς εὑρε-
θῇς τῶν δεσμῶν ἀνθελκόμενος· καὶ νεόγαμον θρη-
νῶν γαμετήν· καὶ παῖδας νηπίους· καὶ ἄλλως δὲ τῷ γέροντι
καθήκει τῆς ἐνταῦθα ἀναχωρήσεως μᾶλλον ἢ τῆς ἐνταῦθα
ἐπιμελεῖσθαι ῥίζω : • μὴ ζήτει τὰ γινόμενα
γίνεσθαι ὡς θέλεις· ἀλλὰ θέλε τὰ γινόμενα ὡς γί-
νεται καὶ εὐροήσεις:

Ἴσων καὶ τίνων χρὴ ἀπὸ τῶν ἐκτὸς μεταλαμβάνειν· ιβ.
ὅτι τῶν μὲν ἀναγκαίων ἀναγκαίως· τῶν δὲ, ὅσον πά-
ρεργον· οὐδενὸς δὲ τούτων κατὰ προηγούμενον σπου-
δαίᾳ τούτων ἐνδοτέον τὴν τῶν ἐκτὸς χρῆσιν· τοὺς προ-
λοιπὸν παραδίδωσι· καθόλου καὶ ἀπολαβὼν καὶ αὐτάρ-
κη αὐτόν ἐστι κεχρῆσθαι τοῖς ἐκτὸς καὶ εὐαρέστως· ἀ-
ναγκαῖον δέ ἐστιν ἡμᾶς μέλλοντας μηδὲ δυσχεραντικῶς ζῆν ἀπα-
ρεσκόμενοι τοῖς γινομένοις· ἢ τὸ πᾶν ἀεὶ τὰ ἀρέσκοντα
ποιεῖν ἡμῖν· ἢ ἡμᾶς τοῖς ἀπὸ τοῦ παντὸς ἡμῖν
ἀπονεμομένοις ἀρέσκεσθαι· ἄλλως γὰρ ἀδύνατον
εὐροεῖν· ἀλλὰ τὸ μὲν ἀναγκάζειν τὸ πᾶν ἐκεῖνα ποι-
εῖν ἃ ἡμῖν ἀρέσκονται καὶ ἀδύνατον ἡμῖν ἐστὶ καὶ οὐ
πάντη σύμφορον·

πολλὰ γὰρ ἡμῖν ἀρέσκει τῶν καὶ ἡμῖν ἀσυμφόρων.
ἢ διὰ ἄγνοιαν τῆς φύσεως αὐτῶν· ἢ διὰ τὸ συνεκ-
τρέχειν ἡμᾶς ποτε ταῖς ἀλόγοις ὀρέξεσιν· ἀνάγκη
οὖν εἰ μέλλοι εὐροεῖν ἡμᾶς ταύτῃ οὕτω διατίθεσθαι
ὡς τοῖς ὑπὸ τοῦ παντὸς γιγνομένοις ἀρέσκεσθαι·
ἀλλὰ σκληρὸν ἴσως καὶ ἀδύνατον δόξει τισὶ τὸ
ἐπίταγμα τὸ θέλειν γίγνεσθαι τὰ γιγνόμενα ὡς γίγνεται.
τίς γὰρ τῶν εὖ φρονούντων ἂν ἢ τὰ κοινὰ κακὰ
ἀπὸ τοῦ παντὸς συμβαίνοντα· οἷον σεισμοὺς καὶ κατα-
κλυσμοὺς καὶ ἐκπυρώσεις· λοιμούς τε καὶ λιμούς· καὶ
φθορὰς παντοίας ζώων τε καὶ καρπῶν· ἢ τὰ ἀπὸ
ἀνθρώπων ἀνοσίως εἰς ἀλλήλους ἐπιτηδευόμενα· πόλε-
ων δηώσεις καὶ αἰχμαλωτισμούς· καὶ φόνους ἀδίκους
καὶ ληστείας· καὶ ἁρπαγάς· καὶ ἀκολασίας· καὶ τυραν-
νικὰς βίας μέχρι καὶ τοῦ ἀσεβεῖν ἀναγκαζούσας·
ἔτι δὲ παιδείας καὶ φιλοσοφίας ἀπώλειαν· ἀρετῆς
τε πάσης καὶ φιλίας καὶ τῆς πρὸς ἀλλήλους πίστεως·
καὶ τεχνῶν πασῶν καὶ ἐπιστημῶν διὰ πολλοῦ χρόνου
εὑρεθεισῶν τε καὶ βεβαιωθεισῶν· τῶν μὲν παντε-
λῆ ἀφανισμόν· ὡς μηδ᾽ αὐτὰ τὰ ὀνόματα αὐτῶν μνη-
μονεύεσθαι· τῶν δὲ τεχνῶν τῶν πολλῶν τῶν πρὸς βοή-
θειαν τοῦ βίου παραδοθεισῶν· οἷον ἰατρικῆς
καὶ οἰκοδομικῆς καὶ τεκτονικῆς καὶ τῶν τοιούτων σμι-
κρὰ μόνα· καὶ εἴδωλα περιλελεῖφθαι· ταῦτα οὖν καὶ τὰ τοι-
αῦτα τὰ ἐν τῷ καθ᾽ ἡμᾶς βίῳ πρὶν ἢ εὐστοχεῖν τις ἀκού-
ειν ἐθέλοι οὐ λέγω καὶ ὁρᾶν καὶ μετέχειν αὐτῶν· καὶ
προθέλειν γίγνεσθαι αὐτά· εἰ μὴ κακόθελής τις εἴη
καὶ μισόκαλος ἄνθρωπος· τὰ δὴ τοιαῦτα τῶν ἀτόπων
οὐ μόνον τοὺς πολλούς, ἀλλὰ καὶ τοὺς ἀστειοτρόπους
ἐνοχλοῦντα, τυγχάνει χρῄζοντα διαλύσεως· εἰ μέλλοι

καὶ ὁ τοῦ ἐπικτήτου λόγος ἀνεύθυνος φαίνεσθαι· καὶ
ἡ τοῦ δημιουργοῦ θεοῦ διοίκησις ἀνεπίληπτος· ὁ πρὸς
τὸ συμφέρον ἔχει καὶ τὸ εὐσεβὲς τιθέμενον. ὡς αὐτὸς
ἡμᾶς ἀεὶ διδάσκει μετ' ὀλίγον ὁ ἐπίκτητος· λέγω τοίνυν
ὡς εἰ μὲν κακὰ ὄντως ἐστὶ ταῦτα τὰ γινόμενα, ἀνεπι-
στρεφὴς δὴ ὁ αὐτῶν ἀπορῶν λόγος· καίτοι αὐτὰ κακὰ δι' ἀπ
ἡμῖν ἐμφαίνεται· οὔτε ἀγαθὸς ὢν εἴη ὁ θεὸς ὁ εὐαρεστῶν
τοῖς κακοῖς, οὔτε τὸν διοικοῦντα ταῦτα τῇδε ἀναίτιον
εἶναι τῶν κακῶν προχωρεῖ· οὔτε αἴτιον νομίζοντα καὶ
αὐτὸν τιμᾶν ἢ φιλεῖν ἢ σέβεσθαι δυνατόν, κἂν μυρίοις
ἐπὶ μυρίοις ἀπομνύμεθα· πᾶν γὰρ ζῷον ὡς αὐτὸς
ἐρεῖ· τὰ μὲν βλαβερὰ καὶ τὰ αἴτια αὐτῶν· φεύγει
τε καὶ ἐκτρέπεται· τὰ δὲ ὠφέλιμα καὶ τὰ αἴτια
αὐτῶν, μετέρχεταί τε καὶ θαυμάζει· εἰ μέντοι φανείη τὰ
μὲν γινόμενα ταῦτα μὴ κακὰ ὄντα ὡς προενομίζομεν·
ἀλλ' ἀγαθὰ μᾶλλον. ὡς πρὸς μεγάλα ἀγαθὰ συντελοῦντα·
καὶ ἐκείνων ἕνεκα γινόμενα· εἰ δέ τι εἴη κακὸν ὅλως
ἐν τοῖς γινομένοις τοῦτο μὴ ὄν, ἀλλ' ἐν ταῖς ὀρέξεσι
καὶ ὁρμαῖς ταῖς ἡμετέραις· οὔτε ὁ θέλων γίνεσθαι
τὰ γινόμενα γίνεσθαι ὡς γίνεσθαι κακός ἐστιν· οὔτε
ὁ διοικῶν ταῦτα τῇ δὲ κακοῦ φανήσεται αἴτιος· ταῦτα
τοίνυν ἐν οἷς ἐστὶ τὰ δοκοῦντα κακά, ἐν τῷ τῆς γενέσεως
καὶ φθορᾶς ὄντι τόπῳ· τὰ μέν ἐστι σώματα, τὰ δὲ,
ψυχαί· αἱ μὲν ἄλογοι συμπεφυκυῖαι τοῖς σώμασι·
καὶ οὐδὲν σχεδὸν ἔχουσαι αὐτῶν ἐξηρημέναι· ἀλλὰ
ζῶσαι τῶν σωμάτων οὖσαι· καὶ κατ' ἐκεῖνα καὶ μετ'
ἐκείνων κινούμεναι· αἱ δὲ λογικαὶ καὶ αὐτοκίνητοι καὶ
τῶν σωμάτων ἐξηρημέναι· καὶ προαιρέσεως καὶ ὁρμῆς
οὖσαι κύριαι. ὧν τὰ μὲν σώματα ἑτεροκίνητα
τελέως ὄντα· καὶ τὴν οὐσίαν ἅπασαν ἐξ ὧν θεοῦ ἔχοντ.

προηγουμένως μὲν ἀπὸ τῶν οἰκείων κινήσεων γί-
νεταί τε καὶ φθείρεται· καὶ μεταβάλλεται τὰς τοι-
μεταβολάς· προσεχῶς δὲ καὶ ὑμικρότερον ὑπ' ἀλ-
λήλων· καὶ γὰρ ἀκόλουθόν ἐστι τοῦτο ἀπὸ τῶν
ἀϊδίων τὰ γιγνόμενα καὶ φθειρόμενα κυρίως ὑ-
φίστασθαι· καὶ ἀπὸ τῶν αὐτοκινήτων τὰ ἑτερο-
κίνητα· καὶ ἀπὸ τῶν περιεχόντων τὰ περιεχόμενα·
ὡς ἔστιν αὕτη τάξις καὶ δίκη τούτων τοσοῦτον ἀνάγκη
ἀκολουθεῖν· οὐκ ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως
ἢ αἱρέσεως καὶ ὁρμῆς ὅπου κύριοι· οὐ διὰ τὴν διαφορὰν
τῆς ἑαυτῶν ἀξίας κατὰ προαιρέσεως ἔχοντα· ἀλλὰ
τοῖς αἰτίοις συνδιατιθέμενα· ὥσπερ καὶ αἱ σκιαὶ
τῶν σωμάτων οὐ κατὰ προαίρεσιν τοίως ἢ τοίως
τρέπονταί τε καὶ διατίθενται· ἀλλὰ τῇ τῶν αἰ-
τίων ἕπονται καταστάσει· τὴν αὐτὴν ἔχουσαι ἀεὶ
ἀξίαν· καὶ οὐδὲ αὐτοῖς μὲν τοῖς μεταβαλλομένοις
σώμασι, κακόν ἐστιν ἡ μεταβολή· οὔτε τοῖς συνθέτοις
οὔτε τοῖς ἁπλοῖς· πρῶτον μὲν ὅτι φύσις ἐστὶν
αὐτοῖς τοιαύτη· καὶ ἄλλως ἔχειν ἀδύνατον αὐτά· ἐπεὶ δὲ
ταῖς λογικαῖς ψυχαῖς κακὸν ἂν εἴη ἡ ἄγνοια, καὶ ἡ
κατὰ τὰς ἀλόγους ὀρέξεις ζωή· ἃ μὲν πέφυκε γι-
νώσκειν τὸ ἀληθές· καὶ ἄρχειν τῶν ἀλόγων ὀρέ-
ξεων καὶ ὑπερέχειν αὐτῶν· ἔπειτα ὅτι καὶ τὰ
σύνθετα ἐξ ἐναντίων συγκείμενα μαχομένων
ἀλλήλοις καὶ ἐν ἀλλοτρίοις ὄντων τόποις καὶ
πλεονεκτούντων ἀλλήλοις διὰ τῶν μέσων· ποτὲ
μὲν ἐκκρίνονται τὰ διεφθαρμένα ἐν αὐτοῖς καὶ
ἀναρρώννυται, ποτὲ δὲ εἰς φθορὰν ὁδεύονται·
αὐτὰ μὲν τοῦ μόχθου καὶ τῆς ταλαιπωρίας καὶ τῆς
ἐν αὐτοῖς τῶν ἐναντίων πλεονεξίας ἀπαλλάττεται.

Τῶν δὲ ἐν αὐτοῖς ἁπλῶν ἕκαστον ἀποδίδοται τῇ
ἑαυτοῦ ὁλότητι εἰς ἐκμέτρησιν καὶ συμμετρίαν τῆς
γενομένης αὐτοῖς ὑπὸ τῶν ἐναντίων καθέρξεως.
ἕκαστον γὰρ αὐτῶν ποιοῦντί τι εἰς τὸ ἐναντίον καὶ ἀντι-
πάσχει ποιοῦντος ὑπ' αὐτοῦ· ὅταν δὲ ταῦτα πλεονεκτῇ μετα-
βάλλει εἰς ἄλληλα. κατὰ τὰς τῶν ἐναντίων ποιότητ-
ας μεταβολὰς γίνεται πολλάκις τὸ μὲν πρότερον τὸ
ὕδωρ εἰς ἀέρα μεταβάλλει ἀφ' οὗ καὶ γέγονε· πρὸς δὲ
τούτοις ὁ ἀὴρ εἰς πῦρ ἐξ οὗ γέγονε· καὶ οὐδὲν ἐν τούτοις
οἶμαι κακόν· κἂν κατακλυσμοὶ κἂν ἐκπυρώσεις
κἂν ἀθροωτέρας μεταβολὰς ἀπεργάσωνται
διὰ τὴν ἰσότητα τῶν ἐν τῷ παντὶ στοιχείων· κἂν λιμοὶ
ἢ λοιμοὶ τὰ τῶν θνητῶν σώματα διαλύσωσιν· εἰ δὲ
καὶ συμβαίνει ταῦτα διὰ τὴν ἐπιτήδειον ἀνάγκην
τοῦ θνητοῦ· διὰ τὸ τὴν ἄλλου φθορὰν ἄλλου γέ-
νεσιν εἶναι· πῶς κακὸν δυνατὸν εἶναι τὴν τοῦ μέρους
φθορὰν· εἰς λυσιτέλειαν τοῦ ὅλου. καὶ γὰρ ἐπὶ τῶν μερικῶν
ζῴων καὶ ἡ φύσις ὁρᾶται καταφρονοῦσα τοῦ μέρους
διὰ τὸ ὅλον. ὅταν τὰ ῥεύματα ἀπὸ τῶν κυριωτέρων
μορίων καρδίας καὶ γαστρὸς καὶ ἥπατος καὶ κεφαλῆς
εἰς πόδας ἄκρους ἀπωθῇ καὶ χεῖρας· ἢ πρὸς
τὸ δέρμα διὰ ἐκφυμάτων καὶ λειχήνων καὶ τῶν
τοιούτων παθῶν· καὶ ἀποστήματα ποιῇ φθο-
ροποιὰ μορίων, διὰ τὴν τοῦ ὅλου σωτηρίαν· ἢ μέντοι
καὶ ἰατρικὴ τέχνη μιμουμένη τὴν φύσιν ποιεῖται
ἀποστήματα· καὶ τέμνει καὶ καίει· ἢ καταταμεῖν
ἢ ἐκκόπτει μόρια διὰ τὸ σῶσαι τὸ ὅλον· καὶ οὐ
τούτοις ὡς κακῶν γινομένοις ἐγκαλεῖ· ὡς δέ γε κατ'
αὐτὰ μόνα ἢ τὰ σώματα· καὶ μηδαμῶς μηδὲν
τῶν περὶ αὐτὰς συμβαινόντων εἰς τὰς δῖνας
ψυχὰς ἀναφέρειν,

οὐδὲν δ' οἶμαι τῶν κατὰ τὰς μεταβολὰς αὐτῶν καὶ ἐνομίζετο. ἐπειδὴ δέ, καὶ ψυχῶν αἱ μὲν ἐν τοῖς σώμασιν· αἱ μὲν ἄλογοι συμπεφυκυῖαι τοῖς σώμασι καὶ ἐκγόνων οὖσαι ζωαί· καὶ ἐν ἐκγόνοις καὶ μετ' ἐκγόνων τήν τε οὐσίαν ἔχουσαι. καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν· αἱ δὲ λογικαὶ καὶ ὅσαι ἡγεμόνες κατὰ φύσιν τῶν σωμάτων καὶ χωρισταὶ τῶν τῆς ὕλης ἀπ' αὐτῶν οὖσαι, αὐτοκίνητοί τε καὶ προαιρετικαί· καὶ κύριαι ὁρμῆς καὶ ὀρέξεως ὡς δέδεικται πρότερον· αἱ μὲν ἄλογοι εἰ μὲν μηδαμῆ μηδὲ ἴχνος ἔχουσιν αὐτοκινησίας μηδὲ ὀρέξεων ἔνδοθεν ποιουμένων κίνησιν. ἀλλὰ τελέως τῶν σωμάτων εἰσὶ ζωαί, δῆλον ὅτι καὶ τὴν οὐσίαν σὺν τοῖς σώμασιν ἔχουσιν ὑπὸ τῆς εἱμαρμένης παραγιγνομένην καὶ τὴν ἀξίαν· κατὰ τὰ ἔκγονα δὲ καὶ μετ' ἐκγόνων ἀφωρισμένην καὶ συνδιατιθεμένην ταῖς ἐκγόνων κινήσεσιν ὡς εἴρηται περὶ τῶν σωμάτων. εἰ δὲ τοῦτο μὲν ταῖς τῶν φυτῶν ζωαῖς μᾶλλον προσήκει· διὸ καὶ κατερριζωμέναι εἰσί· καὶ αἰσθήσεως ἐστέρηνται καὶ κινήσεως τῶν τῆς ὀρέξεως καὶ ὁρμῆς τῆς ψυχῆς συνιόντων· τὰ δὲ ἄλογα ζῷα καὶ τοῦ ἑτέρου εἴδους ἐπὶ τὰς τῶν ἀλόγων ψυχὰς μέσας οὔσας ζωῶν ζῴων τῶν τε κατερριζωμένων τοῖς σώμασι· καὶ τῶν τελέως κατὰ φύσιν ἀπολελυμένων καὶ αὐτοκινήτων, ἔχειν τι ὀρέξεως ἴχνος καὶ ὁρμῆς ἔνδοθεν ἀπ' αὐτῶν ἀφορμώμενον· καὶ ποτὲ μὲν κατὰ φύσιν τοῦ εἴδους οἰκεῖον κινούμενον· ὅταν ὁ λέων σύμμετρον τοῦ εἴδους τὸν θυμὸν ἔχῃ· ποτὲ δὲ ὑπερζέον ἢ ἔλαττον· καὶ κατὰ ταῦτα καὶ ἀξίας ἴσχουσι διαφόρους βίου ἀνομοιότητι· πρὸς τὴν κατὰ τὴν εἱμαρμένην

διάθεσιν ὡς ἑτεροκίνητον ἔχουσι· χρὴ γὰρ τὴν
μέσαν τιμῶν ὄν, ἑκατέρων τῶν ἄκρων κοινωνεῖν.
ἡ μέντοι λογικὴ ψυχή, αὐτοκίνητος οὖσα, καὶ
ὀρέξεως τελείως κυρία καὶ ὁρμῆς· καὶ τὴν ἀξίαν
ἔχει πρὸς τὴν προαίρεσιν· χρωμένη δὲ τῷ σώ-
ματι καὶ τὰ πάθη αὐτοῦ πρὸς ἑαυτὴν ἔχει ἀνα-
φερόμενα· ἀλλ' ὅταν μὲν κατὰ φύσιν ζῶσα ὡς
ὀργάνῳ χρῆται τῷ σώματι, ἔξω μὲν καὶ ὑπερ-
έχουσα, τότε αἱ τοῦ σώματος βλάβαι, τὰς μὲν δι'
αὐτοῦ ἐνεργείας ἐμποδίζουσιν αὐτῇ· οὐδενὸς δὲ
αὐτῇ δηγμοῦ μεταδιδόασι· καὶ γὰρ καὶ τὸ ἀλγεῖν
τὼ σκέλη μὲν ἀγγέλλειν ὁ θεῖος Σωκράτης· ὅταν δὲ
οἰκειῶται τὸ σῶμα πλέον τοῦ δέοντος· οὐχ ὡς
ὄργανον ἔτι, ἀλλ' ὡς μέρος ἑαυτῆς περιεπομένη·
μᾶλλον δὲ ὡς ἑαυτὸ σὺν αὐτῷ καὶ αὐτοποιουμένη·
καὶ ἀλόγου τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας
ὀρέξεις, οἰκείας νομίζουσα· καὶ ὑπουργοῦσα αὐτοῦ,
τὰς μηχανὰς ὑποβάλλουσα πρὸς τὴν τύχην ὧν ὀρέγεται,
κακοῦται κατὰ πάντα, καὶ νοσεῖ τὴν τῆς ψυχῆς
νόσον· καὶ ἰατρείας δεῖται, πρὸς τὸ ἀπαλλαγῆναι αὐτοῦ.
τὰ δὲ ἐναντία τῶν ἐναντίων ἰάματα, καὶ χρὴ τὴν
δι' ἡδονῆς ὄρεξιν καὶ τὴν κατ' ἐπιθυμίαν κακίαν θεραπεῦσαι
τῆς προσπαθείας· καὶ χρημάτων συμπαθῶς καὶ τιμὴν καὶ δόξαν
καὶ τὰ τοιαῦτα τῇ περὶ ταῦτα λύπῃ ἀποτυγχανομένων,
κολάζεσθαί τε καὶ ἰατρεύεσθαι· καὶ μάλιστα ἐπὶ
τοῖς τοῦ σώματος πάθεσι· ἀρκοῦσι γὰρ ἐπ' αὐτοῖς
τοῦτο· καὶ αἱ ἐπ' αὐτοῖς καὶ σὺν αὐτοῖς ὀδύναι, αἰσθη-
τόταται· ἀποσπάσασα γὰρ ἡ ψυχὴ τῶν τε ἑαυτῆς κρα-
τούντων· καὶ ὅλην ἑαυτὴν ἐνδοῦσα τῷ τε σώματι
καὶ τοῖς ἐκτὸς καὶ ἐκείνοις ἑαυτὴν νομίσασα· καὶ τὸ

ἀγαθὸν

τὸ ἑαυτῆς ἐν ἐκγόνοις ζητοῦσα· καὶ κατὰ τοῦτο
νοσήσασα καὶ κακωθεῖσα· πῶς δὴ ἄλλως κατα-
γνῶναι τούτων ἠδύνατο· καὶ τῆς πρὸς αὐτὰ ῥοπῆς·
καὶ καταφρονῆσαι αὐτῶν· καὶ ἐπιστραφῆναι αὖθις
καὶ τὰ κρείττονα· καὶ ἐν τούτοις τὸ ἀγαθὸν ζητεῖν·
ἡ μὴ πρὸς τῷ βλαβερῷ καὶ λυπηρῷ περιφέρεσθαι τοῦ-
δι' αὐτὸ γὰρ ἡδονὴν ἐς αὐτὰ ῥέπουσα· ὥστε ταύτης ἐν ἐ-
κγόνοις καὶ σὺν ἐκγόνοις τυγχάνουσα· ἕως μὲν ἀναπ-
λάθοι ταύτης εἶναι· προσηλοῦται αὐτοῖς καὶ
προστετήκει· οὐδεὶς γὰρ ἧλος οὕτως ἰσχυρό-
τερος ἐστὶ προσπερονῆσαι καὶ κολλῆσαι· ὡς ἡ ἡδονή·
καὶ τὸ ἀπ' αὐτῆς δέλεαρ· ὁ τοίνυν ἀγαθὸς ἰατρὸς ἀνιᾶ-
ται ταῦτα ἧς ἀμέμευκαι αὐτὴ προσφέρων ἀποτρέ-
φεσθαι παρ' αὐτά· ὥσπερ αἱ τιτθαὶ διὰ ἀπογα-
λακτίζειν βουλόμεναι· πικρῷ τινι τὰς θηλὰς
ὑπαλείφουσι· καὶ τὴν μὲν ἀρχὴν ὡς δυσχεραίνουσι
αἱρούμεναι αἱ ψυχαὶ ἐν τῷ σώματι τῆς ὀδύνης
καὶ βιωτικῶν περιστάσεων, τὸν θάνατον αἱροῦνται, καὶ
τὸν ἀπὸ τοῦ σώματος χωρισμόν· ὃ πρὸ οὐκ ἂν
παρ' ἑαυταῖς ποτε εὑρούσαις περὶ τὸ σῶμα. συνε-
θίζονται δὲ ὅμως μισεῖν τε καὶ ἀποστρέφεσθαι τὴν
ἐνταῦθα ἡδονήν· μείζονος καὶ πολυπλασίονος
λύπης φόβῳ ἐντεῦθεν ἐγγινομένης. ὥσπερ καὶ τὰ
παιδία φόβῳ τὴν ἀρχὴν ἀπὸ τῶν βλαβερῶν ἀνα-
στέλλονται· καὶ τις ἀφηδόμενος σιτίῳ τινί. ἢ
ποτῷ βλαβερῷ πολλάκις ὀδύνης ἀπ' αὐτῶν πειρώμενος
καὶ λύπης ἀφορμὰς φόβῳ τοῦ μὴ τούτοις περιπεσεῖν,
ἀπέχεται αὐτῶν· καίτοι τις ἐὰν ἀλύπως τοῖς ἡδέσι
χρώμενος κἂν βλαβερὸς αὐτὸς τυγχάνῃ οὐκ ἀποτρέπεται
ἂν ἀπ' αὐτῶν· καὶ ἔτι μὲν τοῦτο τὸ τῶν ἡδέων ἀ-
παρέχεσθαι

διὰ φόβον τῆς μείζονος λύπης. οὐκ ὀλίγα πολλάκις
· ἀλλ' ἀπαλλαγὴν μᾶλλον· τὸ γὰρ ἡδὺ τῆς ἀλυ-
πίας ἀλλαττόμεθα. τουτέστι τῆς ἀπολαύσεως ἡδέος·
μετ' αὐτοῦ καὶ ἄλλο πάθος προσλαμβάνειν ἐν τῷ πάθος
πλὴν οὖν ἀλλὰ τοῦτο· τὸ μὲν ἀρχὴν τοῖς παιδικοῖς
ἡμῖν καὶ ἀγνοήτως διαγομένοις ἐστὶ τὸ διακινηθῆναι
πρὸς ταῦτα οἷς σφοδρῶς συμπεπόνθαμεν·
τὸ τέλειον τήν τε φύσιν τούτων καταμαν-
θάνοντες· ὅτι πρὸς τῷ βλαβερῷ καὶ τὸ λυπηρὸν
ἔχουσι τοῦ ἡδέος πλέον· καὶ πολλαπλάσιον· τὸ
δὲ ἑαυτοὺς ἐπιστρέφοντες καὶ ἐν ἑαυτοῖς τὸ ἀγαθὸν
ἀνευρίσκοντες ὄν· καὶ οὐκ ἐν σώματι ἢ τοῖς ἐκτός·
τὸ μέντοι καὶ τῆς πρὸς τὸ κρεῖττον ἡμῶν ὁμοιότητος αἰ-
σθανόμενοι· καὶ ταύτην τιμῶντες οὐκέτι φόβῳ ἀλλ' ἐ-
πιστήμῃ καὶ ἀρετῇ τὸν κατὰ φύσιν βίον αἱρούμεθα·
καὶ γὰρ καὶ τὰ παιδία ἀπ' ἀρχῆς ἐξέκλινον πρότερον καὶ ἐπι-
τήδευον διὰ φόβον· ταῦτα δὲ ὕστερον φρενωθέντα λοιπὸν
αἱρούμενα πράττουσι· καὶ οὗτος σκοπὸς τῶν ἐπιμελου-
μένων ἡμῶν θεῶν· τὸ μήτε προστετηκέναι τὴν λογικὴν
ψυχὴν τῷ σώματι· καὶ τοῖς ἐκτός· μήτε φόβῳ ἀλλ' αἱ-
ρουμένην ἀπέχεσθαι αὐτῶν· ὡς ἐν τῇ αἱρέσει τῇ
ἐκλίσει τοῦ ἀγαθοῦ ἡμῶν καὶ τοῦ κακοῦ κειμένων·
τὸ δ' ἐστι τοῦτο τὸ τέλος ἡ ἰατρεία τῆς προνοίας ἐπάγει.
ἐστὶ τὸ ἐπανάγειν τὴν ψυχὴν εἰς αἵρεσιν τοῦ κατὰ φύσιν
βίου· ὥσπερ καὶ οἱ ἄριστοι τῶν ἰατρῶν διὰ τομῶν
καὶ καύσεων καὶ τῶν τοιούτων τὴν κατὰ φύσιν ἕξιν ἐμ-
ποιοῦσι τοῖς σώμασιν· ὥστε τὰς κατὰ φύσιν
ἐνεργείας ἀποδίδοσθαι· καὶ ἡ ἰατρεία τῆς πονη-
ρίας ἡ δίκη· καὶ ταύτης τὴν χεῖρα ἀνταποδίδωσι περὶ ἡμᾶς ταῦτα
ἀποκοινοῦται κακά· ἀλλὰ παρὰ τοῖς ἰατροῖς διαχειριζόμενον

ἅπερ ἔχουσι τομὰς καὶ καύσεις καὶ τὰ ἀνιαρὰ τῶν
βοηθημάτων· διὸ καὶ πρὸς ταῦτα δυσχεραίνουσιν
οἱ παιδικοὶ καὶ ἀνόητοι. καὶ ὅστις περ ἂν ἐν τοῖς
συμβαίνουσιν ἑαυτῷ παρακολουθεῖν· καὶ τοῖς ἄλλοις
τύχ καὶ τὰς γινομένας ~~[illegible]~~ διαθέσεις ἐπισκοπῶν, ὁ-
μολογήσει ῥαδίως οἶμαι ταῖς διαχρήσεσι ταύταις μεγάλην
ἀρχὴν παρέχειν τῇ ψυχῇ πρὸς τὴν τοῦ σώματος
καὶ τῶν ἐκτὸς καὶ ὡς ἂν ὁ θαυμαστὸς ἀεὶ ποιεῖ τῶν οὐκ ἐ-
φ' ἣ μὲν κατὰ φρόνησιν. ὥσπερ δὲ ἡ τῶν σωμάτων
ἰατρική· τὸ μέν τοι μέρος ἔχει θεραπεῦσαι τὰ νο-
σοῦντα τὰ σώματα διὰ τῶν ἐναντίων ἐπανορθού-
μενον· τὸ δὲ ὑγιαῖνον διὰ τῆς καὶ γυμνασίοις
βεβαιότερόν τε καὶ τελεώτερον ὑγιαίνειν ποιοῦν.
καὶ ἐπαινετὸν τῶν γυμνασίων ἐπὶ τῶν ἀφορμάν· καὶ
μόνοις τοῖς ἀνδράσι καὶ τὴν πάθεσι φορήν, οὕτω
καὶ τῶν ψυχῶν βοηθός. οὐ μόνον τὰς νόσους θερα-
πεύει, διὰ τῶν ἐν τῷ νοῦ διαλέξεων· ἀλλὰ καὶ
τὰς ὑγιεῖς συμπάσας καὶ ὑγιεινοτέρας καὶ ἀνδρειο-
τέρας ποιεῖ· καὶ τὴν ἀρετὴν αὐτῶν διαφανεστέραν
τοῖς ἄλλοις διὰ γυμνασίων ἐπιδείκνυσιν. ταῖς μὲν γὰρ
δέον γυμνάσιοι καὶ αἱ ἀργαὶ τῶν ἀνθρώπων ψυχαὶ ὥσπερ
καὶ τὰ ὑγιαίνοντα σώματα, πρόδηλον. εἰ γὰρ καὶ
γὰρ κρατίστη, ἀργία δὲ κακίστη φησὶν ὁ Ἱπποκράτης.
διὰ τί, ὅτι τὰ μὲν ἀεὶ τὴν ἑαυτῶν ἔχοντα τελειότητα
καὶ τὰς κατὰ φύσιν ἐνεργείας ἀεὶ ἐνεργοῦντα, πρό-
χειρότερα ἀεὶ καὶ ἑτοιμότερα ἔχει τὰς ἐνεργείας. τὰ δὲ
μὴ ἐνεργοῦντα διὰ τὴν γυμνασίας ἀμελησίαν τε
ἀκινησίας· ἵνα μὴ τῇ ἀργίᾳ τῆς ἐνεργείας ἀπο-
λαθώμεθα· καὶ νεκρωθέντα τοῦ καιροῦ καλοῦντος
τῆς χρείας ἐλλείπῃ. τὸ γὰρ ποτὲ μὲν ἐνεργοῦν.

ποτὲ δὲ μὴ ἐνεργοῖεν δι' αὐτὸ μὴ τοῦτο πάσχειν, ἀλλὰ
τῆς διὰ τοῦ ἐνεργεῖν ἀναρρώσεως· πᾶσα δὲ
γυμνασία, διὰ τῶν αὐτῶν ἐπιτελεῖται δι' ὧν καὶ
ἡ προηγουμένη ἐνέργεια πρὸς ἣν γυμναζόμεθα·
ἡ γοῦν πρὸς πάλην γυμνασία, διὰ τοῦ συμ-
παλαίειν γίνεται· καὶ ἡ πρὸς πυγμὴν διὰ τοῦ συμ-
πυκτεύειν· καὶ ταῖς πληγαῖς συνεθίζεσθαι· οὕτω
γὰρ καὶ ἡ πρὸς πόλεμον διὰ τὸ πολεμίους μιμεῖσθαι
τοὺς γυμναστάς· καὶ ὅσῳ μᾶλλον ἂν εἶεν οἱ προσγυ-
μναζόμενοι μεγάλοι καὶ ἰσχυροί, τοσοῦτο μᾶλλον
τὸ γυμνάσιον ἀνύει τὸν ἑαυτοῦ σκοπόν· ὥστε
κἂν πρὸς ἡδονὴν γυμνάζηταί τις ἐπὶ τῷ κρατεῖν
ἡδονῆς· ἀνάγκη τῶν ἡδέων ἐφαπτόμενον ἐ-
θίζεσθαι καταφρονεῖν αὐτῶν· κἂν πρὸς λύπην
λυπηρῶν μετέχειν· κἂν πρὸς φόβον φοβεροῖς
τισὶν ἑαυτὸν ἐμβάλλειν· κἂν πρὸς ἀλγηδόνας τὸν
διὰ μαστιγώσεως ἀγῶνα τῶν ἐν Λακεδαίμονι μει-
ρακίων ζηλοῦν· καὶ τὰ πρὸς ἐκεῖνον τὸν ἀγῶνα
γυμνάσια πάντα δὴ ἀλγεινὰ ὄντα· ἢ τὸν ἐφ' ἡμῶν
σαλούστιον ἄνθρακα περιπυρακτωμένον ἐπιθέντα
γυμνῷ τῷ μηρῷ· καὶ φυσῶντα αὐτὸν καὶ δοκιμά-
ζοντα ἑαυτὸν· μέχρι πόσου δύναται καρτερεῖν· οὐδὲ
γὰρ διαφέρει τῶν εἰρημένων τὰ γυμνάσια τῆς προηγουμένης
ἐνεργείας· ἀλλὰ τοσοῦτον μόνον ὅτι ἐλαφρότερα ἐστί· πρὸ τ ἀσω
καὶ ὅτι ἐφ' ἡμῖν ἐστιν ὅταν βουλώμεθα παύεσθαι·
ἐπεὶ δῆλον ὅτι τὰς ἡμετέρας ψυχὰς καταπέμπων
ὁ τῆς γενέσεως θεὸς δυνάμεις δέδωκεν αὐταῖς· καθ' ἃς
καὶ ἀβλαβῶς ἔχεσθαι τοῖς ἐν γενέσει δελεάζουσί
τε καὶ ἐκπλήττουσι καὶ ὑπερανέχειν αὐτῶν δυνή-
σονται· ταύτας τὰς δυνάμεις γυμνάζομεν ᾠδῇ.

ἵνα μὴ ἀργοῦσαι χαλαρώτεραι καὶ ἀτονώτεραι γένων-
ται καιροῦ ποτε καλοῦντος· τὴν χρείαν αὐτῶν ἀρνή-
σωσιν, ἄθλοις πολλάκις προτιθέασι ταῖς ψυχαῖς·
καὶ οὐκοῦν Ἡρακλῆς ἢ Θησεὺς ἢ Διογένης· ἢ Σωκρά-
της τοιοῦτοί τινες ἐγένοντο· οὐδ' ἂν διεφάνη τῆς αὐτῶν
ἀρετῆς τὸ μέγεθος· μάχη ἐπὶ ὅσον δύναται προελθεῖν·
ἡ μὲν τοῖς μὲν, πρὸς τὰ φοβερώτατα τῶν θηρίων·
καὶ τοῖς κακούργοις τῶν ἀνθρώπων ἀγωνίσασθαι προεκα-
λέσατο· τοῖς δὲ ἐς λιτότητα ἄκραν καὶ τὸν κατὰ φιλ-
βίον προσέθηκε· καὶ ἐπιγνοῖμεν καὶ τοῦτο τοῖς ἐφι-
στάνουσι πρόδηλον ὅτι οἱ ἐν περιστάσεσι καλῶς δια-
γινόμενοι, ἀνδρεῖοι κατὰ τὸ λοιπὸν ἀποβαίνουσιν.
ἡ γὰρ τὴν πρὸς τὰ φοβερώτατα ἀπάντησιν γινομένη συνε-
θισμὸς ποιεῖ· ὡς ὀλίγου κέρματος χάριν αἱρεῖσθαι
τινὰς αὐτήν. πῶς οὐκ ἂν ἐν τοῖς μετριωτέροις
ἡ γυμνασία παρασκευάσει καταφρονεῖν τῶν
δυσχερῶν τοῖς ἀγυμνάστοις δοκούντων. ὥσπερ οὖν
ὡς θεραπευτικὸν νοσούντων. ὥσπερ ὡς γυμνάσια ὑγι-
αινόντων προσάγεται ταῖς ψυχαῖς τὰ δυσχερῆ
ταῦτα καὶ ἐπίπονα δοκοῦντα, οὐκ ἂν εἴη κακὰ αὐτά.
ὥσπερ οὐδὲ γὰρ καὶ τοῖς σώμασι τὸ ἰατρεύεσθαι
καὶ γυμνάζεσθαι ἐπίπονα ὄντα κακὰ ἂν λέγοιμεν.
καὶ κατ' ἀξίαν δὲ πάντως γινόμενα τήν τε τῆς
φύσεως καὶ τὴν τῆς προαιρέσεως οὐκ ἂν εἴη
κακά· τὸ γὰρ κατ' ἀξίαν δίκαιον· τὸ δὲ δίκαιον
ἀγαθόν. ἀλλ' οὐδὲ τοῖς σώμασιν ὡς σώμασιν ἀναισθήτοις
καθ' αὑτὰ οὖσι· κακόν ἐστι τὸ τέμνεσθαι ἢ καίεσθαι.
ἡ γὰρ ἔστι ἀπαλλαγὴ ἁμαρτίας. οὐ κακὸν τ σωθέντι.
ὥσπερ οὖν τὴν τῶν σωμάτων ἰατρικὴν γυμνάζουσαν
καὶ τέμνουσαν καὶ καίουσαν καὶ κατατείνουσαν

καὶ μορεῖαι ἀποκόπτουσιν· κατὰ ταὐτὰ τοῖς ἀφη-
κολάζουσιν οἷς τοιοῦτον οὐ κακὸν λέγομεν ἀλλ'
ἀγαθόν· καὶ χάριν καὶ μισθὸν τελοῦμεν τοῖς ἰατροῖς·
διατί; τὴν τοῦ θεοῦ ἰατρείαν οὐκ ἀγαπῶμεν· ὀργῇ
θυμῷ οὐδὲ ἀμυντικῶς· οὐδὲ πράξει ἀνθ' οὐδ' ἐπὶ
βλάβῃ ποιεῖ τι τούτων ὁ θεός· ἀλλ' ἰατρικῶς καὶ
κηδεμονικῶς καὶ σωτηρικῶς· καὶ ἐπιμελεῖται ὠφελεῖ
καὶ ἀρκεῖ φάναι κατὰ τὴν θείαν ἀγαθότητα· πολὺ
δ' ἄνω διαφέρει ἡ τοῦ θεοῦ ἰατρική· τοῖς μὲν νόσοις
ἢ πενίαις ἢ ἀτιμίαις· τοὺς δὲ λιμοῖς ἢ σεισμοῖς
ἢ ἐπικλύσεσιν ἢ μανίαις ἢ πολέμοις· ἢ ἄλλαις
κολάσεσιν ἰατρεύουσα· οὐ κακὰ οὖν ἀλλ' ἀγαθὰ
ταῦτα εἴπερ τὸ ἰατρεύεσθαι ἀγαθόν· εἰ δέ τις ταῦτα
μὴ ἀξιοῖ καλεῖν ἀγαθά· διὰ τὸ μὴ εἶναι προηγουμένως
αἱρετά· οἷα ἐστὶ τὰ κυρίως ἀγαθὰ εἶναι· μὴ κακὰ
δὲ θεὸς αὐτὰ καλείτω· ἀλλ' ἀναγκαῖα πρὸς τὴν τοῦ
ὄντος ἀγαθοῦ κτῆσιν· πρὸς ἣν ὁδηγεῖ ἀνάγκης τούτων δεό-
μενοι, αἱρούμεθα αὐτὰ δι' ἀνάγκην· τὸ μὲν
καὶ σφᾶς ἰατρείας καὶ τὰ τοιαῦτα οὐδεὶς αἱρεῖται
προηγουμένως· ἀλλὰ τῆς ὑγείας ἐφιέμενοι αἱ-
ρούμεθα αὐτά· τῆς ἀναγκαίας διὰ τούτων τυχεῖν· καὶ
καλῶς ἀναγκαῖα ταῦτα κεκλήκασιν οἱ σοφοί· εἴπερ
ἄνευ ἀνάγκης πάντως προληφθῆναι ἂν μέλλοι τὸ ἀγαθὸν
δ' ἀποσφαίνεσθαι· ἀγαθὰ μὲν ὄντα καὶ αὐτά· εἴπερ
πρὸς ἀγαθὸν συντείνουσι· τὰ μὲν πρὸς σωματικὴν ὑγείαν,
τὰ δὲ, πρὸς ψυχικήν· οὐ μὴν αὐτὰ τῶν προη-
γουμένως ἀγαθῶν· πρὸς ἃ παραβάλλοντες
αὐτὰ οἱ πολλοὶ κακὰ νομίζουσι· κακῶς οἶμαι περὶ
τούτων φρονοῦντες· εἴπερ ἀναγκαῖα τοῦ ἀγαθοῦ
διὰ τούτων τυγχάνει· εἰ τοίνυν καὶ τὰ ὑπὸ θεοῦ
ἀπορρέοντος

προστεθέντα λέλυται. καὶ ὅτι πάντα τὰ γινόμενα
καὶ κατ' ἀξίαν γίνεται· τὰ μὲν τῆς φύσεως, τὰ δὲ
προαιρέσεως· καὶ ἐπ' ὠφελείᾳ γίνεται ὑπὸ τοῦ
θεοῦ δῆλον· ὅτι πᾶσι δὲ εὐφρονοῦν καὶ θέλοι ἂν
γίνεσθαι τὰ γινόμενα· ὥσπερ μὴ φθονοῦσι τοῖς
δικαιουμένοις τε καὶ ἰατρευομένοις· καὶ τὸν
τοιοῦτον ἰατρὸν σέβει καὶ τιμᾷ καὶ φιλοφρονεῖται·
καὶ ὥσπερ τὸ ὁρίζεται· ἀλλ' ὅτι μὲν τὰ συμβαίνοντα
ταῦτα διαχαρῆ τοῖς ἄλλοις ἰατρεῖαι τιμαί εἰσι· καὶ
ὅτι τὸ ἰατρεύεσθαι τοῖς δεομένοις καὶ ψυχὴν καὶ
σῶμα ἀγαθόν ἐστι, συγχωρήσειεν ἄν τις ὡς οἶμαι.
αὐτὸ δὲ τοῦτο τὸ νοσεῖν καὶ κατὰ ψυχὴν καὶ κατὰ
σῶμα καὶ δεῖσθαι τοιαύτης ἰατρείας ἐπὶ πόνους
καὶ ὀδυνηρᾶς, τοῦτο τίς ἂν ἀγαθὸν καὶ οὐχὶ κακόν.
καὶ τὸν αἴτιον αὐτοῦ κακοῦ νομίζοι αἴτιον ἢ πάλιν
ταὐτὰ λέγειν ἀνάγκη· ὅτι ἡ μὲν τοῦ σώματος
νόσος ὅταν αὐτῷ τῷ σώματι κακὸν ἐστιν· ὥσπερ
καὶ φύσιν ἔχοι ταύτην· καὶ πρὸς διάλυσιν ὁρᾷ
τοῦ συνθέτου· καὶ ἀπόδοσιν τῶν ἁπλῶν εἰς τὰ
οἰκεῖα ὅλα· καὶ ἀπαλλαγὴν αὐτῶν καὶ ἐλευθερίαν
τῆς τε ἐν ἀλλοτρίῳ τόπῳ διαγωγῆς· καὶ τῆς πρὸς
τὰ ἀντικείμενα μάχης· ἀλλ' οὔτε τῇ ψυχῇ κακόν
ἐστιν ἡ τοῦ σώματος νόσος· ὥσπερ ἰατρεία οὖσα
τῆς ψυχῆς δέδεικται· καὶ φαίνεται πολλαχοῦ
συνεργὸς αὐτῇ. κἂν ἐπὶ βλάβης δὲ τῷ μερικῷ
σώματι ἡ νόσος ᾖ καὶ ἡ φθορὰ αὐτοῦ, ὠφέλιμος
δὲ οὖσα ἐφαίνετο τῇ τε τοῦ χρωμένου ψυχῇ
καὶ τῇ τοῦ παντὸς συστάσει· καὶ ἂν τι σωμάτων
συναυτῶν στοιχείων· καὶ τῇ ἀπείρῳ τῆς γενέσεως
κύκλῳ διὰ τοῦτο ἐπ' ἄπειρον προϊόντα, διὰ

τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν γίνεσθαι; καταφρο-
νητέον ἂν ὁ ἀΐδιος διοικητὴς τοῦ φθαρτοῦ τὴν
φύσιν καὶ μεγίστης καὶ χρόνου φθορᾶς διὰ τὸ κρα-
τεῖν τὸ ὅλον· καὶ τὸ συνεκτικὸν τῆς γενέσεως· ἀλλ'
ἡ τῆς ψυχῆς γένεσις φαῦλός τις ἄν. οὔτε αὐτῆς ἀγαθὸν
ἐστὶ τῆς νοσούσης ψυχῆς. οὔτε πρὸς τὸ ὅλον τι λυ-
σιτελές· ὥστε αἴτιον αὐτῆς κακοῦ τινος αἴτιον ἄν.
καὶ ὁ θέλων κακῶς ἔχειν αὐτὴν καὶ νοσεῖν, κακὸς ἂν εἴη.
καὶ ἡ ἀπορία ἡ αὐτὴ δόξει μένειν· τί οὖν τὸ αἴτιον
τῆς νόσου καὶ κακίας τῇ ψυχῇ· ἐκ τῶν προειρημένων
περὶ τοῦ ἐφ' ἡμῖν, καὶ τοῦ οὐκ ἐφ' ἡμῖν ῥηθέντων
ἀναμνησθῶμεν· ὅτι τὸ μὲν ἀγαθὸν τῆς ψυχῆς, ἐν
τῷ κατὰ φύσιν ὀρέγεσθαι καὶ ἐκκλίνειν ἐστί· τὸ
δὲ κακόν, ἐν τῷ παρὰ φύσιν· αἱ δὲ ὀρέξεις καὶ αἱ
ἐκκλίσεις δέδεικται ὡς οἶμαι ἐφ' ἡμῖν οὖσαι· ὥστε
ἡμεῖς ἑαυτοῖς αἴτιοι· καὶ τῆς ἀρετῆς ἐσμὲν καὶ
τῆς κακίας· διὸ καὶ ἐπαινοῦνται οἱ σπουδαῖοι,
ὡς τὸ ἀγαθὸν δι' οἰκείας αἱρέσεως ἔχοντες· ὅπερ
διὰ τοῦτο ἀρετὴ καλεῖται· καὶ οἱ μοχθηροὶ μεμ-
πτοί εἰσιν· ὡς κύριοι μὲν ὄντες τοῦ μὴ τοιοῦτοι εἶναι·
διὰ δὲ ῥᾳθυμίας γινόμενοι μοχθηροί· ὡς ἀγαθοῦ ἐξὸν
ἐν ἑτέρῳ θέσθαι ταῦτα· οὐκέτι προαίρεσις ἀγαθὴ ἢ ἡ
κακή· ἀλλὰ τύχη τις καὶ ἀνάγκη· θεὸς οὖν καὶ ἐνταῦθα
κακίας ἀναίτιος· μή ποτε δὲ οὐδὲ ἡ τῆς ψυχῆς νόσος
καὶ κακία ἁπλῶς μὲν ἢ ὅλως κακόν ἐστιν· ἀλλ' ἔχει τι
καὶ αὐτὴ ἀναγκαῖον, πρὸς τὴν τῆς ἀγίνης ἀρετῆς
συστασίαν· ὡς γὰρ ἡ ὑγεία τῶν ἐνταῦθα σωμάτων,
ἐκεῖ δὲ ἣν αὐτὴ ὑγιαίνει μὲν καὶ μᾶλλον νοσεῖν ἐπέφυ-
κε ταῦτα τὰ σώματα· ἀλλ' ἡ μὲν ἂν ἄκρατός τις δια-
θεσις ἂν ἀντίθετος οὖσα πρὸς νόσον οἷα τις ἦν τῶν
ὅσων ἐστίν.

οὕτω καὶ αὐτῶν τῶν ἀτίμων ψυχῶν ἀρεταί, σωφροσύνη
τε δικαιοσύνη καὶ φρόνησις· καὶ ὁ ἄλλος ἁπάσης
αὐτῶν χορὸς οὗτος, οὐκ ἂν ἦν ἀρετὴν καὶ κακίαν ἔσθαι
ἐπεφύκεσαν αἱ ψυχαί· ἀλλ' ἐχρῆν δ' ἂν ἀρετὰς τιμίας
ἀγγελικὰς ἢ θείας· οὐ μέντοι γε ἀτίμας· αὗται γὰρ τοιαύτης
φύσεώς εἰσιν, ὡς καὶ εἰς κακίαν παρατρέπεσθαι· ἡ
τοίνυν ἀγαθοῦ ἐστιν αἵ τε ἄλλαι ἀρεταὶ καὶ ἡ σωματικὴ
ὕλη· καὶ ἔδει μὴ τὰ πρῶτα μόνον ἢ ἀκήρατα ἀγαθὰ
εἶναι ἀπὸ τῆς τοῦ ἀγαθοῦ πηγῆς ὑποστῆναι· ἀλλὰ
καὶ τὰ μέσα καὶ τὰ ἔσχατα· ἀναγκαῖον ἦν τῶν παρα-
τρεπομένων ἀγαθῶν καὶ τὰς παρατροπὰς [illegible] ὑπο-
στῆναι· οὐδὲ γὰρ ἔχουσι προηγουμένην ὑπόστασιν·
ἀλλὰ παρυπόστασιν τοῖς οὖσι· καὶ ὅρα τὴν ὑπερβολὴν
τῆς θείας ἀγαθότητος· ὅτι τὴν μὲν τοῦ σώματος
φθορὰν κἂν σκιᾶς ἀϊδίου ὡς εἶπον τῇ κινήσει τῶν
αἰτίων ἐξ ἀνάγκης συμπεριπεπλέχθαι· ἀλλὰ ταῦτα
εἶναι ἐποίησε καὶ τοῖς νοσοῦσιν αὐτοῖς καὶ φθειρομένοις
σώμασι· κατὰ τὴν εἰς τὰ ὅλα στοιχεῖα ἀνάπλωσιν· καὶ τὸν
ἐκ[illegible]· καὶ ταῖς ἐρρωμέναις ψυχαῖς δι' αὐτοῦ
ἰατρευομέναις· καὶ τῷ ὅλῳ γένει· πρὸς τὴν ἀπέραντον
ὡς ῥηθῆναι ἁρμονίαν· τῆς δὲ ψυχικῆς κακίας τῆς μοχ-
θηρᾶς ὁπόσον κακίας ἑαυτὸν ἐξῆς· πρῶτον
μὲν ὡς ἀναγκαῖον αὐτὸ πρὸς τὸ ἀγαθὸν καὶ οὐχ ὡς κακὸν
συγχωρηθὲν τοῖς οὖσι παρυποστῆναι· ἔπειτα καὶ
αὐτὸ τοῦτο τῇ βουλήσει πάντως κελεύσας ἐπιπολάζειν
τῆς ψυχῆς· καὶ μηδέποτε εἰς τὰ ὄντα παρελθεῖν
εἰ μὴ ἐὰν μὴ θέλοι· διὸ τὰ ἀκούσια ὡς οὐκ ὄντα
κακὰ καὶ ὑπὸ θεοῦ συγγινώσκεται καὶ ὑπὸ τῶν νόμων·
καὶ ἔστι καὶ τῇ ψυχῇ ἀκούσιον οὐ ποιεῖ τὸ κακόν· οὐδὲ
γὰρ ὡς κακὸν αἱρεῖταί ποτε τὸ κακὸν ἡ ψυχή· ἀλλ'

ὡς ἀγαθόν τι νοῶν ὀρεγομένη· ποτὲ μὲν χρημάτων,
ποτὲ δὲ σωματικῆς ἀπολαύσεως ἢ δυναστείας, ἢ
τιμῆς· τὸ συμφέρον τούτοις βλαβερόν· ἢ οὐχ ἑτέρα ὁλ
ἢ καταμαστίζεσθαι ὑπὸ τῆς τῶν ρωμένων βια- :·
ζομένη ὀρέξεως· οὕτω πανταχόθεν ἐκβέβληται
τὸ τελέως κακὸν ἀπὸ τῶν ὄντων· καὶ μᾶλλον ἂν
εἴη τὸ μηδαμῶς ὄν· ἤπερ τὸ τελέως καὶ αὐτεξουσίως
τῆς ἀνθρωπίνης ψυχῆς παρυφιστάμενον· εἰ δέ τις αἴτιον νομί- ζδ —
ζοι τοῦ κακοῦ τὸν θεόν· ὡς τὴν αὐτεξούσιον ψυχὴν ὑπο-
στήσαντα· ἧς αὐτοπροαιρέτως τὸ κακόν ἐστιν· εἰ μὲν κακὸν εἴη
ἡ αὐτοκίνητος καὶ αὐτεξούσιος τῶν ψυχῶν οὐσία κα- ἂν δ
λέγειν αἴτιον ἂν φαίη τὸν ταύτην ὑποστήσαντα· εἰ δὲ ἀ-
γαθόν ἐστι καὶ πολλῷ τῶν ἐν τῷ κόσμῳ ἀγαθῶν μεῖζον
καὶ τιμιώτερον· πῶς ἂν εἴη κακοῦ αἴτιος ὁ τὸ ἀγαθὸν
ὑποστήσας· ἐπεὶ δ' οὖν ἐστι τὸ κατὰ φύσιν αἱρετὸν τα —
καὶ ἐφετόν, τίς ἂν ἕλοιτο ἀνθρώπων, καὶ τῶν τῆς ἀνθρωπίνης
ἀρετῆς συνῃσθημένων φυτὸν εἶναι μᾶλλον· ἢ ὅτι δή
τῶν ἀλόγων ζώων ἤπερ ἄνθρωπος· καίτοι καὶ τὰ φυτὰ
καὶ τὰ ἄλογα ἀγαθὰ λέγομεν ἐν τάξει τινὶ τοῦ ἀγαθοῦ,
καὶ τῇ πρὸς ἄλληλα ὑφέσει πάντων ἀφωρισμένων·
εἰ δὲ καὶ ἐφ' ἡμῖν ἐστι τὸ ἀγαθοῖς ἢ κακοῖς εἶναι· καὶ
τούτου τὴν ἐξουσίαν ἡμᾶς ἔχομεν· καὶ ἡμᾶς
οὔτε ἀναγκάσαι οὔτε κωλῦσαι δύναται τὴν αἱρε- ἡ
σιν ἢ ἔκκλισιν· ἡ μὲν οὐσία αὐτὴ καὶ ἡ δύναμις
ἡ αὐτεξούσιος· σεμνή τις ἐστὶν ἐμοὶ δοκεῖ καὶ μεγα-
λοπρεπὴς· καὶ ἀρχική· καὶ ὁ ταύτην ὑποστήσας
ἀγαθός τις καὶ δυνατός· εἰ δὲ αὐτὴ ποτὲ δι' ἑαυτὴν
παραφέροιτο, ἢ εἰ ἀνοῦσα τοῦ μὴ παρενεχθῆναι·
τίς ἂν ἄλλος τῆς παραφορᾶς αἴτιος λέγοιτο δίκαιος ν
ἢ αὐτὴ ἡ ψυχή· ἀρχή τις οὖσα καὶ αἰτία τοῦτε αὐτῆς. θο

καὶ τοῦ παρ' ἀξίαν ἐπὶ αὐτῶν. καὶ ἀντὶ αὐτῆς ἔχει τὴν ἀρχὴν
τὴν παραίτιον. τὸ γὰρ ὑποστῆσαν αὐτὸ αἴτιον
οὐχ ἁπλῶς παραιτεῖται μὲν ὑποστάσεως. ἀλλ'
ἐὰν αὐτὴ θέλῃ ἀπαραίτητος ἐπιτρεπομένου. ἡ δὲ
ἡ θέλησις αὐτῆς ἐστὶ τῆς ψυχῆς ἔνδοθεν ἐστὶ
κίνησις. αὐτὴ δὲ ἂν εἴη αἰτία ἑαυτῇ τῆς παραιτέσεως.
ὅρα τὴν τοῦ θεοῦ μηχανήν. ἐπειδὴ γὰρ ἔδει μεταξὺ
τῶν ἀεὶ ὄντων ἄνω καὶ τῶν ἀεὶ ὄντων κάτω
γενέσθαι τὰ μέσα, τὰ ποτὲ μὲν τοῖς ἄνω, ποτὲ δὲ
τοῖς κάτω ὁμοιούμενα. καὶ συνδέοντα τὰ ἄκρα
πρὸς τὴν τοῦ παντὸς τελειότητα. εἰ δὲ πρὸς τὰ κάτω
ῥέποντα, παρυφίστανται μὲν ἔχει παραιτεῖσθαι μὲν
δύναμιν ἔδωκε τοῖς μέσοις τούτοις ὥστε
ἀπαραίτητα μένειν ἕως ἂν βούλοιντο. ἵνα πάντα-
χόθεν αὐτὸς ᾖ τῆς ὁποιασοῦν κακίας ἀναί-
τιος. ἀλλὰ ταῦτα μὲν ἐπὶ πλέον μηκυνθέν. οὐ
πρὸς τὸν τοῦ Ἐπικτήτου ῥηθέντα λόγον ἁρμόζει.
ἀλλὰ καὶ πρὸς τὸν περὶ τῆς τοῦ κακοῦ ὑποστάσεως,
ὃν μετ' ὀλίγον διδάσκει. ἐπεὶ πρός γε τὸ παρὸν
ἀρκεῖ καὶ τοῦτο εἰ μαθηθέν. ὅτι ὅταν λέγῃ ὁ Ἐπί-
κτητος θέλε γίνεσθαι τὰ γινόμενα ὡς γίνεται,
οὐ περὶ τῆς ψυχικῆς λέγει κακίας. οὐ γὰρ ἂν εὑροῦσιν
ἐλέγετο τοῖς τῇ κακίᾳ τῇ ἑαυτῶν καὶ τῇ τῶν ἄλλων
ἀρεσκομένοις. ἀλλὰ περὶ τῶν τε σωμάτων καὶ τῶν
ἐκτὸς συμβαινόντων. οἷς δύναται ὁ πεπαιδευ-
μένος ὁποίοις ἂν τούτων ᾖ καλῶς χρήσασθαι. κἂν ὅτι
ἂν ἢ σκληρότερον τοσοῦτον μᾶλλον ὑπ' αὐτῶν ὠφεληθῆναι.
καὶ γὰρ ἐκεῖνα ἐστὶ τὰ γινόμενα. ἅπερ
ὁ ἀπαίδευτος ζητεῖ τοῦ μὲν ἀκολουθεῖν, ταῖς ἰδίαις
ὀρέξεσί τε καὶ ἐκκλίσεσιν. ἀλλ' οὐχὶ αἱ ὀρέξεις αὐταί

καὶ ἐκκλίσεις.

ἐν συγγενέσι καὶ φίλοις· καὶ πᾶσι τοῖς πολίταις ἐπεί
τις παραπέσοι πρᾶξις ἢ ἄλλη τις αὐτοῦ δεομένη ἢ
συνεργίας· πολλαὶ δὲ καὶ κατὰ τὰς τοιαύτας ἀν-
ευρίσκονται πολιτείας· ἢ συμβουλῆς δεόμεναι
τινος καὶ συνεργίας πίστεως, ἢ συμπαθείας καὶ
παραμυθίας· ἢ μάχεται τοῦ συγκινδυνεῦσαι ὅτι
καὶ τοῦτο ποιεῖ τὸ καθῆκον ὑπαγορεύει· κἂν μὲν κατ-
ορθῶν αὐτῷ προχωρεῖ τὰ πράγματα, τῷ θεῷ χάριν
ὁμολογεῖν· ὡς ἐν τρικυμίαις γαληνιῶντα· εἰ δὲ διὰ
τὸν ἀκήρυκτον πόλεμον· τοῦ κατὰ φύσιν βίου
πρὸς τὸν παρὰ φύσιν κατὰ τῶν μαθόντων πρὸς
τοῦτο νήφοντας· καὶ διαφέρει πρός τι πταίειν τινά· οἱ μὲν
ἀποδειλιῶντες καὶ τὴν ἔνστασιν διαλύοντες· ἀ-
ξίους ἑαυτοὺς τῆς μοχθηρᾶς πολιτείας ἀποδεικνύ-
ουσι· καὶ μάτην αὐτὴν ὑπερορῶντες ἐλέγχονται·
οἱ δὲ ὡς γυμνασίοις χρώμενοι· καὶ τοῖς σκληροτέροις
συγγυμνάσμασι πρὸς θυμότερον συμπλεκόμενοι·
ὡς καὶ τῷ γυμνασιάρχῃ χαίρειν παρὰ τοῦ ὁμολογεῖν;
οὗτοι ὡς ἐν ὀλυμπιακοῖς στεφανωθήσονται· οὐ θαλλῷ
κοτίνου ἀλλ' εὐζωΐας καὶ ἀληθείας πληρώματι· καλὸν δὲ
καὶ ἐν ταῖς τοιαύταις πολιτείαις ἀνάγκης πολλοὶ φθονοῦ-
σι κατὰ φύσιν βουλομένῳ ζῆν μέτριον παρέχειν
ἑαυτόν· καὶ τὸ ἔλαττον ἀντὶ μὲν μεγίστου καὶ ἐν τοῖς
ἄλλοις δὲ τοῖς ἐκτὸς ἀγαθοῖς· ὅπως ἂν ὁ φθόνος
κατὰ τὸ δυνατὸν μετριάζηται· καὶ τοῦ ἐκείνου
ὅτι καὶ μετριοφροσύνη πολλάκις φθόνον δριμὺν
ἀπεώσατο· καιρὸν δὲ καὶ τὰ πρὸς τοὺς δυνάστας
προσκρούσματα καὶ τὰς ἀπροκαλύπτους παρρησίας
ἐν τοῖς τοιούτοις καιροῖς φυλάττεσθαι πόρρωθεν·
ἵνα κἂν συμβαίνῃ τι διάφορον· μὴ τὴν αἰτίαν ὁ ἐπι-
ζητῶν ἔχῃ.

BIBLIOTHEQUE MAZARINE

ὡς ἠρεμοῦντα θηρία περιερίσας· ἀλλ' αὐτῶν τῶν θηρίων τὸ μανιῶδές τε καὶ ἀλόγιστον· δῆλον δὲ ὅτι παρ' αὐτὰ ἔχει· μήτε τὸ ταπεινούμενον· μήτε τὴν ἐλευθερίαν ἑαυτοῦ προδιδόντα· μήτε τὸ τοῖς κόλαξιν ἑαυτὸν ὑποτάττοντα· μήτε τὸ ἐν λόγῳ τιμῇ· μήτε τὸ ἐν ἔργῳ. ὅλως γὰρ ὅτι οὖν τούτων πάθῃ, ἀπόλεσε τὴν ἐν πᾶσιν ἐν τῷ ὀλυμπίῳ ὃ ἐξεκηρύχθη· ἰστέον μέντοι ὅτι αἱ μοχθηρότεραι πολιτεῖαι, τὸ μὲν ὅλον βλαβεραὶ τῶν ψυχῶν εἰσι· καὶ μάλιστα τὴν θείαν ἔλλαμψιν δὴ ἀπέλλουσαι· καὶ ἀτιμάζουσαι τὰς καλλίονας ἐπιτηδεύσεις· καὶ τὰ τῆς εὐζωΐας παραδείγματα ἀφανίζουσαι· διὸ καὶ πρὸς ἀρχὴν ὅλως εὐδαιμονίας ταῖς ψυχαῖς ἐμποδίζουσι· καὶ πρὸς τὸ [illegible] ἐν αὐταῖς τὴν εὐδαιμονίαν λαβεῖν· εἰ μέντοι τις ἐν τοιαύτῃ πολιτείᾳ εὑρεθῇ, φησὶ θείᾳ μοίρᾳ γε ἐρρωμένη· ἡ δὲ αὐτὴ σκληρότερον αὐτῇ γυμναζομένη, στερεωτέρα πρὸς ἀρετὴν ἀποδείκνυται· ἀληθὲς οὖν ὅτι πᾶσα τύχη καὶ πᾶσα περίστασις χαλεπωτέρα αἴτια ἢ τραχυτέρα, εἰς ὠφέλειαν συντελεῖ· τὸ ἐν πᾶσιν ἀγαθὸν διὰ τῆς ἔμφρονος ἐκλογῆς πορίζομένῳ:

Ἐὰν προτιμηθῇ τίς σου ἐν ἑστιάσει ἢ ἐν προσαγορεύσει:

λβ. Καὶ οὗτος ὁ λόγος μέρος τοῦ προτέρου δοκεῖ· περὶ τὰς λοιπὰς ἐν πάσαις ὑπ' αὐτῶν· τὰς ὑπὸ τῆς αὐτοῦ δόξης προσαγομένας· ὁ γὰρ πρὸς ἑαυτὸν ἀποστρέφων καὶ τὰ ἐκτὸς ἄλλοις καταλιμπάνων. ἐκ τῆς τῶν πλουσίων καὶ δυναστευόντων θεραπείας καταφρονῶν, ἐν δέ τι μὴ δόξας διδάσκει· προτιμωμένων αὐτοῦ πολλῶν· ἐν ἑστιάσεσι καὶ προσαγορεύσεσι καὶ τῷ εἰς συμβουλὴν μᾶλλον ἐπάγ-

παραλαμβάνεσθαι.

ς δυνατοῦ μὲν ἦν καὶ ἐνταῦθα ὑπολιπεῖν δ' ἀπὸ τοῦ ἐφ'
ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν διαλύειν τὴν ἔνστασιν· ἐφ'
τὰ μὲν ἀγαθὰ ἡμῶν ἐφ' ἡμῖν ἐστι· ταῦτα δὲ τῶν ἐφ'
ἡμῖν οὐκ ἔστιν· οὐκοῦν ἂν εἴη ταῦτα ἡμέτερα ἀγαθά· ὅθεν,
τοῦτον μὲν τὸν τρόπον ἀφῆκε τῆς λύσεως· καὶ ὡς κοιν
ῶς εἰρηθέντα· ἄλλως δὲ ἰδίᾳ μᾶλλον τοῦ προ
κειμένου χρῆται· καὶ ἄλλην ὠφέλειαν μείζονα ἀπὸ τῶν
τοιούτων τοῖς καλῶς χρωμένοις παραδείκνυσι· λέγει δὲ
ὅτι ταῦτα ἐν οἷς ἄλλοι προτιμῶνται τῶν τὸν καλλί
ονα βίον αἱρουμένων· ἢ ἀγαθὰ πάντως ἐστὶν ἢ κακά·
προσκείσθω δὲ τοῦ τελείου τῆς διαιρέσεως ἕνεκα
ἢ ἀδιάφορος· πολλὰ γάρ ἐστι καὶ τοιαῦτα· ἀλλ' εἰ μὲν
ἀδιάφορος οὐδὲν μᾶλλον τίμια ἢ ἄτιμά ἐστι· διὸ
καταφρονητέον τούτου τοῦ τμήματος τῆς διαιρέσεως·
ἢ οὖν ἀγαθὰ ἢ κακά ἐστιν· εἰ μὲν οὖν ἀγαθά, χαίρειν σε
λέγε φησὶν ὅτι ἐτύχομεν αὐτῶν ἑκόντες· τουτέστι τῇ ἐν σπ
δυνάμει χρῆσθαι· τῇ πάσῃ τὰ ἀγαθὰ βουλομένῃ
συγχαίρουσιν τοῖς κατέχουσιν αὐτῶν· καὶ ὅρα τὴν
λεῖον ἀγαθὸν ἐν τῇ δοκούσῃ ταύτῃ ἀτιμίᾳ κρυπτό
μενον ἐξεφήναμεν· ἡ γὰρ πρὸς θεὸν ὁμοίωσις κυρίως
αὕτη ἐστίν· ἧς οὐδὲν ἀγαθὸν μεῖζον τοῖς μετ' αὐτὸν ἐστί·
ὁ γὰρ θεὸς δύναμιν ἔχει τὴν ἰσχυροτάτην· πάσης δυνά
μεως αἴτιος ὑπάρχων· καὶ βούλησιν τὴν ἀγαθωτάτην·
ἀγαθὰ μὲν πάντα· φλαῦρον δὲ μηδὲν εἶναι βουληθεὶς
ἐφ' ὅσον δυνατόν ἐστι· παρισουμένης δὲ τῇ βου
λήσει τῆς δυνάμεως αὐτοῦ πάντα ἀγαθύνει· καθ' ὅσον
ἕκαστον μετασχεῖν δυνατόν ἐστι τῆς αὐτοῦ ἀγαθότητος·
ἡ δὲ ἀνθρωπίνη ψυχή· δύναμιν μὲν ἔχει τὴν ἀκροτάτην
ἀδύνατον· πολλῶν καὶ ἄλλων τῶν μετὰ θεὸν τὸ
τε μὲν τῇ δυνάμει λειπομένη· βούλησιν δὲ ἔχ

ἀπὸ θεοῦ αὐτεξουσίου· πέφυκε μὲν πᾶσι τἀγαθὰ
βούλεσθαι, ὅτε αὐτὸ τοῦτο προαιρεθῇ· εἰκότως
οὖν κατὰ τοῦτο μάλιστα πρὸς θεὸν ὁμοιοῦται· καθ'
ὅσον κατὰ ταύτην τὴν βούλησιν ἐνεργεῖ· κἂν μὴ
βούληται δὲ πάντα ἀγαθύνειν ὥσπερ ὁ θεός· ἀλλ' ὁ θεὸς
δύναται ἀγαθύνουσα, τὸ γοῦν ἀφ' ἑαυτοῦ πάντα ἀ-
γαθύνειν, καὶ ὅσα βούλεται· τοῦτο γὰρ ἡ βούλησις,
ὄντως ἐστὶ βούλησις καὶ τελεία βούλησις, ὅταν ἡ
δύναμις αὐτῇ παρῇ τοῦ βουλομένου συνεργεῖν.
ὧν γὰρ ἐφ' ἡμῖν ἐσμὲν κύριοι· καὶ τὸ μὲν βούλεσθαι
πᾶσι τἀγαθὰ ἐφ' ἡμῖν ἐστί· καὶ βούλεται ὁ ἀγαθὸς ἄνθρωπος,
πάντας ἀνθρώπους εὖ ποιεῖν· καὶ οὐ τοῦτο μόνον. ἀλλὰ
καὶ τὰ ἄλογα ζῷα καὶ φυτά· καὶ μάχεται τῷ ἀντιτυχόντι πρὸ-
ς τὴν βούλησιν· οὐ μὴν τοσοῦτον δύναται, ὅσα βούλεται.
διότι ἡ μὲν βούλησις, ἐφ' ἡμῖν ἐστίν· ἡ δὲ δύναμις
αὐτῆς οὐκ ἐφ' ἡμῖν. ἀλλὰ καὶ ἄλλων πολλῶν αἰτίων
δεομένη καὶ κρειττόνων ἡμῶν· καὶ διὰ τοῦτο ἐν τῇ
βουλήσει τὸ ἀγαθὸν ἔχομεν, ὅτι αὕτη ἐφ' ἡμῖν ἐστί.
τοῦτο μὲν οὖν τοιοῦτον. ἡ δὲ κατάφησις ἔτι ταῦτα
περὶ ὧν ὁ λόγος μὴ δυσχεραίνειν· ἀλλὰ καὶ χαίρειν
ὅτι σὺ μὴ ἔτυχες αὐτῶν· οὕτως ὁ ἀγαθὸς ἄνθρωπος, οὐκ
ἀτιμίαν νομίσας τὸ μὴ τυγχάνειν τούτων· ἀλλὰ
κἂν ἀγαθὰ ἢ ἐπὶ τῷ ἄλλον τυχεῖν· κἂν κακά, ἐπὶ
τῷ αὐτὸς μὴ τυχεῖν εὐφρανθήσεται· ὅτι μὲν οὖν
ἀπὸ τοῦ συμφέροντος τὴν δυσχέρανσιν τὴν ἀπὸ
τοῦ μὴ τυγχάνειν τῶν εἰρημένων τούτων διέχει·
εἴτε γὰρ ἀγαθὰ ταῦτα μεῖζον ἀγαθὸν ἐκ τοῦ μὴ τυχεῖν
ὑπεδέξατο τῷ βουλομένῳ τὴν πρὸς θεὸν ὁμοιότητα.
εἴτε κακὰ τὸ μὴ τυχεῖν ἀγαθόν ἐστιν· ἔσται ἀπὸ τοῦ
δυνατοῦ καὶ ἐφεξῆς, ἀπὸ τοῦ δικαίου ποιεῖ τὴν μετὰ

χαρὰν

ἀπὸ μὲν τοῦ δυνατοῦ· ὅτι ἀδύνατόν ἐστι τὸν μὴ θερα-
πεύοντα τὸν ἑστιάτορα τῶν αὐτῶν παρ' αὐτοῦ τυγχάνειν
ὧν οἱ θεραπεύοντες τυγχάνουσι· θεραπεία δὲ τούτων ἐστὶ
τὸ φοιτᾶν ἐπὶ θύρας· τὸ παραπέμπειν ἐν ἀγορᾷ·
τὸ ἐπαινεῖν τὰ ὑπ' αὐτοῦ λεγόμενα καὶ γινόμενα
ὁποῖα ἄν ποτε ᾖ· σὺ οὖν μὴ ποιοῦντα ταῦτα ἐπεὶ
βούλει φιλοσοφεῖν, ἀδύνατον τυγχάνειν τῶν αὐτ-
ῶν οἷς οἱ ποιοῦντες τυγχάνουσιν· ἀλλὰ καὶ ἄδικόν ἐστι
καὶ ἄπληστον τὸ μὴ διδόντα ἐκείνῳ ὧν ἐκεῖνος πωλεῖ
τὸ δεῖπνον ἐθέλειν λαμβάνειν αὐτό· ἄδικον μὲν
γὰρ τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ἄπληστον δὲ τὸ
μὴ τὸ δεῖπνον ἐθέλειν λαβεῖν· καὶ τὸ ὅσου πιπράσκε-
ται μὴ δοῦναι· ἔστι ὅτι οὐδὲ ἔλαττον ἔξεστι τοῦ δει-
πνοῦντος αὐτὸς μὴ δειπνῶν· δείκνυσιν ἐν ὀργαῖς
ἀπὸ τοῦ κατὰ τὰς θεσιακὰς παραδείγματα· ἔ-
χοντος γὰρ ἐκείνου τὸ δεῖπνον· ἔχεις σύ φησι τοῦ
δείπνου τιμιώτερον τὴν σαυτοῦ ἐλευθερίαν· τὸ μὴ
ἐπαινεῖν ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνέχεσθαι αὐτοῦ τῶν
ἐπὶ τῆς εἰσόδου· εἰ δὲ ταῦτα βούλει καὶ τὸ δεῖπνον
ἔχειν· καὶ ἄδικος εἶ καὶ ἄπληστος· καὶ τοιοῦτος ὢν
ἀβέλτερος· ὅτι οὐχ ἕξεις τί ἂν συγκρινόμενος βελτί-
ων φανείης: • τὸ βούλημα τῆς φύσεως κατὰ
μάθησιν ἐστὶν ἐξ ὧν διαφερόμεθα:

Αἱ κοιναὶ τῶν ἀγαθῶν περὶ τῆς τῶν πραγμάτων φύσε- λϛ.
ως ἔννοιαι· καθ' ἃς οὐ διαφερόμεθα· ἀλλ' ὁμοδοξοῦμεν
ἀλλήλοις οἱ ἀγαθοί· οἷον ὅτι τὸ ἀγαθὸν ὠφέλιμόν ἐστι·
καὶ τὸ ὠφέλιμον ἀγαθόν· καὶ ὅτι τοῦ ἀγαθοῦ πάντα
ἐφίεται· καὶ ὅτι τὸ ἴσον οὔτε ὑπερέχει, οὔτε
ὑπερέχεται· καὶ ὅτι τὰ δὶς δύο, τέσσαρά ἐστιν· αὗται
οὖν αἱ ἔννοιαι· καὶ ὅσαι τοιαῦται κατὰ λόγον ὀρθόν

πᾶσαι ἐν ἡμῖν· καὶ πολλῶν βασανισθεῖσαι.
ἀληθεῖς εἰσι καὶ τῇ φύσει τῶν πραγμάτων ἐφαρ-
μόττουσαι· αἱ δὲ ἴδιαι ἑκάστου ἔννοιαι καὶ δια-
μαρτάνουσι πολλάκις· αἱ μὲν γὰρ ἐξ αἰσθήσεως
λαμβανόμεναι ἀπατῶμεναι· ὥστε τὸ τὴν σελήνην
ἴσην εἶναι τῷ μεγέθει τοῦ ἡλίου· ἢ ἀπὸ ὀρέξεως
ἀλόγου· ὡς ἡ λέγουσα πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι· ἢ ἀπὸ
λόγου ἀβασανίστου· ὡς ἡ λέγουσα δύο ἀρχὰς εἶναι
τῶν πάντων· καὶ τὴν ψυχὴν σῶμα νομίζουσα.
αὐταῖς οὖν καὶ αὐτοὶ αὐταῖς καθ' αὑτὰς διαφερόμεθα· οὐ
πάντως εἰσὶν ἀληθεῖς· ἀλλ' ἐνίοτε αἱ αὐταὶ ἐναν-
τίαι· καὶ οὐκ ἀσφαλὲς ἀπὸ τούτων ἡμῖν τὴν φύσιν
τῶν πραγμάτων καταμανθάνειν· ἐν ᾧ ἐστὶ βού-
λημα φύσεως· τὸ κύριον δὲ τοῦ τῶν μὲν ἰδίᾳ
ἀβεβαίου· τῶν δὲ κοινῶν βεβαίου· τὸ τὰ αὐτὰ
ἀνθρώπων· τὸ αὐτὸ πάθος. ἄλλοις μὲν ἐὰν αὐτὸς πάθῃ
ἐμπαθέστερον μᾶλλον καὶ ἀλογώτερον φέρον· ἀλ-
λὰ δὲ ὅταν ἄλλῳ συμβαῖνον αὐτὸ θεάσηται· ἀπαθέ-
στερον γὰρ αὐτὸ τότε καὶ ἀληθέστερον ὁρᾷ· καὶ συμ-
φωνότερον πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μὴ πάσχον-
τας μηδὲ πάθει κειμένους ταὐτὰ λόγῳ· καὶ τοῦτο ὡς
παραδείγματος ἐν τύποις τῆς τοῦ ποτηρίου κατα-
θραύσεως ἐπεστήσατο· ὅτε γὰρ ἄλλου παιδάριον
κατάξῃ ποτήριον, πρόχειρον ἡμῖν καὶ τοῖς ἄλλοις
τοῖς ἀπαθῶς κειμένοις λέγειν ὅτι τῶν γινομένων
ἐστί· καὶ τὸ τὸν παῖδα ποτὲ ῥιφθῆναι ἢ προσ-
κροῦσαι ἢ ἀφεῖναι αὐτό· καὶ τὸ ὑάλινον προσκρου-
σθὲν ἢ ἀφεθὲν καταχθῆναι· ὅταν δὲ τὸ ἡμέτερον
καταχθῇ, ἀγανακτοῦμεν ὡς καινοτέρου τινὸς ἀφ' ἡ-
μῖν γενομένου· καίτοι ἔδει καὶ τότε ἐννοεῖν ὅτι

τῶν γινομένων ἐστίν· οὕτως ὁ εὐφυὴς μετατίθεται καὶ
ἐθίζεται μάζομαι· ἐὰν τέκνον ἄλλου ἀποθάνῃ ἢ γυνή, [illegible]
οὐδείς ἐστιν ὃς ἂν εἴποι ὅτι οὐκ ἀνθρώπινόν ἐστι τὸ συμβάν,
κατὰ τὰς κοινὰς ἐννοίας· καὶ τῇ φύσει συμμαχούσας
κρίνων τό τε τὸ γεγονός· τὸ γὰρ ἀποθανεῖν ἄνθρωπον ὄν, ἀν-
θρώπινόν ἐστι· τῇ φύσει τοῦ ἀνθρώπου θνητοῦ ὄντος
προσῆκον· ἀλλ' ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς
οἴμοι καὶ τάλας ἐγώ· καὶ θρῆνοι καὶ τραγῳδίαι· ὡς ἡμῖν μό-
νοις παρὰ φύσιν τινὸς συμβεβηκότος· ἐχρῆν δὲ
μεμνῆσθαι πῶς ἄλλου θρηνοῦντος διατιθέμεθα·
ὅτι ἐφιστάμενοι τότε καλῶς· μὴ τὸ πρᾶγμα ταράτ-
τειν γε ἐκεῖνον φυσικὸν ὂν καὶ ἐξ ἀνάγκης συμβαῖνον·
ἀλλὰ τὸ αὐτοῦ πάθος· ὃ πέπονθε περὶ τὸ πρᾶγμα.
αἴτιον δέ ἐστι τούτου· συμπάθειά τε ἄλογος καὶ
ὑπὲρ τὸ δέον γινομένη τῆς ψυχῆς λογικῆς πρὸς σῶμα
θνητὸν τὸ τοῦ τέκνου ἢ τῆς γυναικός· καὶ τὸ μηδέ-
ποτε ἐννοεῖν αὐτοῦ τὴν φύσιν, ὅτι θνητόν· καὶ
εἰκὸς ἀποθανεῖν αὐτό· ἀλλ' οὕτω συζῆν ὡς ἀεὶ συνε-
σόμενον· ἢ τοῦτο μάλιστα ἐκπλήττει καὶ θορυβεῖ
τὸ ἀνελπίστως ἐπιστῆναι· ἐπεὶ εἰ ἐμελέτα τοῦτο, καὶ συνε-
θίζετο κατὰ τὴν φαντασίαν, οὐκ ἂν οὕτως ἐταράττε-
το καὶ ἐλυπεῖτο. τεκμήριον δὲ τούτου ἐναργέστατόν ἐστι·
τὸ καὶ τοὺς πάνυ περιπαθῶς ἐπὶ τούτοις διατε-
θέντας μετ' ὀλίγον χρόνον διὰ τὴν συνήθειαν ὡς μηδενὸς
γινομένου τοιούτου καταπραΰνεσθαι· καὶ τὸ τοὺς τὰς
κατὰ φύσιν ἐννοίας προβάλλεσθαι· ὅτι ἀνθρώπινόν ἐστι·
ὅτι τὸ θνητὸν ἀποθνήσκειν ἀνάγκη· ὅτι καὶ ἡμᾶς
ταχέως καταληψόμεθα· ἔτι μετὰ τὸ συμβῆναι
διὰ τὸν συνεθισμὸν τοῦ χωρισμοῦ, ῥᾳδίως οὕτως
αὐτὸν ὑποφέρομεν· καὶ πρὸ τοῦ συμβῆναι οἶμαι

διὰ τῆς ἐλπίδος πρὸς τὸν χωρισμὸν συνεθιζόμενοι·
οὐκέτι οὕτως αὐτὸν περιχαρῶς ὑποδεξόμεθα. αἴ-
τιον δὲ τοῦ μὴ συνεχῶς πρὸ ὀφθαλμῶν ἔχοντας τὰ
τοιαῦτα συνεθίζεσθαι πρὸς αὐτά· ἐν μὲν τῷ τοῖς πα-
ροῦσι γὰρ συντυποῦσθαι τὰς ψυχὰς τῶν πολλῶν δημωδῶν·
ὥστε καὶ εὐημεροῦντας ἀεὶ νομίζειν εὐημερεῖν·
ἐκ λυπηροῦ συμβαίνοντος τινός· μηδέποτε αὐτοὺς
ἐλπίζειν ἀπαλλάττεσθαι· ἔτερον δέον δεῖν ἔλαττον
τούτου· ἡ πολλὴ καὶ ἄμετρος περὶ τὰ τοιαῦτα συμπά-
θεια καὶ ἡ φαντασία τοῦ χωρισμοῦ λυπηροτέρα ἐστὶν
αὐτοῖς· οὐδεὶς δὲ ἑκὼν τοῖς λυπηροῖς ἐνδιατρίβει· βέλ-
τιον οὖν συμπαθεῖν μάλιστα μετριώτερον· κρίνον-
τας τὸ ὀρθῶς· τί τὸ συμπάσχον καὶ τίνι συμπάσχει·
ὅτι ἀλλοτρίοις πράγμασι καὶ τῆς συνηθείας ἐλεγ-
χεται μοῦ τὸ πολὺ παραιτητέον· καὶ λόγον ἀ-
φεκτέον τὴν συμπάθειαν αὐτὴ τεμνόντων· καὶ ἔτι
μᾶλλον τῶν ἔργων:

ὥσπερ σκοπὸς οὐ τί-
θεται πρὸς τὸ ἀποτυχεῖν· οὕτως οὐδὲ
κακοῦ φύσις ἐν κόσμῳ γίγνεται:

λα' Περὶ τῆς ὑποστάσεως τῶν κακῶν λόγος μὴ καλ- ὡς
ῶς διαρθρωθεὶς καὶ τῆς περὶ τὸ θεῖον ἀσεβείας
αἴτιος γέγονε· καὶ τῆς τῶν ἠθῶν εὐαγωγίας τὰς
ἀρχὰς διετάραξε· καὶ πολλαῖς καὶ ἀλύτοις ἀπορί-
αις ἐνέβαλε τοὺς μὴ καλῶς αἰτιολογοῦντας αὐτήν.
οἵ τε ἀρχήν τινα λέγοιτο κακόν· ὡς εἶναι δύο τῶν ὄντων
ἀρχάς· τό τε ἀγαθὸν καὶ τὸ κακόν· πολλὰ καὶ μεγά-
λα τὰ ἄτοπα συμβαίνει· τὸ γὰρ ἀρχικὸν τοῦτο ἀξίωμα
ἓν ὂν καὶ κοινὸν ὑπάρχον ἀμφοτέροις ἐναντίοις
οὖσι, πόθεν αὐτοῖς ἀφῖκται· εἰ μὴ ἀπὸ μιᾶς αἰτί-
ας πρὸς ἀμφοῖν οὔσης· πῶς δὲ ὅλως ἐναντία ταῦτα

ἔσται

μὴ ὑφ' ἕν τι κοινὸν γένος τεταγμένα· οὐ γὰρ ταῖς δια-
φοραῖς ἁπλῶς ἐναντία ἐστίν· οὐ γὰρ ἄν τις φαίη
τὸ λευκὸν ἐναντίον εἶναι τῷ θερμῷ ἢ τῷ ψυχρῷ·
ἀλλὰ τὰ ὑπὸ τὸ αὐτὸ κοινὸν γένος πλεῖστον ἀλλήλ-
ων διεστηκότα ταῦτα ἐστὶν ἐναντία· τῷ μὲν λευκῷ
τὸ μέλαν, ἃ κοινὸν ἔχοντι γένος τὸ χρῶμα· ἄμφω γὰρ
ὁμοίως χρώματα ἐστί· τῷ δὲ θερμῷ τὸ ψυχρόν· ὧν γένος
ἡ ἁπτικὴ κατὰ ταῦτα ποιότης. διὰ τοῦτο καὶ ἀδύ-
νατον τὰ ἐναντία ἀρχὰς εἶναι, ὅτι τὸ ἓν ἀνάγκη προϋ-
πάρχειν τὸ κοινὸν · καὶ μέντοι καὶ δι' ὃ ἀνάγκη προϋ-
πάρχειν πλήθους τὸ ἓν εἶναι· εἰ παρ' ἕκαστον τῶν πολλῶν ἓν
ἀνάγκη εἶναι, κατὰ τὴν τοῦ ἑνὸς τοῦ πρώτου μέθεξιν·
ἢ μηδὲν εἶναι ὅλως· ἐπεὶ δὲ ἀνάγκη πρὸ πάσης ἰδι-
ότητος ἀρχικὴν εἶναι μονάδα, ἀφ' ἧς πᾶσαι αἱ ἰδιό-
τητες ἐν πολλοῖς μετοχὴ μὲν ἡ ὑφίσταται· ἀπὸ γὰρ τοῦ
θείου καὶ ἀρχικοῦ καλοῦ πάντα τὰ καλὰ πρόεισι· καὶ
ἀπὸ τῆς πρώτης θείας ἀληθείας πᾶσαι ἀλήθειαι.
ἀνάγκη καὶ τὰς πολλὰς ἀρχάς, εἰς μίαν ἀρχὴν ἀνά-
γεσθαι· οὔτι γὰρ μίαν τινὰ κοινὴν ἀρχὴν οὖσαν ἑκάστην ὡς
πρὸ τῶν ἄλλων ἑκάστην· ἀλλ' ἀρχὴν ἀρχῶν, ὑπὲρ ἀρχὰς
πασῶν καὶ ἐξῃρημένην καὶ πάσας εἰς ἑαυτὴν συναγεί-
ρουσαν· καὶ πάσαις ἀφ' ἑαυτῆς τὸ ἀρχικὸν ἀξίωμα
παρεχομένην· ὁμοφυῶς μέντοι τῆς ἑκάστῃ προση-
κούσης ὑφέσεως. οὕτω μὲν οὖν ἄτοπον τὸ δύο ἢ
πλείονας ὅλως τοῦ ἑνὸς τὰς πρώτας λέγειν ἀρχάς.
ἀναγκάζονται δὲ οἱ δύο λέγοντες τῶν ὅλων ἀρχάς,
τό, τε ἀγαθὸν καὶ τὸ κακόν· καὶ τὸν ἀγαθὸν παρ' αὐτοῖς
λεγόμενον θεόν, μηκέτι πάντων αἴτιον λέγειν· μηδ'
παντοκράτορα δικαίως ἂν ὑμνεῖν· μηδὲ δύναμιν
αὐτῷ τὴν ἀκροτάτην ἣν ἂν ἀνατιθέναι· ἀλλὰ ἥμισυ
τῆς ὅλης δυνάμεως.

ἄτοπον ἄρα καὶ τοῦτο· μηδὲ νομίζειν ποιητὴν τοῦ ἀγαθοῦ ὥς φη-
σι φθοροποιεῖν αὐτόν· συγχωρῶ λεγόμενον ἀγαθὸν ἡ φθορὰ ὅσ-
οι αὐτοὶ δὲ καὶ ὁ σύμβολος φημὶ αὐτὸν θεὸν τοῖς ὑπ' ἐκείνων
λεγομένοις ἐξ ἀνάγκης ἀκολουθεῖ· καὶ γὰρ δῆλον ὡς ἐγγὺ
αὐτόν· διὰ δὲ ἐκεῖνο τὸ κακόν· ἐγγὺς τῶν ὅρων αὐτοῦ γενόμενον
μὴ καὶ αὐτὸς ἀσελθ· καὶ διὰ ταύτην τὴν ζημίαν, ἀ-
δίκως καὶ ἀσυμφόρως ἑαυτῷ μάχη ἑαυτοῦ καὶ μέλη
τὰς ψυχὰς οὔσας· ὥς φασι μηδὲν ἁμαρτούσας πρό-
τερον ἐρρίψε τῷ κακῷ, ἵνα αὐτὰ λοιπὸν τῶν ἀγαθῶν
διασώσῃ· ὥσπερ στρατηγός φασι πολεμίων ἐπιόντων
μέρος αὐτοῖς τοῦ οἰκείου στρατοῦ προΐεται, ἵνα τὸ λοιπὸν
διασώσῃ. ταῦτα γὰρ αὐτῶν ἐστι τὰ ῥήματα· ἃ καὶ μὴ
ἐπ' αὐτῶν ἴσως τῶν λέξεων· ὁ δὲ ῥίψας τὰς ψυχὰς
κατ' αὐτοὺς ἢ τοιοῦτο κελεύσας ῥιφῆναι, ἠλάθετο τί οὐκ ἐ-
νόησεν, ὅτι μέλλουσιν αἱ ψυχαὶ πᾶσιν ἐκδοθεῖσαι
τῷ κακῷ· ὅτι ἐμπιπρᾶν καὶ τασκηνίζον· ὥς φασι
τῷ κακοῦνται παντοίως· μήτε ἁμαρτούσαι τι πρό-
τερον καὶ μέρος τοῦ θεοῦ οὔσαι· τὸ δὲ τελευταῖον ὥς φασιν
αἱ ἀσεβεῖς αὐτῶν γενόμεναι τοιαῦτα δεδώσι παρ'
αὐτοῖς, οὐχὶ φονεύσασαι ἢ μοιχάσασαι· ἤ τι τῶν
ἐσχάτων τούτων, ἀπὸ ζωῆς διεφθαρμένης πο-
ιήσασαι· ἀλλ' αἱ μὴ λέγουσαι δύο ἀρχὰς τῆς τῶν πάν-
των ἀγαθὸν καὶ τὸ κακόν· αὗται οὖν οὐδὲ ἐπιστρέφονται
ἐπί φασιν εἰς τὸ ἀγαθόν· ἀλλὰ μένουσι τῷ κακῷ συγ-
κεκολλημέναι· ὥστε καὶ αὐτῆς μένειν ἐκείνου μόλ-
μα καὶ αὐτοῦ ἀπολέσθαι· καὶ ἄρχοντος οὖν ἐστι κατ' αὐτούς·
μὴ γὰρ ἐμὸς ὁ λόγος ἔστω· μήτε τὸ ἑαυτοῦ συμφέρον
λογίσασθαι δυνηθῇ, μήτε τὴν τοῦ κακοῦ φύσιν γινώ-
σκων· πῶς γὰρ ἂν ἐσκηλθ      τὴν τοῦ ἀγαθοῦ μοῖραν
τῷ κακῷ ἐξέβαλε διὸ οὐδὲ δίκαια κρίνειν αὐτοῖς τῶν κλήρ(ων)
ὥς φασι·

καὶ κατὰ τὰς αὐτῶν φύσεις ἀφωρισμένον· ἀπὸ τίνος
οὖν λέγουσι· δῆλον δὲ ἢ ἐκ ταὐτομάτου· καὶ ἀρχὴ ἤδη πάντων
ἀρχὴ κατ' αὐτοὺς τὸ αὐτόματον· ἢ ἀπό τινος ὑπὲρ ἀμφω
ὄντος· ὅπως δ' ἂν ἔχῃ τοῦτο πρὸ τοῦ κόσμου παρ' αὐτοῖς
γενέσθαι ὡς ἐν στάσει τὴν διαιρουμένην ποιοῦσι· τὰ μὲν τρία
μέρη τὸ ἀνατολικὸν καὶ δυτικὸν καὶ βόρειον τῷ ἀγαθῷ
διδόντες· τὸ δὲ μεσημβρινὸν τῷ κακῷ· καὶ γὰρ καὶ
τὰ πέντε τοῦ κακοῦ ταμιεῖα, ὡς δὴ βάραθρα ὑποτί-
θενται· καὶ δένδρα καὶ ζῷα παρατίθουσιν ἑκάστῳ χέρ-
σαια καὶ ἔνυδρα μαχόμενα ἀλλήλοις· καὶ ὑπὸ τοῦ πεντα-
μόρφου παρ' αὐτοῖς ἐσθιόμενα· καίτοι ἄφθαρτα
ποιοῦνται λέγοντες ἐκεῖνα ὡς καὶ τὰ πρῶτα ἀγαθά.
διαιρεῖς μὲν οὖν ὁδὸν ἐξ ἀρχῆς κατὰ φύσιν τοῦ πρώτου·
πῶς δ' ἂν αὐτὸν εἶναι τῶν τοῦ ἀγαθοῦ μοιρῶν τὸ κακὸν
ἀσελγές· πῶς δὲ δύναται αὐτὸν εἶναι τὸ ἐναντίον· οὕτω
γὰρ καὶ τὸ λευκὸν μὲν οὐ λευκόν, μέλαν εἶναι· καὶ
τὸ φῶς μένον, ἐδέχετο σκότος· ἀλλ' οὖν ταῦτα ἀδύνατα
πῶς μετὰ δήλου καὶ ἀδίκου οὐχὶ καὶ ἀνόητον ἐστὶ
γορίζεσθαι τοῦ κακοῦ τὴν ψυχήν· καὶ ἀπὸ τότε μέχρι
νῦν πράγματα ἔχειν ὥς φασι μὴ δύνασθαι μένον
αὐτὴν τελέως ἀνακαλέσασθαι· μὴ δὲ δύνασθαι ὅσον μὲν
δι' αὐτό τινας ὡς πρότερον ἐμνήσθην ψυχὰς μένειν
κατ' αὐτοὺς ἐν τῷ κακῷ τοῦ λοιποῦ τὸν ἄπειρον αἰ-
ῶνα· καὶ οὐδὲ προγνῶναι τοῦτο φασὶν αὐτόν· καὶ τοι
τὸ κακὸν προγινώσκειν λέγουσι τὴν μέλλουσαν ἀπὸ τοῦ
κατ' αὐτοῦ πέμπεσθαι· καὶ μὴ χαλάσας πρὸς αὐτὴν
ἂν ἀπελαύνειν· ὅσῳ δὲ κάλλιον ἦν ἐᾶσαι τὸ κακὸν
περὶ ἑαυτὸ συντριβόμενον· ἢ παραμῖξαι ἑαυτὸ
τῷ κακῷ· μὴ δὲ δύνασθαι μένον ἑαυτοῦ περιγενέσθαι.
ἀγένητον γὰρ καὶ ἄφθαρτον καὶ τὸ κακὸν ὁμοίως φασί

ὥσπερ καὶ τὸ ἀγαθόν· καὶ γὰρ καὶ τοῦτο δή τις ἐπι-
σκήψειεν· ὅτι ὁμοίως ταῦτα τῷ ἀγαθῷ καὶ τῷ κακῷ
ὑπάρχειν φασὶν ἀγένητον καὶ ἄφθαρτον· τὸ ἄ-
ναρχον καὶ ἀτελεύτητον· ὧν τί ἂν εἴη ἀσεμνότερον·
οἱ δὲ καὶ περὶ τῆς κοσμοποιΐας μάγοι· κίονας τιν
λέγοντες· οὐκ ἐκάμνας αἳ γαῖαν τε καὶ οὐρανὸν ἀμφὶς
ἔχουσιν· ὧν ἄρ᾽ ἄξιον ἐστὶ μυθικῶς τινος τῶν λεγομένων
ἀκούειν· ἀλλ᾽ ὡς οἶμαί τις τῶν παρ᾽ αὐτοῖς σοφῶν
ἐξέφηνε· καὶ κρατοῦσι λίθου· καὶ δὴ ὡς γλαφυ
αὐτοῖς νομίζουσι καὶ δύο δέκα θυρίδας μιᾶς καθ᾽ ἑ-
κάστην ὥραν ἀνοιγομένης· αἱ δὲ περὶ τῶν ἐκλείψεων
αἰτιολογίαι θαυμαστὴν σοφίας ὑπερβολὴν ἐνδεί-
κνυνται· λέγουσι γὰρ τῶν μὲν τῇ κοσμοποιΐᾳ συν-
δεδεμένων κακῶν ταραχὴν καὶ θόρυβον ποιούντων
ἐν ταῖς ἑαυτῶν συγκινήσεσι παραπετάσματά τι-
νας φωστῆρας ἑαυτῶν προβάλλεσθαι· δι᾽ αὐτὸ μὴ
μετέχειν τῆς ταραχῆς ἐκείνων· καὶ τοῦτο εἶναι τὰς
ἐκλείψεις· τὰς ὑπὸ τοῖς παραπετάσμασιν ἀπο-
κρύψεις αὐτῶν· πόσον δὲ καὶ ἡ περὶ τοῦ ἀλλοκοτία·
τὸ ἐκ πάντων τῶν μὲν τῶν ὄντων μόνους τοὺς δύο φωστῆρ-
ας τιμᾶν τῆς τοῦ ἀγαθοῦ μοίρας λέγοντας αὐτούς· τῶν δ᾽
ἄλλων καταφρονεῖν ὡς τῆς τοῦ κακοῦ μοίρας ὄντων·
καὶ τὸ φῶς τῆς σελήνης οὐκ ἀπὸ ἡλίου νομίζουσιν·
ἀλλὰ ψυχὰς εἶναι ἃς ἀπὸ νουμηνίας ἕως πανσελή-
νου ἀπὸ τῆς ἀνασπᾶσθαι ἀπὸ σελήνης πάλιν ἕως νου-
μηνίας, εἰς τὸν ἥλιον μεταγγίζεσθαι· καὶ τί ταῦτα μηκύνω·
τέρατα γὰρ πλαττόμενός τινα ἄτοπον οὐδὲ μύθου καλοῦ
ἄξιον· ὁ λόγος μύθοις χρῶνται· οὐδὲ ἐν δὴ κἂν
ἀθ.ῶν τι ἄλλο νομίζουσιν· ἀλλ᾽ ὡς ἀληθέσιν αὐτοῖς
τοῖς λεγομένοις πιστεύουσι περὶ τὰ μορφὸν τὸ καὶ

ἀνδραπλάσιον ἐστὶ, ἀπὸ ἐχθροῦ καὶ ἰχθύος καὶ ἀετοῦ· καὶ
οὐ μέμνημαι τίνων ἄλλων συγκείμενον· καὶ ὡς τοιοῦτοι
ἀποιόντες δεδοκότες· τοσαύτη τίς ἐστιν ἐν τοῖς λόγοις
τούτοις ἡ περὶ τὸ θεῖον ἀσέβεια· καὶ τὸ θαυμαστὸν ὅτι
πάντα ταῦτα οἱ ... πλάσαντες· διὰ θεοσέβειαν
δῆθεν ἐλάβοντο· μὴ βουλόμενοι γὰρ αἴτιον τοῦ κακοῦ
τὸν θεὸν ἀποφῆναι, ἀρχὴν ὑπεστήσαντο ἰδίαν τοῦ κακοῦ·
ἰσότιμον αὐτῇ καὶ ἰσοσθενῆ τιθέντες τῷ ἀγαθῷ· μᾶλλον
δὲ καὶ ἰσχυροτέραν· μάχεται γὰρ νῦν τέως ἐν πᾶσι τοῖς
ἑαυτῶν ἀποσχήμασιν, ὑπέρτερον φαίνεται γὰρ ὡς τὸ
κακόν· καὶ τοῦτο μὲν τοῦ ἀγαθοῦ φαίνεσθαι πανταχοῦ
κατ' αὐτοὺς ἀντεχόμενον· καὶ μηχανώμενον πάντοτε
μὴ ἀπολέσαι αὐτό· τὸ δὲ ἀγαθὸν ὡς οὗτοί φασιν ἑ-
κουσίως ἑαυτὸ τῷ κακῷ συνέμιξε· καὶ δῆλος καὶ ἀ-
δίκως καὶ ἀμύνοντος κατ' αὐτοὺς μέχρι νῦν διεγένετο·
ὥστε φθάνοντες αἴτιον αὐτὸ τοῦ κακοῦ ἀποφῆναι, πά-
γκακον ὑπογράφουσι· καὶ κατὰ τὴν παροιμίαν φεύ-
γοντες τὸ πῦρ εἰς κάπνον ἐμπεπτώκασιν· οὐ μὴν
οὕτως ἀσεβὴς περὶ αὐτὸ τὸ θεῖον οὗτος ὁ λόγος· τὰς δὲ ἀρχὰς
τῆς φυσικῆς ἀναγκαίας ὅσον ἐφ' ἑαυτοῖς διαφθείρει·
τὸ ἐφ' ἡμῖν κατ' ἐλεύθερον ἀναιροῦσι· τὴν γὰρ τοῦ κακοῦ
ἀρχὴν ἀγένητον καὶ ἄφθαρτον καὶ ἰσχυρὰν ἀποφήναντες·
βίᾳ τὰς ψυχὰς συνωθοῦσαν εἰς τὸ κακόν· ὥστε μη-
κέτι ἐφ' ἡμῖν εἶναι τὸ ἁμαρτάνειν ἢ μή· οὕτως οὖν τοῦ
ἰσχυροῦ τοῦ ἀναγκάζοντος. ὡς μηδὲ ὑπὸ θεοῦ κατ' αὐτοὺς
νικηθῆναι· καίτοι ἐχρῆν ἐννοεῖν· ὅτι ἐὰν ὑπὸ ἰσχυρο-
τέρου τινὸς βιαζόμεναι αἱ ψυχαί, φονεύουσιν ἢ μοι-
χεύουσιν ἤ τι τοιοῦτον πράττουσι τῶν λεγομένων
κακῶν. ὠθεῖς μὲν καὶ οὐχ ἑκουσίως, ἀναμάρτητοι ἂν εἶεν·
τὰ γὰρ βίᾳ καὶ ἀκουσίως πραττόμενα ὡς μὴ ὄντα ἀ-
ζ λογίζονται.

καὶ ὑπὸ θεοῦ καὶ ὑπὸ τῶν νόμων συγγινώσκεται. καὶ δὴ
οὐκ ἔστιν ἁμαρτία ὅλως οὐδὲ κακὸν διὰ τὴν ὑπόθεσιν τῆς
βιαζομένης ἡμᾶς ὑπὸ ἰσχυροτέρων αἰτίων ταῦτα
πράττειν. τοιούτων οὖν ὡς κακῶν ὄντων τὴν
αἰτίαν ζητοῦντες ἀρχὴν ὑπέθεντο κακοῦ. ἐκ δὲ τῆς
ὑποτεθείσης καὶ βιαζομένης, οὐκ ἔστιν οὐδὲν ἔτι
κακόν, χαριέντως αὐτοῖς ὁ λόγος περιγέγραπται.
συνάγεται γὰρ ὅτι εἰ ἔστιν ἀρχὴ τοῦ κακοῦ, οὐκ ἔστι
κακὸν ὅλως· εἰ δὲ μὴ ἔστι κακόν, οὐδὲ ἀρχὴ ἂν εἴη τοῦ
κακοῦ. ὥστε εἰ ἔστιν ἀρχὴ τοῦ κακοῦ ὥς φασιν, οὔτε κακὸν
ἔσται, οὔτε ἀρχὴ τοῦ κακοῦ. οὕτως οὖν ἐναργῶς ἐληλεγ-
χθείσης ταύτης τῆς ὑποθέσεως. ἐάν τις ἐκκλίνων
τὸν τοιοῦτον ἔλεγχον τολμήσῃ τὸν θεὸν αἴτιον τοῦ
κακοῦ λέγειν ὡς κακοῦ. συντομώτερον καὶ οὗτος
ἀσεβῶν ἐλέγχεται περὶ τὸν θεὸν καὶ ψευδόμενος. πῶς
γὰρ ἂν ἀληθὴς εἴη ὁ λόγος ὁ πρὸς τὸν θεὸν ἀσεβὴς τε
τῆς ἀληθείας χορηγόν. καὶ πρῶτον μὲν πῶς ἀγαθὸς
ὁ θεὸς ὢν κατὰ τὴν ἄκραν καὶ ἀπαράτρεπτον ἀγαθό-
τητα, τὸ κακὸν ἀφ' ἑαυτοῦ παράξει. εἰ γὰρ ἐναντίον
ἐστὶ τῷ ἀγαθῷ τὸ κακὸν ὡς οἱ ἀποροῦντες νομίζουσι;
πῶς τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου παραχθήσεται.
ἔτι δὲ ὁ παράγων τι ἀφ' ἑαυτοῦ. καὶ αἴτιος ὢν αὐτῷ
τοῦ εἶναι τὴν αἰτίαν ἔχων αὐτοῦ. καὶ κατ' ἐκείνην ἡγούμε-
νος παράξει. κατ' αἰτίαν ὧν αὐτὸς ἐκείνου, ὥσπερ
τὸ παραγόμενον καθ' ὕπαρξιν. ὥστε λανθάνει ἔτι
ὁ λόγος οὗτος. ὅτι πρὸς τῷ καὶ αὐτὸς ἐναργῶς εἰς θεὸν
ἀσεβεῖν ἢ ἀρχὴν τοῦ κακοῦ. καὶ πρῶτον κακὸν
ὡς ὁ πρότερον εἰσάγει. εἰ οὖν μὲν τὸ ἀρχὴν ἔχει τὸ κακ-
ὸν μήτε ὁ θεὸς τοῦ κακοῦ αἴτιός ἐστι, πόθεν τὸ κακόν.
ἀδύνατον γάρ τι ἄνευ αἰτίας γένεσιν ἔχειν. ἢ

χρὴ πρῶτον τί ἐστι τὸ λεγόμενον κακὸν διαρθρῶσαι.
τοῦτο οὖν πρῶτον ἐστὶ ζητεῖν· ὁ γὰρ ἀγνοῶν τί ποτ' ἐστὶν ἕκαστον,
οὐδὲ τὴν αὐτοῦ δύναται εὑρεῖν αἰτίαν· ῥητέον τοίνυν
ὅτι τοῦτο μὲν τὸ κακὸν οἱ τὴν ἀρχὴν τοῦ κακοῦ τι-
θέντες καὶ οἱ πολλοὶ τῶν ἀπορούντων περὶ αὐτοῦ
ἐννοοῦσιν, εἶναι προηγουμένην ἔχουσαν ὑπό-
στασιν ὥσπερ τὸ ἀγαθόν· καὶ δύναμιν τῇ τοῦ ἀγαθοῦ παρι-
σουμένην· καὶ ἔχον τι ἀπ' ἐξ ἴσου· καὶ αὐτὸ κατὰ τοῦτο
τὸ κακὸν οὐσίαν ἄμικτον τῇ ἑαυτοῦ φύσει πρὸς τὸ
ἐναντίον αὐτῷ τὸ ἀγαθόν· ὡς ἔχει τὸ μέλαν πρὸς τὸ
λευκόν· καὶ τὸ θερμὸν πρὸς τὸ ψυχρόν· τὸ δὴ τοι-
οῦτον κακὸν οὐδὲ ἐστὶν ὅλως ἐν τῇ φύσει τῶν ὄντων.
ἀγαθὸν μὲν προηγουμένη τίς οὐσία ὥσπερ ἄνθρωπος ἢ τὸ
ὁ ἵππος. ἔχει δ' ἂν πάντως εἶναι κατὰ φύσιν ἑαυτῶν
τελειότητα· καὶ εἶδος καθὸ ἐστὶ τοῦτο ὅπερ ἐστί· πᾶν δὲ
εἶδος ἔχον τὴν κατὰ φύσιν αὐτοῦ τελειότητα, ἀ-
γαθόν ἐστι καὶ οὐ κακόν· τοιγαροῦν καὶ ὀρέγεσθαι
τοῦ ἀγαθοῦ τὸ κακὸν ἔνιοι φασί· καὶ μετέχειν αὐτοῦ
τοῦ ὠφελεῖσθαι παρ' αὐτοῦ· καὶ ἀγαπῶν τὴν μέθεξιν·
τοῦ πάντα πράττειν, πρὸς τὸ μὴ ἀπολέσαι αὐτήν·
πῶς οὖν τὸ τοιοῦτον ὡς ἁπλῶς κακὸν ἐμφαίνειν δύναται.
ὅπερ δὲ ἐστὶ κακόν· καθὸ κακοὶ καὶ ἁμαρτωλοὶ λεγό-
μεθα· ἢ δίκην ὑπέχομεν ὡς κακοί, τοῦτο συμβεβη-
κός ἐστιν οὐσίᾳ· ὅπερ γίνεται καὶ ἀπογίνεται χωρὶς
τῆς τοῦ ὑποκειμένου φθορᾶς· καὶ καθ' ἑαυτὴν οὐχ
ὑφίσταται· τί γὰρ ἂν εἴη κακόν, ὃ μὴ τινός ἐστι κακόν·
ὁμοίως δὲ καὶ τὸ ἀντικείμενον, τούτῳ ἀγαθόν· συμ-
βεβηκός ἐστι καὶ αὐτό· ἀλλὰ τὸ μὲν ἀγαθόν, τὸ κατὰ
φύσιν ἐστὶν ἑκάστου καθ' ὅτι τὴν αὐτοῦ ἔχει τελειότητα·
τὸ δὲ κακόν, ἡ παρὰ φύσιν διάθεσις τοῦ ἔχοντος αὐτό.

καθ' ἣν ἐστέρηται τοῦ κατὰ φύσιν καὶ τοῦ ἀγαθοῦ· εἰ
γὰρ ἦν καὶ τὸ κακὸν κατὰ φύσιν διάθεσις· κατὰ τί ἂν
ὅ τι τῆς τοῦ ἔχοντος αὐτὸ εἴδους; ἀγαθὸν ἂν ἦν αὐτό, καὶ
οὐκέτι κακὸν ἐλέγετο· ὥστε οὐκ ἔστι τις προηγ(ουμένη)
φύσις καὶ ὑπόστασις τοῦ κακοῦ, ὥσπερ ἡ τοῦ ἀγαθοῦ·
ἀλλὰ παρυφίσταται τοῖς ἀγαθοῖς ἐκ τοῦ τισὶν αὐτοῦ καὶ
στέρησιν ὑπάρχειν· οὕτως γὰρ ἔχει καὶ νόσος πρὸς ὑγ(ίειαν)·
καὶ κακία ψυχῆς πρὸς ἀρετήν· καὶ ὥσπερ τὸ μὲν περι-
πατεῖν ὀρθῶς, προηγουμένη τίς ἐστιν ἐνέργεια τοῦ
ζῴου· καὶ σκοπὸν αὐτῷ θέμενον ὁρμᾶν ἐπ' αὐτήν·
τὸ δὲ σκάζειν καὶ χωλεύειν περιπατοῦντα· κατὰ
ἀποτυχίαν τῆς προηγουμένως ἐνεργείας ἐπι-
συμβαίνει· καὶ παρυφίσταται αὐτῇ, παρὰ φύσιν
οὖσα κίνησις· οὕτως ἔχει πᾶν κακὸν πρὸς τὸ ἀντι-
κείμενον αὐτῷ ἀγαθόν· καὶ οὐ δυνατὸν λέγειν· οὔτε προ-
ηγουμένως ὁμοίως ταῦτα, οὔτε ἰσοστασίως ἀλλήλοις
ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν· ἡ δὴ γὰρ ὁμοίως ταῦτα
ἄμφω. καὶ οὐδὲν μᾶλλον οὐδέτερον ἑκάτερον θατέρου,
τὴν κατὰ φύσιν ἔχει ποιότητα· οὐδὲ στέρησίς ἐστιν
ἑτέρου τὸ ἕτερον· ἡ γὰρ στέρησις, παραφορὰ καὶ ἀπο-
τυχία τοῦ εἴδους ἐστίν· ὥσπερ ἡ χωλεία τῆς βαδίσεως.
τούτων δὲ ἑκατέρου, εἰλικρινὲς ἔχει τὸ καθ' ἑαυτὸ εἶδος·
οὐδὲν δὲ τοῦ ἑτέρου ἔλαττον· ἐκεῖ δὲ τοῦ ἑτέρου κατὰ
φύσιν ὄντος· τὸ ἕτερον παρὰ φύσιν· καὶ παρυφί-
σταται τῷ κατὰ φύσιν τὸ παρὰ φύσιν· τῷ ἀγαθῷ
δηλονότι, τὸ κακόν· οὐ γὰρ τῷ κακῷ τὸ ἀγαθόν· ὥσπερ
οὐκ ἂν λέγοι τις τῇ ἀποτυχίᾳ τοῦ σκοποῦ, παρυφί-
στασθαι τὴν ἐπιτυχίαν αὐτοῦ· οὐδὲ τῇ νόσῳ τὴν ὑ-
γίειαν· ἀλλὰ τῇ μὲν ἐπιτυχίᾳ τὴν ἀποτυχίαν·
τῇ δὲ ὑγιείᾳ τὴν νόσον· προηγουμένου γὰρ τούτου τὸ ζ

τέλος ἐστὶ, τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ· δι' αὐτὸ γὰρ τὸ ἐπι-
τυχεῖν τοξεύει· καὶ τῆς φύσεως προηγούμενον τέλος,
ἡ ὑγίεια· δι' αὐτὴν γὰρ τὴν σωτηρίαν καὶ ὑγείαν τοῦ ζῴου· ἐν ᾧ ὅλον
τὸ κατὰ φύσιν αὐτοῦ, ἐνεργεῖ πάντα· καὶ ἔστι προηγού-
μενον τέλος ἑκάστης ἐνεργείας, ἐκεῖνο δι' ὃ γίνεται
ἡ ἐνέργεια· ἐπεὶ συμβαίνει δὲ τῶν μὲν σκοπῶν τῆς ἀπο-
τυχίας, ἢ ἀποτυχεῖν ὅταν μὴ τύχῃ τοῦ σκοποῦ ἡ ἐ-
νέργεια· μήτε τέλος ἀπολάβῃ δι' ὃ ἐνεργεῖ· ἀλλὰ
τὴν ἐκείνου ἀποτυχίαν ἀντ' ἐκείνου· τὸ δὲ ἐπισυμ-
βαῖνον ἀκουσίως τῷ προηγουμένῳ τέλει, παρυφί-
στασθαι ἂν λέγοιτο τῷ τέλει δικαίως· ἀλλ' οὐχὶ τὸ προη-
γούμενον τέλος τοῦ ἀκουσίως ἐπισυμβαίνοντι·
εἰ τοίνυν τοῦ ἀγαθοῦ πάντα ἐφίεται· καὶ πάντα τὰ ἐνερ-
γοῦν δι' αὐτό, τοῦ ἀγαθοῦ τυχεῖν, ἐνεργεῖ· ἢ τοῦ ὄντος
ἀγαθοῦ· ἢ τοῦ αὐτῷ δοκοῦντος, δῆλον ὅτι προηγού-
μενον μὲν ἐστὶ τέλος πάσης ἐνεργείας, ἡ τοῦ ἀγαθοῦ
τεῦξις· ἐπεὶ συμβαίνει δὲ ποτε τῇ ἐνεργείᾳ τὸ κακόν,
ὅταν ἡ ἔφεσις μὴ τοῦ κατὰ ἀλήθειαν ἀγαθοῦ γίνοιτο·
ἀλλὰ τοῦ φαινομένου· ὥσπερ ἐστὶ τὸ ἀγαθόν· ἡδονῆς
γάρ τις ἐφιέμενος. καὶ ἐπιθυμῶν εὐπορίας, κλέ-
πτει καὶ κατὰ τὸν τί ζητεῖ· προηγουμένως μὲν τοῦ φαι-
νομένου αὐτῷ ἀγαθοῦ ἐφιέμενος· καὶ ἐκείνου ἕνεκα
ἐνεργῶν· ἀναγκαζόμενος δὲ σὺν ἐκείνῳ, καὶ τὸ συνὸν
αὐτῷ κακὸν λαμβάνειν· ἐπεὶ δὴ οὐδεὶς τοῦ μοιχεῦσαι
δι' αὐτὸ τὸ μοιχεῦσαι ὀρέγεται· οὐδὲ τοῦ κλέψαι
δι' αὐτὸ τὸ κλέψαι· οὐδὲ ἄλλου τινὸς κακοῦ, δι' αὐτὸ
τὸ κακόν· τὸ μὴ δὲ ἐφίεσθαι τοῦ κακοῦ ὡς κακοῦ·
εἰ γὰρ ἦν ἀρχὴ καὶ αἴτιον τῶν ὄντων αὐτοῦ, καὶ τέλος ἦν
αὐτῶν ἦν ἐφετὸν αὐτοῖς, ὥσπερ τὸ ἀγαθόν. οὕτως ἂν
πάλιν ἔχον, ἀγαθὸν ἂν ἦν καὶ οὐ κακόν· τὸ γὰρ ἐφετόν,
ἀγαθόν.

καὶ τὸ ἀγαθὸν, ἐφετόν· πάντα γοῦν τῆς ἑαυτῶν ὠφελεί-
ας ὀρέγεται· ἢ τῆς ἀληθοῦς ἢ τῆς φαινομένης. ὡς ἀ-
ληθοῦς μέντοι καὶ ταύτης· οὐδεὶς γὰρ ἑκὼν ἀπα-
τᾶται· ὥστε τὸ ψεῦδος ἀντὶ τοῦ ἀληθοῦς λαβεῖν·
καὶ τὸ εἴδωλον ἀντὶ τοῦ ἀρχετύπου· ἀλλ' ὑπὸ τῆς
ἀγνοίας τῆς περὶ τὸ φαινόμενον ἀγαθόν· ποτὲ μὲν
οὐδὲ ὁρῶμεν τὸ συνὸν αὐτῷ κακόν· ποτὲ δὲ κἂν θεα-
σώμεθα αὐτό, παραλογιζόμεθα ἑαυτούς· ὡς μεί-
ζονος μὲν ὄντος τοῦ ἀγαθοῦ· ἐλάττονος δὲ τοῦ
συνόντος αὐτῷ κακοῦ· αἱρούμεθα δὲ πολλάκις
τὸ μεῖζον ἀγαθὸν μετὰ κακοῦ ἐλάττονος· ὥσπερ
καὶ τομὰς καὶ καύσεις ὑπομένομεν τοῦ ἐν αὐταῖς
κακοῦ μεῖζον ἀγαθὸν νομίζοντες τὸ τῆς ὑγεί-
ας τῆς δι' αὐτὰς παραγινομένης· ὅτι δὲ πάντα τοῦ
ἀγαθοῦ ἐφίεται, δῆλον καὶ ἐκ τοῦ αὐτὸ τὸ κακὸν
[illegible] καὶ ἔπραττέ τι τῆς ἑαυτοῦ ὠφελείας
ἕνεκα πράττειν· ταὐτὸν δὲ ἀγαθὸν τοῦ ἀγαθοῦ τοῦ
οἰκείου ἕνεκα· τοιγαροῦν καὶ ὅσοι λέγουσιν
αὐτὸ πράττειν· ὑποτιθέμενοι, διὰ τὸ μετέχειν
τοῦ ἀγαθοῦ· καὶ παρ' ἑαυτοῦ κατέχειν αὐτό· καὶ
μὴ ἀπολλῦσθαι λέγουσιν· ὅσοι μὲν δὴ ἐφίεν-
ται τοῦ κακοῦ οὐκ ἔστιν ὑπόστασις προηγουμένη· ἐπει-
δὲ ἔστιν ὅλως καὶ γίνεται κατὰ τὸ μὴ δεχομένου
ἀνθρώπως παρυφίστασθαι λέγεται· λέγεται καὶ
οὐχ ὑφίστασθαι· ἀλλ' ἔστω φαίη ἄν τις καὶ συμβε-
βηκὸς τὸ κακόν· καὶ ἀποτυχία τοῦ ἀγαθοῦ· καὶ παρυ-
φιστάμενον αὐτῷ· καὶ τοιούτου ὄντος, τί ἂν εἴη
τὸ αἴτιον. ζητητέος γὰρ ὁ λόγος· ἐπεὶ δὴ πᾶν τὸ γινό-
μενον ὑπ' αἰτίου τινός, πόθεν ἔσχε πάροδον
ὅλως ἔσται ὂν τὸ ὁποιονοῦν κακόν· τοῦ δὲ

ταὐτὸν δὲ ἐπὶ ὑπὲρ τῆς τῶν ὄντων πάντων ἀρχῆς
ἀγαθοῦ ὄντος. ἤρκηται μέν τοι περὶ τούτου καὶ
πρότερον ἡμῖν ἔν τε τοῖς περὶ τοῦ ἐφ' ἡμῖν λόγοις, καὶ
ἐν τῇ τοῦ ῥητοῦ τοῦ ἐκάμου ἐξηγήσει· μὴ ζήτει τὰ
γινόμενα γίνεσθαι ὡς θέλεις· λεγέσθω δὲ καὶ νῦν
συντομώτερον. ὅτι ὁ θεὸς πηγὴ καὶ ἀρχὴ πάσης
ὢν ἀγαθότητος· οὐ τὰ πρῶτα ἀγαθὰ μόνα παρή-
γαγεν, ὅσα αὐτοαγαθότητές εἰσιν· οὐδὲ τὰ μέσα
μόνα μετὰ τούτων· ὅσα ἐν τῷ ἀγαθῷ μένει ἀδιάγωγα·
ἀλλὰ καὶ τὰ ἔσχατα, ὅσα καὶ παρατρέπεσθαι πέ-
φυκεν ἤδη ἀπὸ τοῦ κατὰ φύσιν, καὶ τοῦ ἀγαθοῦ
ἐπὶ τὸ παρὰ φύσιν· καὶ τοῦτό ἐστιν ὃ λέγομεν κακόν.
γὰρ μετὰ τὰ ἀΐδια σώματα, τὰ ἀεὶ κατὰ φύσιν
ἔχοντα· καὶ τοῦ ἀγαθοῦ ἀεὶ ἐνιδρυμένα, ὑπέστη
τὰ γινόμενα καὶ φθειρόμενα· καὶ μετὰ τὰς ψυχὰς
τὰς ἐν τῷ ἀγαθῷ ἀεὶ ἱδρυμένας, ὑπέστησαν αἱ παρα-
τρεπόμεναι ψυχαί· ἵνα ἅμα μὲν ὁ πλοῦτος τῆς
τοῦ παράγοντος ἀγαθότητος πάντα παραγάγῃ τὰ ἀγαθὰ,
ὅσα δυνατὸν ἦν ὑποστῆναι· ἅμα δὲ τέλειος ὁ κόσμος
ἀποτελεσθῇ· μὴ τὰ πρῶτα μόνα καὶ τὰ μέσα ἔχων,
ἀλλὰ καὶ τὰ ἔσχατα· ὅπερ ἴδιόν ἐστι τῆς ἀγαθότητος·
ἅμα δὲ εἰ μὴ τὰ πρῶτα ἢ τὰ μέσα πάντα ἀγαθὰ
ὄντα, ἔσχατα ἦν, ἄτιμα ἂν εὑρέθη καὶ ἀδρανῆ· καὶ
μηκέτι γινομένων καὶ φθειρομένων· ὑπερέχοντα
τῶν τοιούτων· ἀλλὰ τὰ γινόμενα καὶ φθειρόμενα.
τοιαῦτα γὰρ ἀνάγκη τὰ ἔσχατα εἶναι· ἅμα δὲ καὶ
διαιωνιζομένων τοιούτων ὄντων τῶν πρώτων καὶ τῶν
μέσων· τῶν μὲν, καὶ ταῖς οὐσίαις καὶ ταῖς ἐνεργείαις
ἀμεταβλήτων· τῶν δὲ, τὴν μὲν οὐσίαν ἀμετάβλητον
ἐχόντων· κατὰ τὸ πῶς δὲ μεταβαλλόντων τοῖς μὲν ἐσ-

μὴν ὑπομένει τὰ ἔσχατα ὑπὸ δίκην ἀπὸ τῆς τοσαύτης περιτροπῆς· καὶ κατ' οὐσίαν ἡ δὴ μεταβάλλονται, καὶ παρὰ φύσιν διατίθενται· διὰ δὴ τοὺς λογισμοὺς τοὺς δὲ καὶ ἄλλους δηλονότι· πολὺ τούτων σεμνοτέρους ὑπέστη ταῦτα ὑπὸ δαιμόνων· καὶ ὁ θνητὸς τόπος ἐν ᾧ χώραν ἔχει ἡ τοῦ ἀγαθοῦ παρατροπή· διὰ τὸ δεύτερον καὶ τὸ ἔσχατον ἀγαθοῦ ὑποστῆναι· τὸ δὲ ἔσχατον ἐξ ἀνάγκης τοιοῦτον ἐστὶν οἷον καὶ παρατρέπεσθαι· καὶ διὰ τοῦτο, ἐν τοῖς ὑπὲρ τὸν τόπον τοῦτον οὐδέν ἐστι κακόν· ὅτι ἡ τοῦ κακοῦ φύσις, παρατροπή τίς ἐστιν αὐτοῦ ἐσχάτου ἀγαθοῦ· τοῦ πεφυκότος παρατρέπεσθαι. ἐνταῦθα ἐστὶν ὅπου τὸ ἔσχατον ἀγαθόν· διὸ καὶ ἡ ψυχὴ τὴν οὐσίαν εὐσταθεστέραν καὶ ἀμετάβλητον ἔχουσα· ὅταν μὲν καθ' ἑαυτὴν ὑπάρχῃ, οὐδαμῶς μετέχει κακοῦ· πεφυκυῖα δὲ ἐν τούτῳ γίνεσθαι τῷ τόπῳ κατὰ σχέσιν· καὶ τοῖς ἐνταῦθα συμπλέκεσθαι σώμασι· προνοίᾳ τοῦ πατρὸς καὶ δημιουργοῦ τῶν ὅλων· καὶ τὰς τοιαύτας ψυχὰς παραγαγόντος· ἵνα τὰ ἔσχατα συνδεθῇ τοῖς πρώτοις διὰ τῶν ἀλύτων δεσμῶν τῆς ζωτικῆς συνοχῆς· τοῦ κακοῦ ἐνταῦθα κατὰ τὴν παρὰ φύσιν ἑαυτῶν διάθεσιν νόσοις καὶ φθοραῖς τοῦ ἐπιβάλλοντος αὐτοῖς κακοῦ δοκεῖ μεταλαμβάνειν· οὐκ ὄντος οἶμαι κακοῦ τούτου, ἀλλ' ἀγαθοῦ μᾶλλον τοῖς σώμασι· τὰ γὰρ σύνθετα ὡς ἐκ τῶν ἐξ ἐναντίων συγκείμενα μαχομένων τε ἀλλήλοις, καὶ ἐν ἀλλοτρίοις τόποις ταλαιπωρούμενα· ἀπαλλάττεται τοῦ μόχθου τῇ διαλυόμενα· καὶ τὰ ἁπλᾶ ἔτι μᾶλλον καὶ ἀθανάτης μάχης ἐλευθερούμενα· καὶ τοῖς οἰκείοις τόποις

ταῖς οἰκείαις ὁλότησι· πρὸς ἐκείνας μὲν ἀποδιδομένων· κἂν μεταβάλλῃ δὲ εἰς ἄλληλα, οὐδὲν ἔχει κακὸν οὐδὲ τοῦτο· γίνεται γὰρ ἕκαστον ὅπερ πρότερον ἦν· τὸ γὰρ ὕδωρ εἰς ἀέρα μεταβάλλον, ἐξ ἀέρος πάλιν ὕδωρ γίνεται· τὸ δὲ μέγιστον, ὅτι καὶ ἡ τῶν συνθέτων διάλυσις καὶ ἡ τῶν ἁπλῶν εἰς ἄλληλα μεταβολὴ ἀγαθόν ἐστι τοῖς ὅλοις, εἴπερ ἡ ἄλλου φθορὰ ἄλλου γένεσίς ἐστι· καὶ τοῦτο αἴτιον γίνεται τοῦ μένειν ἀνέκλειπτον τὸν τῆς γενέσεως κύκλον· ὁρῶμεν δὲ ὅτι καὶ ἡ φύσις πολλάκις καὶ ἡ τέχνη ὡς πρότερον εἴρηται, τῶν μερῶν διὰ τὸ ὅλον καταφρονεῖ· ἡ μὲν, τὰ ῥεύματα καὶ τὰ ἀποσκήμματα εἰς τοὺς ἀκυρωτάτους τόπους ἐκ τῶν κυριωτέρων ἀπωθουμένη· ἡ δὲ, τέμνουσα καὶ καίουσα καὶ ἐκκόπτουσα τὸ μέρος πολλάκις διὰ τὴν τοῦ ὅλου σωτηρίαν· ὥστε τὰ τοῖς σώμασι συμβαίνοντα ἀγαθὰ μᾶλλον ἢ κακὰ ῥητέον· καὶ τὸν αἴτιον αὐτῶν ἀγαθῶν ἀλλ' οὐ κακῶν αἴτιον· καὶ γὰρ τὰ μὲν ὅλα τῶν ἁπλῶν ἤγουν σωμάτων, οὐδὲν ἔχει κακὸν, ἀΐδια γὰρ αὐτὰ ὄντα· τὸ δὲ ἐν τοῖς μέρεσι δοκοῦν εἶναι κακὸν, πλέον μὲν ἔχει τὸ ἀγαθὸν ἐν αὐτοῖς τοῖς μέρεσιν εἴρηται· τοῖς τε ἁπλοῖς καὶ τοῖς συνθέτοις· πρὸς δὲ τὸ τῶν ὅλων ἀγαθὸν ἀναφερόμενον ἀγαθὸν γίνεται τελέως· καὶ διὰ ταῦτα μὲν οὖν οὐκ ἂν εἴη κακὸν ἡ τῶν σωμάτων παρὰ φύσιν διάθεσις, πανταχόθεν ἀγαθυνθεῖσα· εἰ δὲ φιλονεικεῖ τις ὡς εἴρηται καὶ τοῦτο πρότερον· καὶ καθ' αὑτὴν ἀγαθὸν ὡς παρὰ προηγούμενον τοῦ κατὰ φύσιν μὴ κακὸν λέγειν ἐπεὶ κεῖται διὰ τὴν ἔννοιαν τῶν ἐχομένων διαιρεθέντων περὶ τοῦ κακοῦ ὡς τοῦ ἀγαθοῦ παντὸς τῆς ὡς ἐναντίον· ἀλλ' ἀναγκαῖον μᾶλλον ὡς καθ' αὑτὸ μὲν μὴ ὂν αἱρετόν· πολλῶν δὲ μοιρῶν ἐστὶ γενόμενον εἰς τὸ καθ' αὑτὸ αἱρετόν.

ἀλλὰ τῇ πρὸς τὸ ἀγαθὸν ἀναστάσει καὶ αὐτὸ ἀγαθὸν ἔσται.
ἔστιν ἀγαθὸν μέν τι καὶ αὐτό· τὸ γὰρ ὁπωσοῦν
αἱρετόν· καὶ γὰρ τομὴν καὶ καῦσιν αἱρούμεθα· καὶ
μισθὸν ὑπὲρ αὐτῶν τελοῦμεν· καὶ χάριν ὁμολογοῦμεν
τοῖς ἰατροῖς· οὐκ ὂν δὲ κακὸν αὐτὸ ἐνομίζομεν
ἀγαθὸν, ἀλλ' ὠφέλιμον ἐστί· καὶ δευτέρας τοῦ ἀγαθοῦ
τάξεως οὐ μὲν προηγουμένως· ἀλλὰ κατὰ δεύ-
τερόν τινα λόγον, ἀγαθὸν ὑπάρχον· ὥστε καὶ ὁ
τούτου ποιητής, οὐδαμῶς ἂν εἴη κακοῦ αἴτιος, ἀλλ'
ἢ ἀγαθοῦ ἢ ἀναγκαίου δευτέρου τινὸς ὄντος καὶ αὐτοῦ
ἀγαθοῦ· καὶ φανερῶς καὶ αὐτοῦ ἀπὸ τῆς πηγῆς τῶν
ἀγαθῶν καθ' ὕφεσιν ἀπορρέοντος· καὶ περὶ μὲν τοῦ
ἐν τοῖς σώμασι κακοῦ· καὶ τῆς αἰτίας αὐτοῦ, ἀρ-
κείτω τὰ εἰρημένα πρὸς τὸ παρόν· ἐπεὶ δὲ καὶ
μάλιστα καὶ ἁμαρτωλὰ δοκεῖ τὰ τῆς ἀνθρωπίνης ψυχῆς
πταίσματα· εἴρηται μὲν καὶ περὶ τούτων πρό-
τερον· οὐδὲν δὲ κωλύει καὶ νῦν τούτων· τήν τε
φύσιν καὶ τὴν αἰτίαν ἰχνεῦσαι· καὶ ῥητέον· ὅτι
αἱ μὲν τῶν κρειττόνων ἡμῶν ψυχαὶ, ἀεὶ ἄνω στᾶσαι
ἐν τῷ ἀγαθῷ διαιωνίως ἱδρυμέναι, οὐδέ-
ποτε οὐδὲν ἔχουσι κακόν· αἱ δὲ τῶν ἀλόγων
ζώων ψυχαὶ μέσαι οὖσαι τῶν ἀνθρωπίνων· καὶ τῶν
ἐν τοῖς φυτοῖς κατερριζωμένων ψυχῶν· κατὰ
μὲν τὸ σωματοειδὲς αὐτῶν, ὅμοιον ἔχουσι τοῖς
σώμασι τὸ κακόν· καθόσον δὲ ὀρέξεις ἔχουσί τι-
να καὶ ὁρμὴν τὸ ἐν αὐταῖς κακόν· τῷ τῶν ἀνθρωπίνων ψυχῶν
κακῷ ἔοικε· καὶ ἀπὸ τῶν περὶ ἐκείνου ῥηθησο-
μένων καὶ τοῦτο γνωσθήσεται· ἡ γὰρ ἀνθρωπίνη ψυχὴ
μέση περιελθοῦσα τῶν τε ἀεὶ ἀνωμένων ψυχῶν
ψυχῶν· διά τε τὴν ἐν τῇ ψυχικῇ οὐσίᾳ ἀκρότητα·

διὰ τὴν τοῦ νοῦ μέθεξιν· καὶ τῶν ἀλόγων κάτω διὰ τὴν
πρὸς τὸ σῶμα συμπλοκὴν τῆς ἀλόγου ζωῆς· καὶ ἔστιν
δεσμὸς ζωτικὸς γινόμενος τῶν, περὶ ἀμφοτέρων κατ-
διὰ τῆς αὐτεξουσίου αἱρέσεως· ποτὲ μὲν πρὸς ἐ-
κεῖνα, ποτὲ δὲ πρὸς ταῦτα ὁμοιοῦται· ἀλλ' ὅταν
μὲν ἄμωμον ἢ κακοῦ παντὸς ἀμέτοχος ἐστὶν,
ἐν ἀγαθῷ ἱδρυμένη· ἀπονεύσασα δέ ποτε πρὸς
τὴν μακαρίαν ἐκείνην διαγωγὴν· καὶ ταῖς ἀπορρήτοις
καὶ ἀλήκτοις ἐκείναις θεάμασι διὰ τὸ πεφυκέναι
καὶ πρὸς τὸ κάτω ποτὲ ῥέπειν· ὅταν ἐθέλῃ ταύ-
την ἀρχὴν ἔχων τῆς ὁποιασοῦν κακίας τὴν αὐτοθελῆ
κάθοδον εἰς τὸν τοῦ θνητοῦ τόπον· κἂν φύσει ᾖ
ἀμφίβολον ἔλαχεν· οὐκ ἀναγκαζομένη κατὰ σύν-
θεσιν· ἀλλ' οὕτως ὑπέστη· ὡς ὅταν αὐτὴ θέλῃ
κατιέναι τε καὶ ἀνιέναι· καὶ τί θαυμαστὸν τοῦτο
ἐπὶ ψυχῆς αὐτοκινήτου κατ' οὐσίαν· ὁπότε καὶ τῶν
ἀλόγων ζώων τὰ ἀμφίβια· ὅσα καὶ ἐν ὕδατι
καὶ ἐν γῇ πέφυκε διάγειν. φύσιν μὲν ἔχοντα αὐτὴν·
κατὰ δὲ τὴν οἰκείαν ὄρεξιν μεθίστανται ἑκατέ-
ρωσε οὐκ ἀναγκαζόμενα ὑπό τινος· ἀλλ' ὅταν
αὐτὰ προθυμηθῇ· καταπαύουσα δὲ ἡ ψυχὴ τὴν
σχέσιν ἐπὶ τὸν θνητὸν τοῦτον τόπον· καὶ μέλλουσα
θνητῷ συμπλέκεσθαι σώματι· καὶ ζῷον ἐν θνη-
μετ' αὐτοῦ συμπλοκῆς ποιεῖν, ἀλόγους προυβάλλετο
ζωάς· τὰς μὲν γνωστικὰς αἰσθήσεις τε καὶ φαν-
τασίας· τὰς δὲ ὀρεκτικὰς, θυμὸν καὶ ἐπιθυμίας·
δι' ὧν τὸ θνητὸν ζῷον ἔμελλε γνῶσιν τε ἔχειν τῶν
ἑαυτῷ συστοίχων· ἣν ἔχει καὶ τὰ ἄλλα ζῷα· καὶ τὸ
ἀπορρέον διὰ τροφῆς ἀνυφαίνειν· καὶ διὰ
τῆς τοῦ ὁμοίου γεννήσεως, τὴν ἀϊδιότητα τοῦ
γένους φυλάττειν.

καὶ τοῦ καλλωπίζοντος ἀμείψασθαι· ἄχρι οὖν καὶ ὑπὲρ ξε
τοῦ θνητοῦ ζώου· μὴ συμπληρωθέντος τοῖς ἀλόγοις
ταύταις δυνάμεσι· τίς γὰρ δὴ καὶ μάλιστα τῶν
καθαρειοτέρων ἠνέσχετο· τὸ τοσοῦτον χρεὼν ἐᾶν //
καὶ ἀπὸ παντὸς ὡς ἄλογον ζῶον μὴ ἐρεθιζόμενος
ὑπὸ τῆς ἀλόγου ὀρέξεως· τίς δ' ἂν κινηματικὴν
τὸ τοσοῦτον χρεὼν ἐβάδισε· μὴ τῆς παρούσης φρον-
ταύτης ἐπιθυμίας δ' ἂν ἀφλεγούσης· καὶ τῆς τροφῆς
γενομένης διαδοχῆς· ἀλλὰ ταῦτα μὲν ἡμῖν καὶ πρότερον
εἰρημένα, ἀρκεῖ δηλοῦσαι· ὅτι πᾶσαι αὐτὸ τὸ ἀγαθὸν
καὶ πρὸς σύστασιν τοῦ ζώου, αἱ ἄλογοι ὀρέξεις ἐδόθησαν·
καὶ οὕτως οὐδὲν κακὸν ἀναφαίνεται· ἡ δὲ λογικὴ
ψυχή, κρείττων οὖσα κατ' οὐσίαν τοῦ τε σώματος
καὶ τῆς ἀλόγου ζωῆς· καὶ ἀρχικὴν ἔχουσα πρὸς
ταῦτα φύσιν· ὅταν μὲν φυλάττῃ τὴν πρὸς αὐτὰ
τὴν ἑαυτῆς τάξιν· ἐξηρημένη τε αὐτῶν καὶ ὡς
ὀργάνοις κεχρημένη· καὶ τὸ ἀγαθὸν τῆς ὑπουργί-
αὐτῶν μετὰ τὸ ἑαυτῆς ἀγαθὸν ἀναφέρουσα· τὸ πάντα
ἀγαθόν ἐστι, καὶ οὐδαμοῦ κακὸν οὐδὲν παραφύεται·
ἐὰν δὲ καὶ αὐτῆς τῆς πρὸς τὸ κρεῖττον ὁμοιότητος
ἐπιλαθομένη ἡ ψυχή· τὸ μὲν ἀρχικὸν ἀποβάλη
σκῆπτρον τῆς ἀρχικῆς δυνάμεως ἀμελήσασα·
ῥέψη δὲ ὅλη πρὸς τὸ σῶμα πρὸς τὰς ἀλόγους ζωάς· ὅπερ
παθοῦσα μάλιστα τὸ φθοροποιὸν καὶ πληκτικὸν τῆς ἡ-
δονῆς τῶν ἀλόγων ὀρέξεων· τοῦ καθαροῦ καὶ
προσήκοντος τῶν λογικῶν προτιμήσασα· καὶ ὅλη
ἐνδοῦσα τῇ ἀλογίᾳ ὡς ἐκείνην ἑαυτὴν ἄγεσθαι·
τό τε παρὰ φύσιν ἀλόγως συνεργούσης τῆς λογικῆς
καὶ παρὰ τὴν ἑαυτῆς ἀξίαν· τῆς ἀρχικῆς καὶ δεσ-
ποτικῆς αἱρουμένης δουλεύειν καὶ ἄρχεσθαι· τὸ

τὸ κακὸν ἀφύεται· οὔτε ἐν τῷ κρείττονι καθ' αὑτὸ
οὔ τι χώραν ἔχον, οὔτε ἐν τῷ χείρονι ἐφ' ἑαυτοῦ
μένον τι· ἀλλ' ὁπόταν τὸ κρεῖττον τῷ χείρονι συμ-
πλακὲν ἀμάρτῃ τὴν πρὸς τὸ χεῖρον ἀντὶ τῆς πρὸς
τὸ κρεῖττον ὁμοιότητα ἀναδέξηται· τοῦτο δὲ πάσχον οὐκ
ἀναγκαζομένη ὑπό τινος· ἀλλ' αὐτὴ αἱρουμένη
κατὰ τὸ αὐτεξούσιον αὐτῆς καὶ τὸ ἐφ' ἡμῖν· ἡ γὰρ
αἵρεσις, ἐφ' ἡμῖν· ἢ μέτρον ἔνδοθεν ὁ κίνημα·
καί μοι πρόσεχε τὸν νοῦν ἐνταῦθα· μή τι παρα-
λογίσηται αὐτὸς καὶ σὲ σοφῶς ἐξαπατήσῃ τὸν
τυγχάνοντα· ὅτι μὲν γὰρ ἡ αἵρεσις καὶ προαίρεσις
τῆς ψυχῆς οἰκεῖον οἰκεῖον ἐστὶν ἔνδοθεν κίνημα
καὶ ὑπ' οὐδενὸς ἔνδοθεν ἀναγκαζόμενον καὶ πρόδηλον
φανές ἐστιν οἶμαι καὶ ἀρκεῖται· καὶ δέδεικται πρόσθεν·
καὶ ὅτι κατὰ αἵρεσιν καὶ προαίρεσιν ἡ ψυχὴ ποτὲ μὲν
τὸ κρεῖττον ἐκλέγεται, ποτὲ δὲ τὸ χεῖρον ἀντὶ τοῦ
κρείττονος δέδεικται οἶμαι σαφῶς· ἐκ τοῦ καὶ τὸν
θεὸν καὶ τοὺς καλῶς κειμένους νόμους καὶ τῶν ἀνθρώπων
τοὺς ἔμφρονας· τὰς ἀγαθὰς καὶ κακὰς τῶν ἀνθρώπων
πράξεις, μὴ τοῖς ἔργοις κρίνειν. ἀλλὰ ταῖς προ-
αιρέσεσι. καὶ τιμᾶν καὶ κολάζειν· καὶ ἐπαινεῖν καὶ
ψέγειν· ἐς μόνην τὴν προαίρεσιν ἀποβλέποντας.
ὡς αὐτεξούσιον καὶ ἐφ' ἡμῖν οὖσαν. διὸ τὰ βίᾳ
πραττόμενα. κἂν χαλεπώτατα ᾖ, συγγνώμης ἀ-
ξιοῦσι, καὶ τὴν ἁμαρτίαν, οὐ τῷ πράττοντι. ἀλλὰ
τῷ βιαζομένῳ λογίζονται. διότι οὗτος μὲν κατὰ
προαίρεσιν ἐβιάσατο· ἐκεῖνος δὲ παρὰ προαί-
ρεσιν ἔπραξεν· ἀρχὴ τοῦ κακοῦ. ἡ προαίρεσις
καὶ αἰτία τῆς ψυχῆς αὐτοθελοῦς οὔσης ἐνεργεῖν, καὶ
οὐ βιαζομένης· τί ἂν ἄλλο τοῦ κακοῦ χρημα-
τίζοι αἴτιον

ἢ τὴν ψυχήν· καὶ αὐτὴν δὲ οὐχ ὡς κακοῦ· οὐδεὶς γὰρ
αἱρεῖται τὸ κακὸν ὡς κακόν. ἀλλ' ὡς φαινομένου
μὲν ἀγαθοῦ· κρυπτομένου δὲ ἐν αὐτῷ τὸ κακόν. ὅπερ
ἀνάγκη μετὰ τοῦ φαινομένου λαβεῖν ἀγαθοῦ.
δέδεικται καὶ περὶ τούτων πρότερον· ἔχοντες οὖν
τὴν αἰτίαν τοῦ κακοῦ, λαμπρᾷ τῇ φωνῇ βοῶμεν.
ὅτι ὁ θεὸς αἰτίας ἀναίτιος· διότι τὸ κακὸν ἡ ψυχὴ
ἐνεργεῖ αὐτεξουσίως. καὶ οὐχ ὁ θεός· εἰ μὲν γὰρ βίᾳ
τὸ κακὸν ἔπραττεν ἡ ψυχή, τάχα ἄν τις τὸν θεὸν ᾐτι-
άσατο· τὸν ἂν αἴτιον αὐτὴν συγχωρήσαντα βι-
ασθῆναι· καί τοι οὐδὲ κακὸν ἦν τὸ βίᾳ πραττό-
μενον· κατὰ προαίρεσιν δὲ αὐτὸ αἱρουμένη.
αὐτὴ ἂν αἰτία λέγοιτο δικαίως· εἰ γὰρ λέγοι τις
μὴ δὲ αὐτῇ συγχωρεῖν τὸν θεὸν ὅλως μὴ αἱρεῖσθαι
τὸ κακὸν ἐν τῷν δύο λέγει· ἢ ὅτι πεφυκυῖαν
αὐτήν. ποτὲ μὲν τὸ ἀγαθὸν αἱρεῖσθαι, ποτὲ δὲ
τὸ κακόν, ἀναγκάζειν ἔδει μηδέποτε αἱρεῖσθαι
τὸ κακόν· ἢ ὅτι τοιαύτην ἔχειν ὑποστῆσαι, ὡς μὴ
δὲ πεφυκέναι ποτὲ τὸ κακὸν αἱρεῖσθαι· ἀλλὰ τὸ
μὲν πρῶτον αὐτόθι ἄλογον· μάτην γὰρ ἡ αἵρεσις
ἐφ' ἑκάτερα πεφυκυῖα ἐγίγνετο· εἰ μὴ δέοι ποτὲ
δεῖξαι αὐτὴν πρὸς ἑκάτερον ἐνεργεῖν· ἀλλ' οὐδὲ αἵρεσις
ἦν ἔτι παρούσης ἀνάγκης· ἐναντίως γὰρ ἔχει
πρὸς τὴν ἀνάγκην ἡ αἵρεσις· ὁ δὲ δεύτερος λόγος
πρῶτον μὲν ἐμμονότατω. ὅτι οὐδεμία τοῦ κακοῦ
οὐδέποτε ἐστὶν αἵρεσις· ἕπεται ὅτι συμβουλεύειν
ἔοικε τὴν αὐτεξούσιον ταύτην τῆς ψυχῆς οὐσί-
αν αὐτοθελοῦς καὶ ἀναβρίας· ποτὲ μὲν τὸ ἀληθὲς
ἀγαθὸν αἱρουμένην, ποτὲ δὲ τὸ φαινόμενον
ἀπατηθεῖσαν ἀπὸ τοῦ κόσμου· ἢ ὡς μάλιστα κακόν

οὐδέν, καὶ οὐκ ἐλογίζετο πόσων ἀγαθῶν νομίζομεν
ἐν τῷ κόσμῳ· μεῖζόν τε καὶ τιμιώτερόν ἐστιν ἀγαθ(ὸν)
πάντων ἀγαθῶν τῶν ὑπὸ θεῶν ἡμῖν ὑπερέχον τοῦ· καὶ
οὐδεὶς ἂν ἕλοιτο φυτὸν ἢ ζῷον ἄλογον ὁ ποιούμενος γε-
νέσθαι μᾶλλον ἢ ἄνθρωπος· ὅσῳ ἐμέλλετο τῶν ἐλαττόνων
ἀγαθῶν ὑπὸ θεοῦ παραγινομένων, τὸ μεῖζον ἐκείνων,
μὴ παραιτεῖσθαι· ἐπεὶ τοῦτο ὅπερ φέρηται καὶ πρό-
τρόπον ἀναιρουμένης ἀπὸ τῶν ὄντων τῆς ἐφ' ἑκά-
τερα ῥοπῆς τῶν ψυχῶν· ἀνάγκη καὶ τὰς πολυτί-
μους τοῖς ἀνθρώποις ἀρετὰς συναναιρεῖσθαι· καὶ τὸ εἶδος
ὅλον τὸ ἀγαθόν· ὃ γάρ ἐστιν ἔτι σωφροσύνη καὶ δι-
καιοσύνη ἀρετή· ἃ μὴ καὶ παρατρέπεσθαι πέ-
φυκεν· ἄπερ εἰ ἄτρεπτος τε γένοιτο [illegible] τις
ἂν ἦν ἢ θεία καὶ οὐκ ἔτι ἀρετή· ἐκ δὴ τούτου τοῦ λό(γου)
ἀναγκαία δείκνυται ἡ παρατροπὴ καὶ τὸ κατ' αὐτὴν
λεγόμενον κακόν· ὅπερ ἄνευ ταύτης οὐκ ἂν πα-
ρῆλθον εἰς τὸ ὂν αἱ ἀρεταὶ αἱ ἀνθρώπιναι· οὐδὲ τὸ εἶδος
τοῦ ἀγαθοῦ· ὥστε καὶ ὑπὸ θεοῦ λέγοιτ' ἂν παραχθῆναι
τὴν παρατροπὴν ταύτην· καθόσον ἀναγκαία ἐστὶ
πρὸς τὴν τῶν τοσούτων ἀγαθῶν τῶν παρατρέ-
πεσθαι πεφυκότων ὑπόστασιν· εἰ κακοῦ λέγειν
αἴτιον αὐτὸν νομίζοι τὸ δίκαιως· καὶ γὰρ τοὺς ἰατροὺς
σηπτὸν τὰ ἀποστήματα· καὶ τέμνοντα τὸ σῶμα
κακοῦντα· καὶ ἀποκόπτοντα μέλεια· οὐδεὶς νόσου
λέγει ποιητικὸν, ἀλλ' ὑγείας· ἐπειδὴ ἀδύνατον
ἦν χωρὶς τούτων ἐκείνους ὑγιασθῆναι τοὺς ἀνθρώπους·
ἀλλὰ καὶ ἡ θεία δίκη, τὸ τιμωρὸν εἶδος τῆς δι-
καὶ ὥσπερ τὸ ἐπιτρῖβον καὶ αὖξον τὰ πάθη
τῆς ψυχῆς· μέχρι τινὸς τοιοῦτόν ἐστι, διὰ τὸ
μὴ δύνασθαι ἄλλως ἰαθῆναι· ἃ μὴ ἐμβ[illegible] πρότερον

ὃ πολλάκις ἐνίοτε κατὰ τὴν μανίαν ἑαυτῆς ὄρεξιν. διὸ καὶ οἱ παιδαγωγοῦντες καλῶς, οὐ μανθάνοντος ἂν αὐτοῦ τι σιωπῶσι ταῖς τῶν παίδων ὀρέξεσιν· ἀλλ' ἐνδιδόασι πολλάκις. καὶ ἐμφοροῦσιν ἐνίοτε, ὡς μὴ δυναμένης τῆς ψυχῆς ἐξ ἀνάγκης δέξασθαι τελέως ταῦτα τὰ πάθη· εἰ μὴ ἐνεργήσοι ποτὲ κατ' αὐτὰ καὶ κορεσθῇ τῆς ἐνεργείας. καὶ οὐ τὸν παιδαγωγὸν τοῦτον, οὔτε τὴν θείαν δίκην κακοῦ λεγόμενον αἰτίαν, ἀλλ' ἀγαθοῦ· διότι τοῦ τοῦ ἀγαθοῦ ἕνεκα γίνεται. καὶ γὰρ τὰ πρὸς σωφροσύνην τείνοντα ἐπιτηδεύματα σωφρονικὰ λέγομεν. καὶ τὰ πρὸς ὑγείαν ὑγιεινά. πᾶσα γὰρ πρᾶξις εἰδοποιεῖται τῷ τέλει οὗ ἕνεκα γίνεται. ὥστε ὁ θεὸς τοῦ ἀναγκαίου τῆς παρατροπῆς εἰ γένοιτο αἴτιος, οὐ κακῶς λέγοιτο δικαίως αἴτιος εἶναι. πῶς καὶ αὐτοῦ δὲ τοῦ ἀναγκαίου τῆς παρατροπῆς αἴτιος ἀξιοῦν ἰδεῖν. ὅτι οὐχ ὡς αὐτὸς ἐνεργῶν τὴν παρατροπὴν μὴ γένοιτο. ἀλλ' ὡς ἐνδιδοὺς τὸ αὐτεξούσιον τὸ τοιοῦτον τῆς ψυχῆς. ἵνα καὶ χώρας ἐν τῷ παντὶ τὸ τοιοῦτον εἶδος ἔχῃ. καὶ τὰ ἀγαθὰ τοσαῦτα ὑποστῇ μὴ δυνάμενα χωρὶς τῆς παρατροπῆς ὑποστῆναι. αἴτιος δὲ κυρίως ἐστὶ τῆς αὐτεξουσίου ταύτης οὐσίας ἀγαθῆς ὅλης. καὶ τῶν ἀγαθῶν τῶν ἐν τῷ κόσμῳ τιμιωτέρας. ἧς ἐνέργεια παθητική ἐστιν ἡ παρατροπή. θελούσης καὶ οὐ κατηναγκαζομένης. ὅτι δὲ ἀγαθή ἐστιν ἡ αὐτεξούσιος αὐτὴ οὐσία, κἂν παρατρέπεσθαι ποτε πέφυκε· δηλονότι καὶ ἐξ ὧν οἱ τὴν ἀρχὴν τοῦ κακοῦ τιθέντες, διὰ τὸ ἀναίτιον τοῦ κακοῦ τὸν θεὸν ἀποφαίνειν λέγουσι. καὶ γὰρ καὶ οὗτοι.

οὐ μόνον παραλέγεσθαι τὴν ψυχὴν ὑπὸ τοῦ θεοῦ λέ-
γοντες· ἀλλὰ καὶ μέρος αὐτὴν ἢ μᾶλλον τοῦ θεοῦ νομί-
ζοντες εἶναι, πεφυκέναι αὐτὴν κακύνεσθαι
παραδιδόασιν. φασὶ δ' οὖν κατὰ προαίρεσιν αὐτὴν
κακύνεσθαι λέγουσιν· ὅπερ ἀκόλουθα τοῖς λεγομένοις
ἀφῆκεν εἶναι· τὸ γὰρ νικῆσαι τὸ κακὸν ἢ ὑπ' αὐτοῦ
ἡττηθῆναι· καὶ διὰ τοῦτο καὶ δίκας ἀπαιτεῖσθαι
τὸν ἡττώμενον· καὶ ἀμοιβῶν ἀξιοῦσθαι τὸν νι-
κήσαντα. ταῦτα γὰρ λέγοντες οὐκ ἀφίστανται
ὅμως ὅτι τούτοις οὐ δύναται συνᾴδειν τὸ ἔξωθεν
ὠθεῖσθαι πρὸς τὸ κακὸν τὴν ψυχὴν ἁπλῶς· ἀλλ' οὖν
εἴτε κατὰ προαίρεσιν αὐτὴν κακύνεσθαι λέγουσιν,
εἴτε ἔξωθεν ὠθουμένην, πεφυκέναι πάντως
κακύνεσθαι κακύνεται· ἀγαθὸν μὲν ἐπεφύκει, οὐκ ἂν
ἐκακύνθη· τοιγαροῦν οὔτε τὸ πρῶτον ἀγαθὸν κα-
κύνεσθαι λέγουσιν· ἐπειδὴ μὴ δὲ πέφυκεν, ὅλως,
οὔτε τὰ ἄλλα ἀγαθὰ τὰ προσεχῶς αὐτῷ συνόντα,
τὴν μερίδα τῆς ζωῆς ὥς λέγουσι καὶ τὸν δημιουργὸν,
καὶ τοὺς ἐκεῖ δαίμονας· ὥστε καὶ οὗτοι πεφυκέναι κα-
κύνεσθαι τὴν ψυχὴν ὑπὸ τοῦ θεοῦ παράγοντες, διὰ
τὸ μὴ κακὴν εἶναι τὴν τοιαύτην οὐσίαν, ἀλλ' ἀγαθήν·
οὐ λέγουσιν αἴτιον τοῦ κακοῦ τὸν θεὸν εἶναι. ἀλλὰ περὶ
μὲν τῆς τῶν κακῶν ὑποστάσεως ἀρκεῖ τοσαῦτα εἰρη-
μένα πρὸς τὸ παρόν· λοιπὸν δὲ ἔχεται τὴν τοῦ ἐπι-
κτήτου ῥῆσιν ἐπισκέψασθαι καὶ ἰδεῖν ὅπως τα-
ῖς τοσούτων εἰρημέναις περὶ τοῦ κακοῦ, δι' ὀλί-
γων αὐτὸς συλλαβῶν ἐπεδέξατο· τῆς γὰρ τῶν
ἡθῶν εὐφορίας περὶ τὴν αἵρεσιν τοῦ ἀγαθοῦ
καὶ τὴν ψυχὴν τοῦ κακοῦ κατὰ γινομένης· ἀναγκαῖον
ἦν ἀποδεῖξαι τὴν φύσιν τοῦ κακοῦ· καὶ μόνον πρὸς τὴν

τινα οὖσαν.

ὃ γάρ ἐστι πως καὶ οὐκ ἔστι· παρυπόστασις οἷον
ὃ οὐχ ὑπόστασις· διὸ καὶ φαμὲν τὴν κακίαν ὅτι προ-
ηγουμένην ὑπόστασιν οὐκ ἔχει· καὶ διὰ τοῦτο
οὐ διὰ ἔστι τινὶ ἀρετῇ· καὶ οὐδενί ἐστι σκοπὸς
ἡ παρυπόστασις αὐτῆς· ἀγαθὸν προηγουμένως
ἐγίνετο, πάντως δ' ἦν ὁ σκοπὸς τῷ ποιοῦντι.
ὁ γὰρ τῷ οἰκοδόμῳ τῷ οἰκίαν οἰκοδομοῦντι
σκοπός ἐστι καὶ τέλος ἡ οἰκία διὰ τὴν οἰκοδομήν·
ὁ τῷ τέκτονι ἡ θύρα διὰ τὴν τεκτονικήν. οὐδὲν
δὲ τοῦ κακοῦ ἕνεκα ποιεῖται· καὶ ἔστιν ὁ τῶν
ἐπικτήτου συλλογισμὸς ἐν βραχεῖ τοιοῦτος.
τὸ κακὸν ἀποτυχία σκοποῦ ἐστι· τὸ προηγου-
μένως κατὰ φύσιν ἐν τῷ κόσμῳ γινόμενον, σκο-
πός ἐστι τῷ ποιοῦντι. καὶ τέλος ἡ ἐπιτυχία αὐτοῦ.
ὃ ὅταν γένηται, τυγχάνει τοῦ σκοποῦ ὁ ποι-
ῶν· οὖν τὸ προηγουμένως κατὰ φύσιν ἐν τῷ
κόσμῳ γινόμενον, οὐκ ἔστιν ἀποτυχία σκοποῦ·
ἐπιτυχία γάρ ἐστι. τὸ δὲ κακὸν ἀποτυχία
σκοποῦ ἐστι, δῆλον ὅτι τὸ κακὸν οὐ γίνεται
προηγουμένως ἐν τῷ κόσμῳ. καὶ ὅτι μὲν ἀπο-
τυχία σκοποῦ ἐστι τὸ κακόν, δῆλον ἐκ τῶν
περὶ αὐτοῦ ῥηθέντων· σκοπὸν γάρ τις θέμενος
ὡς ἀγαθὸν τὴν ἡδονὴν τοξεύει ἐπ' αὐτήν, ὡς ἐπ' ἀ-
γαθόν· ἤτοι ἐπιτρέχει αὐτῇ βέλος ταχυτῆ-
τι τῇ τε φαντασίᾳ· καὶ μὴ ἐπιτυχὼν ἀγαθοῦ,
ἀλλὰ παραλλάξας αὐτό, καὶ παρατραπεὶς ἀπ' αὐτοῦ,
δηλονότι, ἀποτυγχάνει τοῦ σκοποῦ κακίων ὅμως.
ὅτι δὲ τὰ προηγουμένως ἐν τῷ κόσμῳ γινόμενα
σκοπὸς γίνεται τοῦ ποιοῦντος καὶ τέλος ἡ ἐπι-
τυχία αὐτῶν δῆλον ἐξ ὧν εἴπομεν περὶ τοῦ οἰκοδόμου

καὶ τοῦ τέλους μόνος· πᾶν γὰρ τὸ γινόμενον, σκοπὸς
τοῦ ποιοῦντός ἐστιν· εἰς ὃν ἀποβλέπων ὥσπερ
βέλη τὰς ἑαυτοῦ ἐνεργείας ἐκτείνει ὁ ποιῶν τοὺς·
καὶ τέλος ἔχει τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ· εἰ τοίνυν
οὕτως, οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται· διὰ τοῦ
τῆς φύσεως ὀνόματος τὸ κατὰ φύσιν καὶ προη-
γουμένως ὑφιστάμενον ἐδήλωσε· καὶ ὥσπερ οὖν τῶ
τις εἰσάξαι τὸν λογισμόν· τὴν ἐλάττονα πρό-
τασιν θεὶς διὰ τοῦ ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν
οὐ τίθεται· τοῦτο γὰρ σημαίνει ὅτι τὸ κακὸν ἀποτυ-
χία σκοποῦ ἐστι· καὶ παραλείπων τὴν μείζονα τὴν
λέγουσαν· ὅτι τὸ προηγουμένως ἐν τῷ κόσμῳ γινό-
μενον, οὐκ ἔστιν ἀποτυχία σκοποῦ· ἐπιτυχία γὰρ,
εἰς τὸ συμπέρασμα, ἐπήγαγεν ὅτι τὸ κακὸν οὐ γί-
νεται προηγουμένως καὶ κατὰ φύσιν ἐν τῷ κόσμῳ.
δύναται δὲ καὶ ὡς συνημμένον ἀκούεσθαι τὸ λῆμμα
τοιοῦτον· εἰ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται,
κακοῦ φύσις ἐν κόσμῳ οὐ γίνεται· καὶ ἡ τοῦ συνημ-
μένου δὲ ἀλήθεια δήλη· εἰ γὰρ σκοπὸς πρὸς τὸ ἀπο-
τυχεῖν οὐ γίνεται, κακοῦ φύσις ἐν κόσμῳ οὐ γίνεται·
εἰ γὰρ ἐγίνετο, σκοπὸς ἂν ἦν τῷ ποιοῦντι πρὸς
ὃν ἀποβλέπων ἐποίει· σκοπὸς δὲ πρὸς τὸ φεύγειν
αὐτό· φευκτὸν γὰρ τὸ κακόν· ὥστε οὐ πρὸς τὸ τυχεῖν,
ἀλλὰ πρὸς τὸ ἀποτυχεῖν αὐτοῦ ἐτίθετο· εἰ οὖν
σκοπὸς πρὸς τὸ ἀποτυχεῖν ἐπιτίθεται, οὐδὲ κακοῦ
φύσις ἐν κόσμῳ γίνεται: · Ἡ μὲν τὸ σῶμα, οὐ·
τίς ἐπέτρεψε τοῦ ὑπαντῆσαι τί ἡ γῆ ἀνέλαβεν:
Πολλὴν ὀργὴν ἀμετάποίησεν ἡ σύγκρισις τοῦ ἐπιτρέ- λε.
ποντος ἄλλου πρὸς ἐμὲ ἐπιτρέποντος· καὶ
τοῦ σώματός μου πρὸς τὴν ψυχήν μου· χάριν

ὑφ' ἑαυτοῦ βλάπτεσθαι ἢ πρὶν ὑπ' ἄλλου. ἄγαν
μᾶλλον δυσχεραίνομεν ὑπὸ φίλων βλαπτόμενοι
ἢ ὑπὸ τῶν τυχόντων διὰ τὴν φαντασίαν τῆς
οἰκειότητος· καὶ τὸ παρ' ἐλπίδας συμβαῖνον,
πολὺ ἂν ἀτοπώτερον εἴη τὸ αὐτὸν ἑαυτὸν βλά-
πτειν· καὶ εἰ τοῦ σώματος βλαπτομένου δυσχεραί-
νομεν, πολὺ μᾶλλον ἔδει δυσχεραίνειν τῆς ψυχῆς
ἡμῶν. εἰ δὲ τὸ μὲν ἄλλον τινὰ ἐπιτρέψαι τὸ
σῶμα ἡμῶν τῷ ὑπαντῶντι, ἡμεῖς ἐπιτρέψαι
δοκεῖ ἐστὶν ἐφ' ἡμῖν· τὸ δὲ ἡμᾶς ἐπιτρέψαι τὴν
γνώμην ἡμῶν τῷ τυχόντι· ἵνα ἐὰν ἐκεῖνος λοιδο-
ρήσῃ ἢ ὑβρίσῃ, αὕτη ταραχθῇ καὶ συγχυθῇ, ἡ-
μεῖς ἐπιτρέψαι τοῦτο παθεῖν ἐφ' ἡμῖν ἐστὶν ἀλη-
θῶς αἰσχύνης ἄξιον. τὸ δυσχεραίνειν μὲν τὸ μὴ
ἐφ' ἡμῖν μὲν ὄν, μήτε εἰς ἡμᾶς γινόμενον κακόν· ἐν-
διδόναι δὲ ἑκόντας τὸ ἡμέτερον κακὸν ἐφ' ἡμῖν
ὂν μὴ ἐνδοῦναι· καὶ καλῶς οὖν καὶ τοῦτο δυσχεραί-
νεις τούτου ἕνεκα. διότι δυσχεραίνομεν μὲν
καὶ ἀγανακτοῦμεν ἐφ' οἷς ἄλλοι ποιοῦσιν εἰς ἡμᾶς
κακοῖς· αἰσχυνόμεθα δὲ ἐφ' οἷς αὐτοὶ ποιοῦμεν εἰς
ἄλλους. ἔτι δὲ μᾶλλον αἰσχύνεσθαι χρή, ἐὰν εἰς
ἑαυτοὺς καὶ ἔτι μᾶλλον ἐὰν ἐφ' ἡμῖν ᾖ τὸ μὴ ποιῆσαι.
αἰσχύνεται δὲ ὅσῳ αἰσθόμενος τοῦ αἴσχους, τῶν
κατὰ προαίρεσιν οἰκείων ἁμαρτημάτων. τί
δ' ἂν εἴη καὶ ἄξιον τοῦ μὴ δύνασθαι τῆς παρατεθείσης
συνεργοῦ σημειώσεως ταύτης τὰς διαφορὰς ἰδεῖν:

λα Τὰ καθήκοντα ταῖς σχέσεσι παραμετρεῖται:

Καθήκοντά ἐστι τὰ γινόμενα κατὰ τὸν ἥκοντα
καὶ ἐπιβάλλοντα καὶ κατ' ἀξίαν προσήκοντα
ἑκάστοις· καὶ ταῦτά ἐστι τὰ τῆς δικαιοσύνης ἔργα.

ἄναι τὴν ὁρμὴν ὀρέξει τὴν περιέχουσης· ἔστι γὰρ διττὴ
οἰκειώσεως· ἡ μέν, ἀλλ' ὅτι διακρικὴ μὲν ἡ πρὸς τὰς ἀλλ-
ἀρετάς· ἡ δέ, πάσας ἐν ἑαυτῇ συλλαβοῦσα· δι-
καιοσύνη γάρ ἐστι τὸ κατὰ τὴν ἀξίαν ἑκάστοις ἀποδι-
δόναι· διὸ καὶ ἡ ἠθικὴ εὐαγωγίας καὶ ἡ πολιτικὴ
περὶ τὰ καθήκοντα ἀναστρέφονται· ἡ μὲν δι-
καιοσύνη ψυχῆς οὖσα, καὶ τὸ καθῆκον ἑκάστῳ
τῶν μερῶν τῆς ψυχῆς ἀφορίζουσα· ἡ δέ, δι-
καιοσύνη πόλεως καὶ αὐτὴ τῶν τῆς πόλεως μερῶν
ἑκάστῳ τὸ πρὸς ἀξίαν ἀποδιδοῦσα· παιδευθ-
τοῖς μὲν γοῦν ἀκροατὴν διὰ τῶν προτέρων πρα-
γμάτων· καὶ αὐτῶν περὶ τὰ καθήκοντα γινο-
μένων· ἐντεῦθεν λοιπὸν αὐτῶν τὴν τεχνικὴν
τὴν περὶ τὰ καθήκοντα παραδίδωσι· ὥστε ἀφο-
ρίσαντες αὐτὰ καὶ ἐργάζεσθαι· καὶ ἅπερ
ἄλλοι διὰ πολυστοίχων πραγματειῶν συνέταξαν·
οἱ μέν, περὶ καθηκόντων τὰς πραγματείας ἐπιγρά-
ψαντες· οἱ δέ, περὶ τῶν ἐν τοῖς πρακτοῖς καλῶν·
ὡς περὶ Νικόλαος ὁ Δαμασκηνός, ταῦτα οὗτος ἐν ὀ-
λίγοις στίχοις μετὰ δραστικῆς ἐμφάσεως καὶ ἐναρ-
γείας εἰ γοῦν σῆς τὰς ψυχὰς παραδέδωκε· τριττὰ
γὰρ τὰ καθήκοντα ἐστὶν ὡς καθόλου ἢ διελεῖν αὐτά·
τὰ μέν, πρὸς θεὸν καὶ ὅλως πρὸς τὰ ὅμοια· τὰ
δέ, πρὸς τὰ κρείττονα· τὰ δέ, πρὸς τὰ χείρονα·
τὰ δὲ ἴσως καὶ πρὸς ἡμᾶς αὐτούς· καὶ τούτων δὲ
ἕκαστον πολλὰς ἔχει διαφοράς· ὧν ταῖς ἀνείᾳ πρ-
ὡς αὐτὸς ἐπεξέρχεται, ἀπὸ τῶν πρὸς ἄλλους κα-
θηκόντων ἀρχόμενος· καὶ καλῶς δ' ἀθεῖς αὐτῶν ἀρχ-
δι δαοκ· πῶς δυνατὸν εὑρέσθαι τὰ καθήκοντα
ὡς οὔτε αὐτὰ καθήκει ἐπεὶ καὶ γῶν ἀποδιδοῦναι·

οὐδὲ πορίτῃ καὶ ξένῳ· οὐδὲ ἀσεβεῖ γε καὶ τῷ βλάψαντι·
ἀλλ' ἄλλοις ἄλλα· κατὰ τὴν τῶν σχέσεων διαφορὰν
ἣν πρὸς αὐτοὺς ἔχομεν. ἄλλη γὰρ σχέσις πρὸς πατέρα·
ὡς πρὸς αἴτιον μετὰ θεόν· καὶ ὁ λόγος τιμῆς καὶ ἀρχῆς·
καὶ ἄλλη πρὸς υἱὸν ὡς πρὸς αἰτιατὸν καὶ μέρος τῶν
ἡμετέρων· ἀλλὰ τί ποτέ ἐστιν ἡ σχέσις, δεῖ πρότερον
ἐννοῆσαι, καὶ οὕτω ταῖς διαφοραῖς αὐτῶν ἐπιστῆσαι·
ἡ τοίνυν σχέσις, ὡς κοινῶς εἰπεῖν, σύνταξίς ἐστι
τινῶν πρὸς ἄλληλα φυσικὴ ἢ προαιρετικὴ ὁμοίων
ἢ ἀνομοίων· ἡ μὲν συναγωγός, ἡ δὲ διαστατικὴ μαγνοίας
τῆς περιγραφῆς τῶν ἐν σχέσει ὄντων· μέση γὰρ
ἡ σχέσις ἐστὶ τῶν ἐχόντων τὴν σχέσιν· καὶ ἔχεται
ἀλλήλων κατὰ τὴν σχέσιν· ἢ μᾶλλον κατέχεται
ὑπ' ἀλλήλων· ὥστε καὶ διακριθέντα ἀπ' ἀλλήλων γενό-
μενα, μὴ τελέως ἀποσπασθῆναι· ἀλλὰ μένειν ἀ-
λλήλων ὄντα· διότι καὶ ἔστι καὶ λέγεται πρὸς ἄλληλα
ταῦτα τὴν σχέσιν ἔχοντα· ἔστι δὲ σύνταξις φυσική
ὁμοίων συμφοιτὸς ἢ τῶν ἀδελφῶν· διὸ καὶ ὁμοίως
πρὸς ἄλληλα ἀποδίδοται· ὁ γὰρ ἀδελφὸς ἀδελφοῦ
ἀδελφός· καὶ ὁ ἴσος ἴσου ἴσος· καὶ ὁ συγγενής,
συγγενοῦς συγγενής· καὶ ὁ πολίτης πολίτου πολίτης.
σύνταξις δὲ φυσικὴ ὁμοίως διαστατικὴ ἡ τῶν
ἀλλοτρίων κατὰ γένος· καὶ γὰρ καὶ αὕτη σύνταξις
ἐστὶ φυσικὴ καὶ καθ' ὁμοιότητα· καὶ λέγεται πρὸς
ἄλληλα καθ' ὁμοιότητα· ὁ γὰρ ἀλλότριος ἀλλοτρίου
ἀλλότριος· διαστατικὴ μέντοι ἡ σύνταξις· τὸ
γὰρ ἀλλότριον, χωριστικὸν τῶν γενῶν ἐστιν· ὡς
γὰρ τὸ συγγενὲς ἑνωτικόν· διὰ δὲ τὴν ὁμοιότητα
καὶ τὸ σύνταγμά ἐστι καὶ τὰ διαστατικὰ τὰ καθή-
κοντα ταῦτα αὐτά ἐστιν ἐφ' ἑκατέρου πρὸς τὸ ἕτερον.

σύνταξις δὲ φυσική, ὁμοίων σύνταγος· πατρὸς
υἱοῦ πρὸς ἀλλήλους· καὶ γὰρ φυσικὴ ἐστὶν ἡ σύν-
ταγος· ἀνομοίων δὲ διότι οὐκέτι πρὸς τὸ αὐτὸ
ἡ ἀπόδοσις ὡς ἐπὶ τῶν ἀδελφῶν· ἐκεῖ γὰρ λέ-
γομεν ὁ ἀδελφὸς ἀδελφοῦ ἀδελφός· ἐν τούτῳ δ'
ὁ πατὴρ υἱοῦ πατήρ· καὶ ὁ υἱὸς πατρὸς υἱός· ἐστὶ μὲν οὖν αὕτη
σύνταξις φυσικὴ ἀνομοίων σύνταγος· ἀλλὰ τὸ
ἀνόμοιον ἔχει ὡς αἴτιον καὶ αἰτιατόν· ἄλλη δέ
ἐστι σύνταξις φυσικὴ σύνταγος ἀνομοίων τῶν
ὡς ἐναντίων. ὡς ἔχει τὸ δεξιὸν καὶ τὸ ἀριστερόν·
καὶ γὰρ ἀνόμοια ὄντα ταῦτα, συντέτακται πρὸς
ἄλληλα, κατὰ τὴν τοπικὴν ἐναντίωσιν· σύνταξις
δὲ φυσική, ἀνομοίων διαστατική· ὡς τὸ πῦρ ὕδατι
καὶ τῇ τε σχέσις γὰρ καὶ αὕτη διαστατικὴ κατὰ σχέσιν·
σύνταξις δὲ προαιρετικὴ ὁμοίων σύνταγος ἡ τῶν
φίλων· διαστατικὴ δὲ ἡ τῶν ἐχθρῶν· καὶ γὰρ
οἱ ἐχθροὶ συντεταγμένοι μὲν εἰσὶ κατὰ σχέσιν
προαιρετικῶς ὅμοιοι ὄντες· διὸ καὶ πρὸς τὸ
αὐτὸ ἡ ἀπόδοσις. ὁ ἐχθρὸς ἐχθροῦ ἐχθρός· ὥσπερ
ὁ φίλος φίλου φίλος. διαστατικὴ δὲ ἐπὶ τῶν ἐ-
χθρῶν ἡ σύνταξις ὥσπερ ἐπὶ τῶν φίλων ἑνωτική.
σύνταξις δὲ προαιρετικὴ ἀνομοίων σύνταγος
ἡ τοῦ διδάσκοντος καὶ μανθάνοντος ὡς αἰτίου
καὶ αἰτιατοῦ· ὡς δὲ ὑπερεχόντων ἢ τοῦ πιπράσκοντος
καὶ ἀγοράζοντος· σύνταξις δὲ προαιρετικὴ
κατὰ ἀνομοιότητα διαστατική, ἡ τοῦ διώκοντος
καὶ τοῦ φεύγοντος· ὁ γὰρ διώκων φεύγοντα διώκει·
συντεταγμένως μὲν κατὰ προαιρετικὴν σχέσιν
ἀνομοίως διαστατικῶς δὲ συντεταγμένη· ἡ μέντοι
ἀνδρὸς καὶ γυναικὸς σχέσις, μέση τις ἔοικεν εἶναι

τῶν τε φυσικῶν καὶ προαιρετικῶν, ὡς ἀμφοτέρων
μετέχουσα· καὶ κατὰ ἀνομοιότητα ἀποδιδο-
μένη· ὁ γὰρ ἀνὴρ γυναικὸς ἀνήρ· καὶ ἡ γυνὴ ἀνδρὸς
γυνή. μέσην δὲ καὶ οἱ γείτονες ἔχουσι σχέσιν πρὸς
ὁμοιότητα ἀποδιδόμενοι. τὸ δὲ ἄρχον ἢ τὸ ἀρ-
χόμενον, τὸ μὲν φυσικόν ἐστιν· ἄρχει γὰρ ἀεὶ τὸ κρεῖ-
ττον τοῦ χείρονος ἐν τῷ παντί· τὸ δὲ προαιρετικὸν
ὅταν κατὰ σύνταξιν. οἱ μὲν προύσιοι ἄρχουσιν,
οἱ δὲ πένητες ἄρχονται. τὸ δὲ μικτὸν ὅταν κοινῇ
δόξῃ τοῖς φρονιμωτέροις ἄρχειν. τοσοῦτον οὖν ὡς
τύπῳ φανεῖται τῶν σχέσεων οὐσῶν. ἐν ὁποίᾳ ἂν
τούτων πρός τινα τυγχάνωμεν ὄντες, ἀπ' αὐτοῦ τοῦ
τῆς σχέσεως εἴδους τὸ πρὸς αὐτὸν καθῆκον ἡμᾶς ἀν-
ληπτέον καὶ φυλακτέον. ὅτε καὶ ἕκαστος φυλάττει
τὸ πρὸς ἡμᾶς καθῆκον· ὅτε καὶ οὔ. καὶ μάλιστα
ἐπὶ τῶν φυσικῶν καθηκόντων. τὴν μὲν γὰρ
προαιρετικὴν σχέσιν, καὶ ὁ ἕτερος κακῇ προαιρέσει
ἢ ἀγαθῇ χρώμενος, διαλῦσαι δύναται. τὴν μὲν
φιλίαν κακῇ. τὴν δὲ ἔχθραν ἀγαθῇ. καὶ γὰρ ἡ προ-
αίρεσις, τὴν σχέσιν ταύτην εἰργάσατο. τὴν δὲ
φυσικὴν, οὐχ ἡ προαίρεσις. ἀλλ' ἡ φύσις. διὸ
ἂν μὲν ὁ φίλος ἡμῶν διὰ μοχθηρὰν προαίρεσιν
ἐχθρὸς γένηται, ἔλυσε τὴν σχέσιν ἡμῶν. καὶ οὐκέτι
ὀφείλομεν αὐτῷ τὰ πρὸς φίλον καθήκοντα. οὐκέτι
φίλου εἶναι βουλόμενον· ἀλλ' ἐχθροῦ. ἂν δὲ πατὴρ μο-
χθηρᾷ χρήσηται προαιρέσει, τὴν τοῦ πατρὸς σχέσιν, οὐκ
ἔλυσεν ἡ προαίρεσις. φυσικὴ γὰρ ἐκείνη καὶ οὐ
προαιρετική. καὶ πρὸς πατέρα ἡ τοιαύτη σχέσις.
ἀλλ' οὐ κατ' ἀγαθὸν ὄντος πατρός. κἂν τύχῃ οὖν ὁ πατὴρ
κακός. ἀλλὰ τὰ πατρὶ καθήκοντα ἀποδοτέον. χρὴ οὖν

ἐπιμελεῖσθαι πάντως αὐτοῦ. καὶ ὅτι αἴτιος ἡμῖν
μετὰ θεὸν τοῦ εἶναι γέγονε. καὶ ὅτι διὰ τὰς ἐπιμελείας
αὐτοῦ καὶ συμπαθείας ἐτράφημέν τε καὶ μέχρι τοῦδε
προήλθομεν. καὶ ὡς δαψιλευσαμένοις περὶ τὴν γονὴν
τήν τ' ἐπιμέλειαν ἀποδιδόναι μετὰ τόκων αὐτοῖς εὐγνω-
μόνως προσήκει. καὶ τοῖς ἐπιτάγμασιν αὐτῶν προ-
θύμως ὑπουργεῖν πᾶσιν ὅσα μὴ πρὸς κακίαν ψυχῆς
ἐνάγεται. ταῦτα γὰρ ἀναρμόστως αὐτοῖς κατὰ τὸ ἀξίωμα
παραιτητέον ὡς τῶν περὶ τῶν ψυχῶν ἀπαρέσκον.
καὶ τῶν ἄλλων δεῖ χεῖρα παραχωρεῖν ἁπάντων ἢ σώ-
ματος ἢ τῶν ἐκτός. εἰ γὰρ τοῖς κατὰ τύχην δεσπό-
ταις ἀργυρίου πριαμένοις ὑπόκειται καὶ τὰ σώματα
τῶν δούλων καὶ τὰ ὑπάρχοντα, πόσῳ μᾶλλον
τοῖς κατὰ φύσιν γινομένοις αἰτίοις τοῦ εἶναι. ὡς τὸ
καὶ τυπτόντων ἀνέχεσθαι πραότερον τῶν ὑπὸ τοῦ
δεσπότου τυπτομένων οἰκετῶν καὶ λοιδορούντων
ἔτι μᾶλλον καὶ ὑβριζόντων. οἱ δὲ παλαιοὶ τῶν Ῥω-
μαίων νόμοι, καὶ πρὸς τὴν τῆς φύσεως ὑπεροχὴν
ἀποβλέψαντες. καὶ πρὸς τοὺς πόνους οὓς οἱ
γονεῖς ὑπὲρ τῶν τέκνων πονοῦσιν δῆλα καὶ τοὺς
παῖδας πάντοθεν ὑποτάξαι βουλόμενοι.
καὶ τῇ τῶν γονέων οἰκείᾳ φύσει καὶ φιλοστοργίᾳ
θαρρήσαντες. καὶ πιπράσκειν εἰ βούλοιντο τοὺς
παῖδας τοῖς γονεῦσιν ἐπέτρεψαν. καὶ φονεύειν
ἀτιμωρητί. οἱ δὲ ἔτι παλαιότεροι τοσοῦτον
τοὺς γονέας ἐσέφθησαν. ὡς καὶ θεοὺς αὐτοὺς
ὁρμῆσαι καλεῖν. ἀκολούθως δὲ τὴν θείαν ὑπεροχὴν
τοὺς τῶν γονέων ἀδελφοὺς θείους ἐκάλεσαν.
ἐνδεικνύμενοι τὴν τάξιν ἣν τοὺς γονέας ἔχειν
πρὸς τοὺς παῖδας τοὺς ἑαυτῶν ὑπολαμβάνομεν.

χρὴ δὲ ἐν τοῖς πρὸς τοὺς γονέας καθήκουσι μά-
λιστα μὲν δι' αὐτὸ τὸ ἀγαθὸν ποιεῖν αὐτά· καὶ διὰ
τὸ κατὰ φύσιν ἔχουσαν τὴν ἐξ αὐτῶν προαίρεσιν
διατηρεῖν· ἤδη δὲ καὶ τὴν θέαν ἔννοιαν διηνεκῆ·
ὅτι τοιούτους εἰκὸς περὶ ἡμᾶς τοὺς ἡμετέρους παῖδας
γενέσθαι· ὁποῖοί τινες ἡμεῖς πρὸς τοὺς γονέας
γεγόναμεν· κἂν ἀδελφὸς σοι ἀδικῇ, σὺ τὴν πρὸς
ἀδελφὸν φύσιν καὶ τῆς σχέσεως σοῦ τάξιν διά-
τηρει· καὶ τὴν ὁμολογίαν ἣν ὡμολόγησας τῷ
ὄντι πρὸς τούτους· ἀλλὰ καὶ μὴ πρὸς ἄλλους
γονέας καὶ ἀδελφοὺς καὶ συγγενεῖς ἄλλοθεν
αἱρησόμενος· ἐννόει δὲ καὶ ὅτι τὸ μὲν ἐκεῖνον
δικαίως ἢ ἀδίκως σοι προσενεχθῆναι, οὐκ ἔστιν
ἐπὶ σοί· τὸ δὲ σὸν ἐπὶ σοί ἐστι· διὸ οὐ χρὴ σκοπεῖν
πῶς προσφέρεται· ἀλλὰ τί σὺ ποιῶν κατὰ φύ-
σιν ἕξεις· ὁ γὰρ κύριος ἐστὶ τοῦτο σου διατάζει κατὰ τὸ
σοὶ προσῆκον διατίθεσθαι· ἐν τούτῳ γάρ σου
ἐστὶν ἡ ὠφέλεια καὶ ἡ βλάβη· ἕτερος γὰρ ὅπως
ἂν διατεθῆται, σὲ οὐ βλάψει· ἐὰν τὴν ὠφέ-
λειαν καὶ τὴν βλάβην ἐπὶ σοὶ ζητῇς· εἰ δὲ ἐν
τοῖς ἔξωθεν γινομένοις αὐτὴν ἀφορίσῃς, τό-
τε ἀπὸ σαυτοῦ ἔσῃ βεβλαμμένος· ἀλλ' οὐχ ὑπὸ
τοῦ ἀδελφοῦ· ἐννόει δὲ καὶ ὅτι ἐὰν διὰ τῆς σαυτοῦ
πρᾳότητος καὶ ἀοργησίας καὶ φίλον σεαυτῷ τὸν
ἀδελφὸν κατασκευάσῃς· αἱ δύο σχέσεις μιγνύ-
μεναι, θαυμαστὴν ἕνωσιν ἀπεργάζονται· τὰ δὲ
περὶ τοὺς τῶν ἀγαθῶν διδασκάλους καθήκοντα
ταῦτα ὥσπερ τοῖς πρὸς τοὺς γονέας ἐστὶ μετά
τινος τάχα ἐπιτάσεως· ὅτι οἱ τροφεῖς οὗτοι
ἐπιμελοῦνται οὐ τοῦ σώματος ἡμῶν· ἀλλ' ἡμῶν
αὐτῶν εἰσί·

καὶ οὐδὲ κατ' ἄλλην τὴν φύσιν ἣν ὥσπερ οἱ γονεῖς
ἔν τε τοῖς ἄλλοις ζώοις καὶ ἐν τοῖς ἀνθρώποις· ἀλλὰ
κατὰ προαίρεσιν ἀγαθὴν μιμουμένην τὴν θείαν
ἀγαθότητα· τὴν τὰς ψυχὰς ἀφανεστάτην προσοῦσαν.
ἐκ πάλιν ἐς τὸ ἐμφανὲς τοῦτον ὅθεν προῆλθον· πλεονάζει
δὲ τὰ πρὸς τοὺς διδασκάλους καθήκοντα· τοῖς δὲ
πᾶσι τοῖς ὑπὸ τούτων ἐπιταττομένοις ὡς θεοῦ προσ-
ταττόντος ἀπροφασίστως ὑπηρετεῖν· ὅ γε τῶν
κατὰ φύσιν ἡμῖν προσηκόντων διδάσκαλος ἰσοῦται
ἐπὶ τάξιν τούτοις πρὸς τοῦτον τὸν σκοπὸν ἀποτεί-
νομεν· ἐὰν δὲ οἱ γονεῖς ἡμῖν καὶ διδάσκαλοι τῶν
ἀγαθῶν τυγχάνωσιν ὄντες, τότε τῶν δύο σχέσεων
συναφθεισῶν, καὶ τὰ καθήκοντα κατὰ τὸ ἀμφότερον
ἀποδοτέον· ὡς ἐθέλοντι γὰρ τρόπον πρὸς κοινὸν
αὐτοῖς· καὶ τοῦτο γίνεται καὶ τοῦ καλῶς εἶναι
οὗτοι ὡς πρὸ θεοῦ γεγόνασιν αἴτιοι· τὰ δὲ περὶ φι-
λίας καθήκοντα καὶ τιμιώτατα καὶ χρειωδέστατα τυγχάνουσιν· τὸ
μὲν ὡς δυνατὸν ῥητέον ἐν ὀλίγοις· πρῶτον μὲν ἐστὶν
ἡ ἐκλογὴ τῶν φίλων· δευτέρα δὲ ἡ χρῆσις αὐτῶν·
καὶ ἡ διὰ τῆς ἀρίστης χρήσεως φυλακὴ ἐξ ὧν ἂν
φαίνεται τὸ τῆς φιλίας παντοδαπὸν ἀγαθόν· τὴν
μὲν οὖν ἐκλογὴν ὧδε ποιεῖσθαι χρή· πρῶτον μὲν
εἰς ὁμοιότητα τῶν ἠθῶν ἀποβλέποντας· τὰ
γὰρ ἀνόμοια, οὐκ ἁρμοστὰ πρὸς φιλίαν ἐστί· κἂν
ἄμφω δόξη χρηστά· τὰ γὰρ πρᾳότερα καὶ σταθη-
ρότερα τῶν ἠθῶν πρὸς τὰ εὐκίνητα καὶ παραθερμό-
τερα οὐ συναρμόττει· δεύτερον δὲ ἀφορᾶν χρὴ πῶς
ἐχρήσατο τοῖς προτέροις ἑαυτοῦ φίλοις οὗτος
ὃν εἰς φιλίαν ἐκλεγόμεθα· καὶ τὸ τρίτον ὃ καὶ πρῶτον
ἐστὶ καὶ μέσον καὶ ἔσχατον· πότερον ὑπὸ τῶν ἀλόγων

ἄρχεται πάθους ἢ ὁποσουοῦν ὁ λόγος ἐν αὐτῷ κρατεῖ.
τούτου δὲ ἀκολούθως, τὰς ὀρέξεις ἐπισκεπτέον· πό-
τερον πρὸς τὰ καλὰ καὶ ἀγαθὰ καὶ τὰ ὑπὸ τῶν ἀ-
γαθῶν ἐπαινούμενα κινοῦνται· ἢ πρὸς τὰ ἡδέα
καὶ ἀσχήμονα· καὶ τοῖς συρφετοῖς ἀνοήτοις ἀρεστά.
καὶ ἔτι μέντοι πότερον εὐκίνητοί τινές εἰσιν αἱ ὀρέξεις
καὶ ἐκκλιτεῖς· καὶ τῷ ὀρθῷ λόγῳ ῥαδίως πειθόμεναι
ἢ σφοδραί τε καὶ ἀχάλινοί τοι· καὶ τὸ φαινόμενον
αὐταῖς ἀρεστὸν ἀεὶ προτιμῶσαι· αἱ μὲν γὰρ τοιαῦται
σπῶνται πρὸς τὸ δοκοῦν αὐταῖς βιαζόμεναι, οὐκ
εἰσὶ πρὸς φιλικὴν ἕνωσιν ἐπιτήδειοι· ἀλλὰ καὶ
τὸ ἀγαθὸν ἐν τοῖς ἐκτὸς τιθέμεναι· χρήμασιν ἢ
σώμασιν ἢ δόξαις πομπικαῖς· καὶ αὗται πρὸς φι-
λίαν ἀνάρμοστοι· μεριστῶν γὰρ ὄντων τούτων, ὁ
σφοδρότερον ὀρεγόμενος καὶ τὸ πλέον λαμβάνων,
τὸ ἔλαττον ἀπολείπει τοῦ ἀπόντος· ὡς μηκέτι τὸν φί-
λον τοῦ ἴσου τυχεῖν· ἀλλ' ἐπὶ μὲν χρημάτων καὶ σωμάτων
τοῦτο πρόδηλον· καὶ ὁ δοξοκομπῶν δὲ πάντως
καὶ μονοδοξεῖν βούλεται· τὰ δὲ ψυχικὰ ἀγαθά,
ἐπιστῆμαι καὶ ἀρεταί, ἀμερίστως τοῖς μετέχουσι
παροῦνται· τοῦ ἑτέρου μετέχοντος, ὁμοιοῦνται ἐν
τῷ ἑτέρῳ· ἀλλὰ καὶ αὔξεται· συνεστρέφεται γάρ,
καὶ συνεκπυροῦνται ταῦτα ἐν ταῖς τῶν μετεχόντων
ψυχαῖς· καὶ μεταδιδόμενα πολυπλασιάζεται·
καὶ ὡς πῦρ ἀπὸ πυρείων παρατριβομένων, ἐκ-
λάμπει τὸ ἀληθείας καὶ σοφίας φῶς. ἔτι δὲ
οἱ μὲν πρὸς τὸ ἀληθῶς ἀγαθὸν ἀποτεινόμενοι
φίλοι· καὶ πρὸς τὸν ὀρθὸν λόγον ἑαυτοὺς ἀποτεί-
νοντες· ἐν ἰσονομίᾳ χρῶνται, διακριτικῶς τοῦ
συμφέροντος· κοινὸν γὰρ ἐπ' ἀμφοῖν τὸ ἀγαθόν.

ἡ

καὶ τὰ μέλλοντα· καὶ γὰρ ἐν τοῖς συμποσίοις κατὰ τὴν
ἑαυτοῦ αἵρεσιν ἕκαστος καὶ μεταλαμβάνει καὶ οὐ μετα-
λαμβάνει τῶν προσφερομένων· γίνεται δὲ σκηνὴ τὸν
βίον ἅπασι καὶ ζῇ· καὶ δράματα ὑποκρίνεται τοῖς ἐν
αὐτῷ πολιτευομένοις· καὶ χορηγὸν τοῦ δράματος
ἔχει διδάσκαλον τὸν θεὸν ὑπογραφή· ὅτι μὲν λαβεῖν ἢ μὴ
λαβεῖν τὸ ἀπονεμόμενον οὐκ ἔστιν ἐφ' ἡμῖν· ἀνάγκη
γὰρ πάντως λαβεῖν οἷα πολλὰ τῶν ἀπὸ τῆς εἱμαρ-
μένης ἐστί· κἂν γὰρ πρὸ τούτων ἐφ' ἡμῖν ἐστι μὴ λαβεῖν,
ἀλλὰ πενίαν οὐ τῶν ἐφ' ἡμῖν ἐστιν ἐκκλῖναι ἢ νό-
σον· ἢ δεσπόταις μὴ δοῦναι ἢ ἄρχουσιν ἐφ' ἡμῖν ἐστιν·
ἀλλὰ τὸ μὴ δουλεῦσαι ἐχθροῖς οὐκ ἔστιν ἐφ' ἡμῖν·
διὸ ἐπὶ τούτων ἡ χρῆσις ἐστὶν ἐφ' ἡμῖν· καὶ τὸ ἀ-
γαθὸν ἢ μᾶλλον ἢ τὸ κακὸν ἐν τούτοις· οὐκ ἐν τῷ ὀρεχθῆ-
ναι ἢ μή· ἢ λαβεῖν ἢ μὴ λαβεῖν. ὡς πρότερον ἐλέγομεν·
ἀλλ' ἐν τῇ χρήσει ἐστὶν ἐφ' ἡμῖν οὖσα καλῶς ἢ κακῶς
διατεθῆναι· τὸ γὰρ τοιόνδε καλῶς ἢ περιγενέσθαι
καλῶς· καὶ ὅλως ἡ χρῆσις· καὶ τοῦ καλῶς αἴτιον· καὶ τὸ
ἐξ ἀνάγκης ληφθὲν τὸ ἐφ' ἡμῖν ἐστιν. ὥσπερ καὶ ἐπὶ
τῆς σκηνῆς· τὸ μὲν ἐκλέξασθαι τῶν ὑποκριτῶν ἕκαστον
πρὸς τὸ ἐπιτήδειον πρόσωπον ἐν τῷ δράματι. πρὸς
βασιλέα ἢ δοῦλον ἢ μαινόμενον ὡς τὸν Ὀρέστην
τοῦ διδάσκοντος τὸ δρᾶμά ἐστι· καὶ τῶν ἐν αὐτῷ ἀπο-
τῶν ὑποκριτῶν· τὴν ποιότητα ἀπεσκεμμένου·
τὸ δὲ ὑποκρίνεσθαι καλῶς τὸ δοθὲν πρόσωπον τοῦ
ἐκλεχθέντος ἐστὶν ὑποκριτοῦ· διὸ καὶ εὐδοκιμεῖ
πολλάκις δοῦλος ἢ πτωχὸς ἢ μαινόμενος ἐν τῷ δράματι·
ἢ ἀποδοκιμάζεται πλούσιος ἢ στρατηγὸς ἢ βασιλεύς·
ὅτε μὲν ἐκεῖνοι μὲν καλῶς τὸ δοθὲν ὑποκρίνονται πρό-
σωπον. οὗτοι δὲ κακῶς τὸ ἐφ' αὐτοῖς ὄν. οἱ μὲν καλῶς

ὑπεκρίναντο, οἱ δὲ κακῶς. οὕτω δὲ καὶ ἐν τῷ βίῳ πόσων ἄρα βασιλέων καὶ πλουσίων καὶ ῥωμαλέων, ὁ δοῦλος καὶ πένης καὶ χωλὸς Ἐπίκτητος ὑπὸ τοῦ τοῦ χορηγοῦ καὶ διδασκάλου θεοῦ, καὶ ὑπὸ τῶν ἐν τῷ βίῳ θεατῶν προεκρίθη. ὅτι καλῶς τὸ δοθὲν αὐτῷ πρόσωπον. καὶ κατὰ τὴν τοῦ διδασκάλου γνώμην ὑπεκρίνατο. τὸ ἐφ' αὐτῷ καλῶς οἰκονομήσας. ἐν ᾧ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐστὶ τὸ ζήλιμον. καὶ τὸ ἐπαινετὸν παρὰ τοῖς εὖ φρονοῦσι καὶ τὸ ἄψεκτον:

Κόραξ ὅταν μὴ αἴσιον κράξῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία:

κδ' Τοῦτο οἶμαι τὸ κεφάλαιον τὴν προσήκουσαν ἔχειν τάξιν. ἐπεὶ πρὸ τοῦ προσεχῶς εἰρημένου ἐτέτακτο μετὰ τὸ προειρημένον, οὗ ἡ ἀρχὴ ὅτι κλαίοντα ἴδῃς ἐν πένθει. ἐπειδὴ γὰρ ἐν ἐκείνῳ, ὅτι οὐ χρὴ συμπαθεῖς γενέσθαι τοῖς ἐν κακοῖς νομίζουσιν εἶναι, διὰ ἀφαίρεσιν τινος τῶν ἐκτός· οὐδὲ συναρπασθέντα νομίζειν ὅτι ἐν κακῷ ἐστὶν ὁ τοιοῦτος. ὥσπερ ἐν τοῖς ἐφ' ἡμῖν ἐστὶν ἡ οὐσία τοῦ ἀγαθοῦ καὶ κακοῦ ἡμῶν. νῦν λέγει ὅτι κἂν ὄρνις ἢ σύμβολος τις ἢ μαντεία δόξῃ σοι τι μαντικὸν σημαίνειν, μηδὲ οὕτως συναρπασθῇς. ἀλλὰ χωρίσας αὐτὸν ἀπὸ τοῦ σώματός σου καὶ τῶν ἐκτὸς ἐννόησον. ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακόν σου, ἐπί σοι ἐστίν. ἐὰν οὖν σὺ μὴ θέλῃς ἐν κακῷ εἶναι τὰ σημαινόμενα ταῦτα κακά, οὐκ ἂν εἴη σοι σημαινόμενα. ἀλλ' ἢ τῷ σωματίῳ σου ἢ τῷ δοξαρίῳ ἢ τῇ περιουσίᾳ ἢ τέκνοις ἢ γυναικί. σοὶ δὲ πάντα αἴσια σημαίνεται ἐὰν θέλῃς σύ, διότι ἐπί σοι εἶναι τὸ ἀγαθόν σου καὶ τὸ κακόν. ἀμέλει ἀπὸ τῶν πάντα ἐκτὸς δοκούντων κακῶν, ἔστιν

φελεῖσθαι τὸ δέον αὐτόν. καὶ ὅσα μὲν ζημία δοκεῖ ταῦτα,
τοσοῦτον μᾶλλον ὠφελεῖσθαι αὐτὸν αὐτῶν καλῶς χρώμενον
ἀσφαλεῖν· καίτοι εἰ σοι κακὰ ἦν ταῦτα; ἔβλαπτ-
εν σε καὶ οὐκ ὠφέλει· εἰ οὖν καὶ ὠφελεῖσθαι τὸ δέον αὐτ-
ῶν ἐξ αὐτῶν καὶ σοὶ οὐδὲν ἂν γένοιτο κακόν· εἰ μὴ σὺ
θέλῃς. καὶ τὰ σημαινόμενα ταῦτα ὡς τὰ κακά,
ἐὰν θέλῃς, οὐ σοί ἐστιν. ἀλλὰ τῶν περὶ σὲ τινός:

Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα
καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι: κε·

Εἰπὼν ὅτι σοι οὐδὲν σημαίνεται κακόν, ἐὰν μὴ σὺ
θέλῃς· ὥστε ἐπὶ σοὶ εἶναι τὸ μὴ εἶναι ἐν κακῷ· τὴν
οἶμαι τὴν αἰτίαν καὶ τὴν ἀπόδειξιν, δι' αὐτοῦ μὲν
προτεθέντος ἠνίξατο· εἰ γὰρ ἐπὶ σοί ἐστι τὸ μηδέποτε
πρὸς τὰ ἐκτὸς παραβάλλεσθαι καὶ ἀγωνίζεσθαι ἢ
ὀρεγόμενον ἢ ἐκκλῖνον τοῖς ἐνοῖς ἢ πταίεσθαι ποτὲ ἂν ἢ
ἢ ἀποτυγχάνοντα τῶν ὀρεκτῶν ἢ περιπίπτοντα τοῖς
ἐκκλινομένοις· ἀλλ' ἐν τοῖς ἐπὶ σοὶ μόνοις ἀναστρέφῃ
ἐν οἷς ἐκεῖ τοῦ μηδέποτε ἀποτυγχάνειν ὀρεγόμενον
ἢ ἐκκλῖνον· τοῦτο δὲ ἐστὶ μηδέποτε ἡττᾶσθαι.
ἀλλὰ εἶναι ἀνίκητον· εἰ δὲ τοῦτο δῆλον ὅτι καὶ τὸ
μηδέποτε γίνεσθαι ἐν κακῷ, ἐπὶ σοί ἐστιν· ὁ γὰρ
ἐν κακῷ γενόμενος, ἡττᾶται ὑπὸ τοῦ κακοῦ· εἰ δὲ
ἐπὶ σοὶ τὸ μηδέποτε ἐν κακῷ γενέσθαι, ἐπὶ σοὶ ἂν
εἴη τὸ μηδέποτε κακόν τι σοι συμβαίνεσθαι· ὀρθῶς
ἄρα εἴρηται ὅτι τῶν κακῶν οὐδέν σοι συμβαίνεται
ἐὰν μὴ σὺ θέλῃς· τουτέστιν ἐὰν μὴ εἰς ἀγῶνα κατα-
βαίνῃς ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι· τουτέστιν
ἐὰν μὴ ἐν τοῖς ἐκτὸς τὸ ἀγαθὸν σαυτοῦ καὶ τὸ κακὸν
ἀφορίζῃς:

Ὅρα μηδέποτε ἰδών τινα
τιμώμενον ἢ μέγα δυνάμενον ἢ ἄλλως εὐδοκιμοῦντα

κα

μακαρίστης ὑπὸ τῆς φαντασίας συναρπασθείς:

[illegible]ι ὧν ἀμίκητον(?) ... τὸν μὴ καταλαμβάνοντα ... ἀγαθῶν
των οὐκ ἐφίεμεν. ἐπεὶ δὴ πρὸς ταῦτα ἑλκόμεθα μάλιστα
τῶν ἐν αὐτοῖς εὑρεθὲν δοκούντων παραδείγματα.
καὶ ὁ πρὸς αὐτοὺς ζῆλος καὶ φθόνος, δείκνυσι σὺν τὸ μὴ
ὅτι οὐδεὶς τῶν τἀγαθὸν τὸ ἄτιμον ζητούντων ἢ φθο
νεῖ τούτοις ἢ προτίμησιν καὶ δυναστείαν καὶ δόξαν
μὴ σὺν παρὰ τοῖς πολλοῖς ἔχοντες· οὕτως ἐφή
μιν τι ἔχουσι, δῆλον ὅτι οἱ τοιοῦτοι οὐδὲν ἀγαθὸν
ἔχουσιν ἄγων(?) πρόσηκον· ποίαν οὖν χώραν ἔχει
πρὸς τοὺς τοιούτους φθόνος ἢ ζηλοτυπία· καὶ γὰρ
ὁ μὲν φθόνος, λύπη ἐστὶν ἐπὶ ἀλλοτρίῳ ἀγαθῷ·
ὁ δὲ ζῆλος, ζέουσα θέλησις τοῦ παρισωθῆναι
τῷ νομιζομένῳ ἀγαθῷ· φύεται δὲ ταῦτα τὰ πάθη
ἐκ τοῦ πάντα ἄνθρωπον κατὰ φύσιν τιμῆς ἐπιθυμεῖν,
καὶ τοῦ τῶν ὁμοίων μὴ ἀπολείπεσθαι· διὸ οἱ μὲν ἀλόγω
τὴν φύσιν καὶ προκόπτειν αὐτοὶ μὴ ἰσχύοντες τὴν κα
θαίρεσιν τῶν πέλας παρισοῦσθαι ἢ ὑπερέχειν
αὐτῶν βούλονται καὶ λυποῦνται ἐπὶ ταῖς τῶν
πέλας εὐπραγίαις· καὶ ἔστι τοῦτο φθόνος· πρὸς γὰρ
τὸν εὖ ἔχοντα ἢ δοκοῦντα εὖ ἔχειν, ὁ φθόνος ἐγείρεται.
τὸν ὅμοιον δὲ μάλιστα ἢ συγγενῆ ἢ ἐπὶ τῇ δυνά
μει ἢ τύχῃ· οὐδεὶς γὰρ φθονεῖ τῷ πάνυ ὑπερέ
χοντι· ἢ τῷ πάνυ ἐλαττοῦντι· ὅτι οὐδαμοῦ μικραίνεται(?)
τις πρὸς τοὺς τοιούτους· οἱ δὲ τὸν νοῦν ἔχοντες τινα
ἁρμοδίως κινοῦνται, πρὸς τὸ αὐτοὶ προκόψαντες
παρισωθῆναι· ἢ καὶ ὑπερβάλλειν ἐκείνους πρὸς
οὓς ἡ ἅμιλλα· διὸ ὁ μὲν φθόνος, ἀεὶ φαῦλον ἐ
πάθος· ὁ δὲ ζῆλος, ὅταν περὶ ἀρετῆς γίνηται ἀγαθὸς
καὶ συγγενὴς τοῦ ἀγαθοῦ ἔρωτος· ὅταν δὲ περί τι τῶν
ἐκτός,

φαῦλος καὶ τοῦ φθόνου συντεταγμένος· ἤτοι γὰρ
ὁ μὲν φθόνος, ὁ δὲ ζῆλος, ὡς ἐπ' ἀγαθοῖς γίνεται·
προτιμήσεσι δὲ καὶ δυναστείαις καὶ εὐδοκιμήσεσι,
ταῖς παρὰ τοῖς πολλοῖς ἀγαθοῖς δοκοῦσιν οὐκ ἔστιν ἀ-
γαθὸν ἅπερ ἐν τοῖς ἐφ' ἡμῖν τὸ ἀγαθόν ἐστι· δῆλον
ὅτι ἐπὶ τούτων φθόνος καὶ ζῆλος, οὐδεμίαν ἕ-
ξουσι χώραν, κατά γε τὸ ἀληθές. οὐ χρὴ τοίνυν φθο-
νοῦντες ἢ ζηλοῦντες τοὺς περὶ τὰ τοιαῦτα εὐροοῦν(τας)
ἐν τούτοις τίθεσθαι τὸ ἀγαθὸν τὸν παιδευόμενον.
ἐλευθερίας γὰρ αὐτὸν ὀρέγεσθαι χρὴ, τῆς ἀπὸ τῶν
ἐν αὐτῷ παθῶν ἀλογίστων, οὐ τῶν παίδων· καὶ οὐ
δῆμος τῶν μὲν ἐκτός. μία δὲ ὁδὸς εἰς ἐλευθερίαν ἀ-
φησὶν, ἡ καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν· ἐν οἷς
ἡ δουλεία καὶ ἡ ἧττα. ἐν τούτοις γὰρ τὸ ἀποτυγχάν(ειν)
ὧν ὀρεγόμεθα· καὶ περιπίπτειν οἷς ἐκκλίνομεν. περὶ
ταῦτα ἡ τῶν ἀλόγων ἐν ἡμῖν παθῶν ὄρεξις, καὶ ἡ
καθ' ἡμῶν τυραννὶς αὐτῶν. διὸ τῶν μὲν ἐκτὸς κατα-
φρονοῦντες καὶ τὰς συγγενεῖς πρὸς αὐτὰ ὀρέξεις· ὡς
τῶν συμμάχων ἐρημωθὲν ὑποκαταλείπεσθαι ποιοῦμεν
τῷ λόγῳ :· Μέμνησο ὅτι οὐχ ὁ λοιδορῶν
ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ
τούτου ὡς ὑβριζόντων:
Διασύρας πάλιν τὰ ἐν τοῖς ἐκτὸς νομιζόμενα ἀγαθά, κζ
καὶ μίαν ὁδὸν πρὸς ἐλευθερίαν τὴν καταφρόνησιν
τῶν οὐκ ἐφ' ἡμῖν εἰπὼν τὰς πρὸς ταῦτα ἐναντίας
ἢ καὶ λόγῳ λεγομένας· ἢ πάντως γοῦν τὰς ἐννοίας
τῶν ἄρτι παιδευομένων ἐνοχλούσας διαλύει αὐτό-
των αὐτῶν τῆς παιδείας ἀρχὴν ὁρμώμενος· ἐπειδὴ
ἐν πάσαις λέγουσιν ὅτι καταφρονοῦντες τῶν ἐκτὸς
καὶ διὰ τοῦτο εὐτελεῖς καὶ ἀδιάφοροι μένοντες, πολλοὶ

πεισόμεθα κακὰ ὑπὸ τῶν ὑπαρχόντων. ἐὰν μήτε
δύναμιν ἔχωμεν. μήτε κολακεύειν τοὺς δυναμέ-
νους αἱρώμεθα. οἱ γὰρ λοιδοροῦσι καὶ τύπτουσι,
καὶ πάντοτε ὡς ὑβρίζουσιν ἡμᾶς. καὶ τὰ ὑπάρχοντα
ἀφαιροῦντες καὶ φυγαδεύουσι. καὶ τὸ τελευταῖον
ἔγιστον καὶ φονεύουσιν. αὐτὸς δὲ πρὸς ταῦτα φησίν.
ὅτι τούτων οὐδὲν δεινόν. ἦ γὰρ ἂν πᾶσιν ἐφαί-
νετο δεινά. ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτῶν ὅτι
δεινά, τοῦτό ἐστι δεινόν. ὥστε οὔτε ὑβρίζουσιν
οὗτοι ταῦτα ποιοῦντες. ἀλλὰ τὸ ἐν ἡμῖν δόγμα
ὅτι ὑβριζόμεθα, τοῦτό ἐστι τὸ ὑβρίζον ἡμᾶς.
τὸ δὲ δόγμα καὶ ἡ περὶ τούτου ὑπόληψις, ἡμέ-
τερόν ἐστιν ἔργον. ἡμεῖς οὖν ἑαυτοῖς ὑβριζόμεθα.
ὅτι δὲ οὐδὲ δεινόν ἐστιν οὐδὲ δυσχεραντέον ὡς ἀξί-
ους ὑβρεῖς, δῆλον ἐντεῦθεν. ἢ γὰρ ἀληθής ἐστιν
ἢ ψευδής. καὶ εἰ μὲν ἀληθής ἐστι, δυσχεραίνομεν
τὰ ἀληθῆ ἀκούοντες. διατί δὲ ποιοῦμεν αὐτὰ
οὐ δυσχεραίνομεν. ἀκούειν δὲ δυσχεραίνομεν.
εἰ δὲ ψευδῆ, ἐκεῖνος πάσχει φησὶν ὑπὸ τῆς φαν-
τασίας τοῦ ὑβρίζεσθαι καὶ βοᾶν ἢ ὀδύρεσθαι ἐν
κακοῖς νομίζοντες εἶναι. ἀλλὰ δοῦναι καιρὸν ἑαυτῷ,
τῆς τοῦ συμβάντος ἐπισκέψεως ὁποῖόν ποτέ
ἐστιν. δεῖ γὰρ χρόνου τινὸς καὶ διατριβῆς τυχεῖν,
μὴ συναρπασθῇς ὑπὸ τοῦ αἰφνιδίου. δῆλα μὲν
ἅμα δὲ καιρὸν δεξάς τὰς
τῆς παιδείας ἀρχὰς προχειρίσασθαι. καὶ διελέσθαι
πότερον τῶν ἐφ᾽ ἡμῖν ἐστι τὸ συμβὰν ἢ τῶν οὐκ
ἐφ᾽ ἡμῖν. καὶ τῶν οὐκ ἐφ᾽ ἡμῖν εὑρήσας αὐτά, συνό-
ψῃς ὅτι οὐδὲ ἀγαθὸν ἡμῶν οὐδὲ κακόν ἐστι. ἢ ὅτι
ὥσπερ μοι ἐστί. καὶ ὡς ἀγαθῷ χρήσασθαι αὐτῷ, καὶ

ὠφεληθῆναι δὲ αὐτοὺς, μεγαλοφρόνως αὐτὸ περι-
πτύων. πρὸς δὲ τὸ μὴ συναρπασθῆναι συνεργεῖ
τὰ μάλιστα τὸ ἐθισθῆναι τι πρὸς τοιούτου συμβαίνον-
τος σιωπᾶν, ἕως ἂν τῆς ἔνδοθεν ἐπ᾽ αὐτῷ ζέσεως αἰσθώ-
μεθα καταστελλούσης· καὶ ὁ σὺν ἡμῖν κύων, μηκέτι
ὑλακτῇ. λέγεται γοῦν καὶ Σωκράτης ὅτε τεθυμω-
θείη, πάντως σιωπᾶν. τούτοις δὲ ἡμᾶς τὰ ἑξῆς συμ-
πλέκει. αὐτοῖς συνῳδὲς μὲν προσεχὴς δὲ λόγος. θά-
νατος καὶ φυγὴ καὶ πάντα τὰ ἄλλα τὰ δεινὰ φαινό-
μενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ᾽ ἡμέραν καὶ τὰ
ἑξῆς. κοινὸς γὰρ λόγος περὶ πάντων τῶν ἔξωθεν
προσπιπτόντων καὶ δοκούντων δεινῶν. δι᾽ ὧν ὅτι
αὐτῶν μὲν οὐδὲν δεινὸν οὐδὲ ὑβριστικὸν οὐδὲ βλα-
βερόν ἐστιν· ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτῶν. τοῦτο γὰρ
τὸ ὑβρίζον καὶ βλάπτον. βοηθείας πρὸς τὰς λοιδο-
ρίας καὶ τὰς πληγὰς καὶ τὰ τοιαῦτα προσέθηκεν,
εἰς τὸ μὴ θυμοῦσθαι ὑπ᾽ αὐτῶν ἢ καταπίπτειν. τὸ
μὴ συναρπάζεσθαι ὑπὸ τῆς φαντασίας. πρὸς δὲ
φυγὴν καὶ θάνατον καὶ τὰ δεινότερα τῶν τοιούτων,
ἄλλην πορίζει βοήθειαν τὸ μὴ ἀπογινώσκειν τῶν
τοιούτων. ἀλλὰ συνεχῶς ἐλπίζειν ὡς ἐνίοτε ἐσο-
μένα. ἐὰν γὰρ ὁ μὲν λόγος ἀποδείκνυσι, μήτε ἀ-
γαθὰ μήτε κακὰ ἐκτὸς εἶναι. ὁ δὲ διὰ τῆς φαν-
τασίας συνεθισμὸς, φυσιοῖ πως ἡμᾶς οὕτω
πρὸς αὐτὰ ἔχειν ὡς προσιόντων· οὔτε ὑπὸ τῶν δεινῶν
προσδοκωμένων ταραττόμεθα, οὔτε τῶν ἡδέων ἐνδο-
κούντων λίαν ὀρεγόμεθα:· Εἰ φιλοσοφίας
ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν ὡς καταγε-
λασθησόμενος:
Διὰ τοσούτων καὶ τοιούτων παραινέσεων τῶν ἀνωτ- κη'

προτρέψας καθὸ ἀμοί. τῶν μὲν ἐκτὸς καὶ τὰς περὶ
αὐτὰ περιουσίας ἀποστῆναι ὡς ἀλλοτρίων· ἐν ἑαυτοῖς
δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ζητεῖν. ὅπερ τοῖς αὐτοσχο-
δίοις προσήκει ζώοις. καὶ αἱ ἐξ κύρτοις καὶ ὁρμῆς.
ἐντεῦθεν λοιπὸν ὡς ἤδη πόρρω προκεκοφότι καὶ
φιλοσοφίας ἐπιθυμοῦντι διαλέγεσθαι τὰ πολλά.
καὶ τὴν ἀρχὴν εὐθὺς τῆς τοιαύτης ἐπιθυμίας προ-
ασφαλίζεσθαι. ταῖς ἐν ἀρχῇ συμβαίνειν εἰωθόσι ταῖς
τοιούτοις προλαβών. ἵνα μὴ ἐξαίφνης προσπε-
σόντα, ταράξῃ καὶ διαλύσῃ τὴν ἔνστασιν. εἰώθασι
γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων τοῖς ὑποτρέχειν βουλο-
μένοις τὴν συνήθη διαγωγὴν βαρύνεσθαι. καὶ ποτὲ
μὲν διὰ τὸ μὴ δοκεῖν αὐτοῖς χαίρουσι πράττειν μά-
λιστα οἱ συνήθεις καταγελῶσι καὶ χλευάζουσι.
ποτὲ δὲ καὶ ὡς ἀναξίως ἐπαιρομένοις ὀνειδί-
ζουσιν. ἅμα μὲν θυμούμενοι κατ' αὐτῶν. ἅμα δὲ
φθόνῳ τὴν προθυμίαν ἐκκόπτειν βουλόμενοι.
καὶ ἀλλ' οἱ πολλοὶ τοῖς γέλωσι τούτοις καὶ τοῖς μώκοις
καὶ τοῖς ὀνειδισμοῖς ἡττηθέντες ἔλιπον τὴν τάξιν.
καὶ πρὸς τὰ πρότερον συνήθη ἐπέστρεψαν. μῶκος
δέ ἐστιν ὁ μυκτηρισμός. καὶ ὁ διὰ τοιούτου σχήματος
[illegible]. ἄλλοις δὲ οὐ μέχρι σχήματος καὶ μώκ-
καὶ ὀνειδισμῶν μόνον προχωρεῖ τὰ τοῦ πράγματος.
ἀλλὰ καὶ κινδύνους ὑπομένουσι καὶ κλιμακτῆρας
αὐτοῖς καὶ οἱ συμπράττοντες αὐτοῖς εἰς εὐφορίαν.
τοὺς μὲν ὑπὸ τῶν οἰκείων διὰ συμπάθειαν ἀχρηστ-
οιομένων ἐστερῆσθαι τοῦ βίου. τοὺς δὲ ὑπὸ τῶν ἔξωθεν·
τῶν μὲν φθονούντων τῇ ὑπεροχῇ τοῦ καλλίονος
βίου. τῶν δὲ θυμουμένων ἐπὶ τῇ καταφρονήσει αὐτῶν
τε καὶ τοῦ κατ' αὐτοὺς βίου. Συμβαίνει γὰρ τῷ ὄντι τισὶν

τῶν ὀρεχθέντων μὲν φιλοσοφίας καὶ εὐζωΐας· διὰ τὴν
ἀφυΐαν τε καὶ δυσμοιρίαν· μὴ τυχόντων δὲ κατασχεθέντων
ὑπ' αὐτῆς· ἀλλ' ἐν ἐλπίδι τέως καὶ φαντασίας μόνη
γενομένοις τῆς ὑπεροχῆς αὐτῆς· καὶ ἐχθροὺς τῶν
ἄλλοις οἷοις ὡς ἂν ἀνέχονται ἐπαίρεσθαι διὰ τὸ
μὴ ἔχειν· οὐδὲν γὰρ οὕτω φιλοσοφίας καὶ εὐζωΐ(ας)
ἐστὶν ἀλλότριον. ὡς ἡ ἅμα ἐπάρσεις μὴ καὶ ὀφρῦς. ὧν
κενὴ ἡ ἔπαρσις αὐτή· τὸ γνῶθι σαυτὸν τοῦ θεοῦ παρά-
γγελμα μὴ λογιζομένη· ὃ καὶ ἀρχὴ καὶ τέλος, πάσα 5
ἐστὶ φιλοσοφίας καὶ εὐζωΐας. διὸ θεοῖς οὖν ἀναξίοι
τούτων οἱ ἐπαιρόμενοι φαίνονται· οὐ γὰρ ἀπὸ με-
γέθους ψυχῆς ἡ ἔπαρσις αὐτοῖς γίνεται· ἀλλ' ἐστὶν οἴ-
δημα κενὸν καὶ παρὰ φύσιν πρὸς τὰ ἐκτὸς ἐκχεό-
μενον, καὶ τῶν ἐντὸς ἀποσπώμενον τοῦ ὑγιαινοῦ
μεγέθους· ὥσπερ ἐπὶ τοῦ σώματος τὴν κατὰ φύσιν
διάθεσιν τῶν ἐντὸς ἑπομένου· καὶ δι' ὅλου γινο-
μένου ὁ μέγας καὶ συνέχει τὴν κρίσιν πρὸς τὰ ἐντὸς
τῶν ἐκτὸς διασώζοντος· παραγγέλλει σὺν τοῖς
ἐπιθυμοῦσι φιλοσοφίας· τοῦτο μὲν τὸ πάθος φυ-
λάττεσθαι πῶς καὶ ἄλλοις ἐστυγημένον· καὶ τοῦ ἐπι-
βουλεύεσθαι ῥᾳδίως καὶ δικαίως τοῖς ἔχουσιν αὐτόν·
καθαρεύον δὲ αὐτοῦ μὴ ἀποστρέφεσθαι πρὸς ἑαυτὸν
ὡς μόνοις καὶ ὀνειδισμοῖς ἄλλων ἀγνοούντων τί ἐστιν
ἄνθρωπος καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει· ἀλλὰ βε-
βαίως ἐμμένειν τῇ τοῦ βελτίονος βίου αἱρέσει·
ὡς ἐπὶ θεοῦ προτετραμμένον ἀπὸ τούτου· τὸ γὰρ μέ-
γιστον τῶν ἐκ θεοῦ ῥηθέντων αὐτοῖς φιλοσοφία ἐστί· δη-
λοῦσι δὲ καὶ οἱ καταγελῶντες αὐτοί· μεγάλην μὲν
ἔχοντες ἔννοιαν φιλοσοφίας· ἡμᾶς δὲ ὡς ἀναξί(ους)
αὐτῆς διασύροντες· ὅταν λέγωσιν ὅτι ἀφυῶς

φιλόσοφος ἡμῖν ἐπανελήλυθε· ἔτι δὲ μᾶλλον δη-
λοῦσιν ἐὰν πράως καὶ μετρίως ἦθος τὴν ἔνστασιν μέχρι
τέλους διαφυλάξωμεν· θαυμάσουσι γὰρ καὶ αὐτοὶ
τὸ φιλοσοφίας κάλλος καὶ μέγεθος ἐν τῷ πρότερον
καταγελωμένῳ ὁρῶντες· ἐὰν δὲ ἡττηθῇς φησὶ
τοῦ γέλωτος αὐτῶν, παραλύσῃς τὴν ἔνστασιν. καὶ
ἐπανέλθῃς πρὸς τὸ πρότερον, διπλοῦν τότε προσ-
λήψῃ καταγέλωτα· καὶ γὰρ ὁ ἐν ἀρχῇ γέλως, προ-
κόψαντος μὲν καὶ θαυμασθέντος ὑπὸ τῶν καταγε-
λώντων οὐδὲν ἦν πρός σε· ἀλλ' εἰς ἐκείνους ἀντε-
στρέφετο τοὺς καταγελῶντας· ἐὰν δὲ ἡττηθῇς αὐτῶν,
καὶ ἐκείνου τοῦ γέλωτος γένοιο ἄξιος· ἐπὶ κοθόρνῳ
ῥόπαλον ἐπιχειρήσας λαβεῖν, καὶ μεταζώσῃς ἀν-
τρους καὶ ἐπισεσυρμένης φιλοσοφίᾳ προσέλθῃς·
καὶ δεύτερον γὰρ ἐπεσπάσω πάλιν δὶς καὶ ὡς τὴν τάξιν
λιπὼν ἐν ᾗ κατετάχθης· καὶ ὑπὸ φαύλων οὐ πολε-
μίων γέλωτος καὶ μώκου καὶ τῶν τοιούτων αὐτῆς
ἐξωσθείς· διπλοῦ οὖν ὄντος ὁ τοιοῦτος προσλή-
ψεται καταγέλωτα δικαίως καὶ τοῖς ἔμφροσιν ἀρετῆς
ὅτῳ γέλωτι τὸν ἄδικον καὶ ἀγνοητῶν ἡττηθεὶς μὴ εἰ
πρὸς αὐτὸν ὄντι· εἰ τὴν ἔνστασιν δεῖ φυλάξαι· μὴ
διαφυλάξας δὲ δίκαιον ἑαυτῷ καὶ ἔμφρονα γενόμενον
εἰς ἑαυτὸν ἐπεσπάσατο· Καὶ ἔστιν ἱκανὰ ταῦτα βο-
ηθήματα μὲν πάντων ἐκ γενναίας εὑρισκομένης ψυχῆς, πρὸς
τὸ φυλάττειν πανταχοῦ τὰς καλλίστας ἐνστάσεις.
σύμμαχον γὰρ αὐτῇ καὶ τὴν ἐπὶ τοῖς καλοῖς φιλοτι-
μίαν ποιεῖ. τὸ μόνον ἱκανὸν προστίθεισιν τῷ λόγῳ,
καὶ εἰς αὐτὸν ἀποκαθαιρομένην· ὅτι τὴν τιμωμένην
δι' αὐτὴν καὶ τοὺς τιμῶντας ἁπλῶς ἀγαπῶμεν.
καὶ ἐξωτιθέμενοι τὸ ἀγαθόν· ἀλλά τε κμήριον αὐτῶν

× [illegible]

ποιούμεθα τοῦ ἔχειν τι ἀγαθὸν καὶ τιμῆς ἄξιον. διὸ οὐ τὴν τοῦ τυχόντος τιμὴν ἀποδεκτέον. ἀλλὰ τὴν τῶν ἐμφρόνων. ὧν τῇ μαρτυρίᾳ πιστεύειν ἀσφαλές.

ἄν ποτέ σοι γένηται ἔξω στραφῆναι, πρὸς τὸ βούλεσθαι ἀρέσαι τινί· ἴσθι ὅτι τὴν ἔνστασιν ἀπώλεσας:

κγ.

Εἰπὼν ὅτι τῶν βελτίστων φαινομένων ἔχεσθαι δεῖ, ὡς ὑπὸ θεοῦ τεταγμένον εἰς ταύτην τὴν χώραν· καὶ ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς καλῶς δεδογμένοις, αὐτοί σε θαυμάσονται οἱ πρότερον καταγελῶντες· ἐὰν δὲ ἡττηθῇς, διπλοῦν προσλήψῃ καταγέλωτα· καὶ προσταῦτα ἐπήγαγεν· ὅτι τὸ ἀφ' ἑαυτοῦ πρὸς τὸ ἔξω στραφῆναι ἐπὶ τῷ ἀρέσαι τινί, λύει τὴν φιλόσοφον ἔνστασιν τὴν εἰς ἑαυτὸν καὶ τὰ κρείττονα βουλομένην ἐστράφθαι. ἀρκοῦ οὖν φησὶν ἐν παντὶ τῷ εἶναι φιλόσοφος· τουτέστι τῷ ἀγαθὸς ἀνὴρ εἶναι. εἰ δὲ μὴ ἀρκεῖ σοι τὸ εἶναι μόνον, ἀλλὰ καὶ ἐμφαίνεσθαι βούλει τὸ σὸν ἀγαθόν, ἐπειδὴ τῶν οὕτως ἀγαθῶν καὶ καλῶν προλαμβάνει, καὶ μᾶλλον ἄν τις πιστεύοι ἀγαθὸς εἶναι· καὶ διαφαίνοιτο αὐτοῦ ἡ ἀγαθότης· καὶ τότε φησὶ μὴ πρὸς τὸ ἐκτὸς καὶ τοὺς πολλοὺς ἀποβλέπε μηδὲ ἀξίους ὄντας τῶν τοιούτων κριτάς· ἀλλὰ σεαυτῷ φαίνου. καὶ ἱκανόν ἐστι. φιλόσοφον γὰρ ἤδη. πρὸς γὰρ τοιοῦτον ὁ λόγος. ἅμα μὲν τὴν σεαυτοῦ συνείδησιν φυλάξεις, εἰς ἑαυτὸν ἐπεστραμμένος. ἅμα δὲ καλλίους αὐτῶν πολλῶν κριτὰς ἑαυτοῦ σεαυτὸν δείξεις. ἴσως δὲ ἐρεῖ τὴν διαφορὰν τοῦ προτέρου τοιούτου ῥηθέντος πρὸς τὸν ἀρχόμενον παιδεύεσθαι· καὶ τοῦ νῦν πρὸς τὸν ἤδη φιλοσοφεῖν ἐπιθυμοῦντα· κἀκεῖ μὲν γὰρ ἔλεγε μηδὲν βούλου δοκεῖν ὅλως ἐπίστασθαι·

ἐπειδὴ τοῖς ἐκτὸς ἐκκεχυμένος ἠκολούθησε πάντως δο-
καὶ πρὸς ἐκείνην τὴν δόξαν ἐπτοημένος· καὶ ὁ ὑπο-
κριτὴς ὢν ἑαυτοῦ ἀξιόχρεως· ἐνταῦθα δὲ ἐπι-
στρέφεσθαι πρὸς ἑαυτὸν οὗτος ἐστὶν ἑτοιμότερος
καὶ τοῦ δοκεῖν ὀρέγεσθαι ὡς τεκμηρίου τοῦ εἶναι ἀγαθός·
διὸ οὕτως εἶπεν ἀρκοῦ τῷ εἶναι· εἰ δὲ καὶ δοκεῖν θέ-
λεις, καὶ κριτὴς μέντοι σεαυτοῦ λοιπὸν δύνασαι
εἶναι· σεαυτῷ φαίνου φησὶ καὶ ἱκανόν ἐστι· μή ποτε
δὲ ἄλλην τινὰ χρείαν τοῦτο τὸ κεφάλαιον· δοκεῖ
γάρ μοι ὁ θαυμαστὸς οὗτος ἀνήρ, ἀσφαλῶς χρώμενος
τοῖς λόγοις, ὅταν εἴπῃ τὸ παρακούεσθαι δεῖν ἀ-
μενον· διὰ τὴν παρακοὴν διορθοῦν· εἰπὼν δὲ
προτρέπον ὅτι ἐὰν ἐμμείνοις τοῖς αὐτοῖς, οἱ κατα-
γελῶντες οὗτοι σε ὕστερον θαυμάσουσιν· ἂν δὲ
ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλω-
τα· δόξας τῆς ἔξωθεν κρίσεως ἐξαρτᾶσθαι τὸν ἀκού-
οντα· διὰ τοῦτο τῶν ἐκτὸς ἀναχωρεῖ τε ζητεῖ· καὶ ἀπὸ
τῆς πρὸς τοὺς ἐκτὸς δοκήσεως ἔξω τὴν ψυχὴν ἑλ-
κούσης καὶ ῥυπαινούσης αὐτήν, εἰς ἑαυτὴν ἐπαν-
άγει καθαρωτέραν οὖσαν· καὶ μηκέτι μάταιον· ἀλλὰ
χρείαν τινὰ παρεχομένην· τὸ γὰρ δοκεῖν τοῖς ἐμφρόσι
κρίταις ἀγαθὸν εἶναι τεκμήριον ὄντως ἱκανόν ἐστι τοῦ
εἶναι ἀγαθόν· καὶ πρὸς τοῦτο δὲ μᾶλλον βλέπων εἶπε τὸ
σεαυτῷ φαίνου καὶ ἱκανόν ἐστιν:

Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν· ἄ-
τιμος ἔσομαι καὶ οὐδεὶς οὐδαμοῦ:

λʹ Τῶν ἐπιστρεφομένων πρὸς τὴν ἑαυτῶν ἐπιμέλειαν,
ἄλλοι ὑπ' ἄλλων περισπῶνται τινῶν· καὶ ἀποτε-
κάμνων τὰς ἐνστάσεις ἑαυτοῖς τε καὶ τοῖς προτρέ-
πουσιν αὐτούς, ἐπὶ τὸ κρεῖττον προβάλλονται.

καὶ οἱ μὲν ὑπ' αὐτῶν ἀρχόμενοι παιδεύεσθαι ταῦτά μοι καὶ
αὐτῆς ἀφιστάντες λέγουσιν· ἂν ἀπειλήσῃς τῶν ἐμῶν, οὐχ
ὑβριστῶς διαστροφάς· ἂν μὴ κολάσω τὸν οἰκέτην πο-
νηρὸς ἔσομαι· οἱ δὲ ἤδη προκεκοφότες, ταῦτα
μὲν ὡς μικρὰ περιπτύσσουσι καὶ θαρροῦσιν ὅτι
κἂν οὕτως ἀχρήστοι πρὸς τὸ περὶ ἑαυτῶν ἔργον, ὡς
ὑπὸ λιμοῦ διαφθαρῆναι· ὑπὸ δὲ τῆς τῶν καθηκόντων
ἀποδόσεως· καὶ ὡς ἀγαθῆς καὶ ὡς τιμίας οὔσης περι-
ποιοῦνται. τῆς γὰρ καθαρωτέρας τιμῆς ὀρέγονται οὗτοι·
καὶ τὴν ἀτιμίαν ἐκκλίνουσι· καὶ φίλοις ἐπικουρεῖν
βούλονται· καὶ περὶ τὰ ἀπὸ τούτων φροῦσι τὰς ἀγωνίας,
ἃς διαλύει ἡμῖν ὁ Ἐπίκτητος· καλῶς δι' ἀπασῶν ὀξελ.
καὶ πρῶτον μὲν τὴν κοινὴν τίθησι τῆς ἀπὸ τῆς ἀτιμίας
εἰλημμένην· ὅτι ἀναχωρῶν τῶν ἐκτὸς καὶ τῆς ἀδοξίας
ἐν ᾗ ἂν ἄρες ἀνδρὶ περιπεπτέες τελέθουσι κατὰ τὸν Ὅ-
μηρον· ἄτιμος βιώσομαι καὶ οὐδεὶς οὐδαμοῦ. καὶ
λύει δεινῶς συλλογιζόμενος οὕτως· ἡ ἀτιμία κακ(όν)·
τὸ κακὸν ἐφ' ἡμῖν. ὥσπερ καὶ τὸ ἀγαθὸν τὸ ἐφ' ἡμῖν
γὰρ κἂν δι' ἄλλον ἢ ὑπ' ἄλλου ὑπάρχοι ἡμῖν, ἐπεὶ οὐκ
ἂν ἐφ' ἡμῖν ἐστι ἐλέγετο. ἡ ἄρα ἀτιμία ὅταν παρῇ
ἐφ' ἡμῖν, καὶ ἐν ἡμῖν ἐστι· κἂν ἀτιμάζωσί τινες
ἔξωθεν, κἂν μὴ ἀτιμάζωσιν. ὥστε οὐχ ἕξει τὴν ἀπὸ
τῶν ἄλλων ἀτιμίαν δεδοικέναι· οὐδὲ ἀτιμίαν
ὅλως νομίζειν αὐτήν· εἴπερ ἡ ἀτιμία κακόν. ὅσα
ἐφ' ἡμῖν ἐστίν. ἀλλ' ἴσως μὲν λοιπὸν τὰ λήμματα
ταῦτα παραληφθέντα πῶς ἔχουσι τῆς ἀληθείας. ἡ ἀ-
τιμία φησὶ κακόν ἐστιν. εἰ γὰρ τὸ ἀγαθὸν τίμιον ἦν,
ὡς πάντες ὁμολογοῦμεν, τὸ ἄτιμον καὶ ἡ ἀτιμία
κακὸν εἴη. εἰ γὰρ ἀγαθὸν ἦν τίμιον, δῆλον ἦν καὶ οὐκ ἄτιμον
ἐστὶν· εἰ ἡ τιμὴ ἀγαθόν ἐστιν, εἰ περὶ τοῖς ἀγαθοῖς προσή-
κει πᾶσι.

γὰρ ὀρθῶν καὶ τοῖς κρείττοσι καὶ τοῖς ἀγαθοῖς τῶν ἀγαθῶν ἡ τιμὴ προσήκει· καθὸ ἀγαθά ἐστι· δῆλον ὅτι ἡ ἀτιμία κακὸν ἂν εἴη· εἰ γὰρ τῷ ἐναντίῳ, τὸ ἐναντίον ὑπάρχει· καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρξει· ἐναντίον δὲ τιμῇ μὲν ἀτιμία· ἀγαθῷ δὲ κακόν. ὅτι δὲ τὸ ἀγαθὸν ἡμῶν καὶ κακὸν αὐτεξούσιοι οὔτ' ἐφ' ἡμῖν γέγονε, καὶ τῇ ἡμετέρᾳ προαιρέσει· κἂν ᾖ μὴ κατὰ προαίρεσιν ἡμῶν γινόμενον· ἢ ἀγαθὸν ἡμῶν ἐστιν ἢ κακόν, δέδεικται δ' ἡμῖν πρότερον. ὃ οὐχ ἧττον πάλιν ταῦτα λέγειν· ὥστ' οὐκ ἐφ' ἡμῖν ἡ ἀτιμία καὶ ἐν ἡμῖν ἐστιν ὅταν παρῇ, οὐκ ἂν ἄτιμοι διὰ τὰ ἐκτὸς εἶμεν· κἂν τελέως αὐτῶν καταφρονήσωμεν· ὃ γὰρ μὴ ἔστιν ἐφ' ἡμῖν τὸ τυχεῖν ἀρχῆς, ἢ τὸ παραληφθῆναι εἰς συμβουλὴν ἢ εἰς ἑστίασιν· τὸ μὴ τυχεῖν τούτων οὐκ ἂν εἴη κακὸν ἡμέτερον· ὥστε οὐδ' ἡ ἀτιμία· εἴπερ ἡ ἀτιμία κακόν· ἀλλὰ τί σημαίνει τὸ οὐ δύνασθαι ἐν κακῷ εἶναι δι' ἄλλον οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ· καὶ γὰρ καὶ περισκελέστερον ἀπείληπται πρὸς τὸ ῥηθὲν δῖον· ἔοικε δὲ τὸ μὴ δύνασθαι ἐν κακῷ εἶναι δι' ἄλλον ὡς αὐτὸ περιφανέστερον· ὡς γὰρ τοῦ ἀγαθοῦ τὸ καλὸν ἐκφανέστερόν ἐστιν· ἐπανορθοῦν αὐτοῦ τὴν κρυφιότητα. διὸ θέλγει καὶ κηλεῖ τοῦτο· καὶ καλεῖ πρὸς ἑαυτό. ὥσπερ πᾶσι μὲν ἀγαπητὸν κατὰ τῆς πρὸς αὐτὸ ἐπιστροφῆς, οὕτω καὶ τὸ αἰσχρὸν προφανέστερον καὶ προδηλότερόν ἐστι τοῦ κακοῦ· αἰσχρὸν δὲ λέγεται τὸ ταῖς ἡδοναῖς παρὰ τὸ προσῆκον κεχρῆσθαι· τοῦτο δὲ κατὰ προαίρεσιν καὶ οὐ δι' ἄλλον συμβαίνει· τὸ γὰρ ἥδεσθαι, ἡμέτερόν ἐστι κίνημα· οὐ μᾶλλον οὖν δύναταί τις ἐν κακῷ οὐκ ἔστι δι' ἄλλον· ὥσπερ ἡ

δύναταί τις ἐν αἰσχρῷ δι' ἄλλον· οὐ μᾶλλον δὲ ἐν κα-
κῷ εἶναι δυνατὸν δι' ἄλλον ἤπερ ἐν αἰσχρῷ· δῆλον
δὲ ὅτι ἐν κακῷ οὐκ ἔστι δι' ἄλλον εἴπερ μηδὲ ἐν μᾶλλον
ἔλαττο τὸ ἐν κακῷ τοῦ ἐν αἰσχρῷ εἶναι· καὶ γὰρ τὸ κακὸν
ὠφ(ελ)ήμων ὁμοίως ἐστίν, ὥσπερ τὸ αἰσχρόν· μήποτε
δὲ ἐκφαντικὸς τρόπος ὁ λόγος ἐστὶ τὸ ἀρμήτρον
μεῖον ὑπερβιβάζοντων ἢ μᾶλλον εἶναι ἢ μᾶλλον
οὕτως ἤπερ ἐν αἰσχρῷ· καὶ λέγει ἂν ὅτι οὐ δύναται
ἐν κακῷ εἶναι δι' ἄλλον· ἵνα ἐκ τοῦ μᾶλλον ἡ κατα-
σκευὴ τοῦ λόγου ληφθῇ· ἔχει δὲ ἂν ἀλήθειάν τινα
ὁ λόγος εἰ ἐμμονήσαιμεν· ὅτι τὸ μὲν καλὸν καὶ αἰσχρὸν
οἱ ῥήτορες τῷ ἐπαινετῷ καὶ ψεκτῷ χαρακτηρί-
ζουσι τῆς κρίσεως αὐτὸ τῶν πολλῶν ἐξαρτῶν·
τὸ δὲ σύμφορον καὶ ἀσύμφορον, ταὐτὸν δὲ εἰπεῖν
τὸ ὠφέλιμον καὶ βλαβερὸν· ἤτοι τὸ ἀγαθὸν καὶ κακὸν
οὐ θέσει τινί· οὐδὲ κρίσει ἀνθρώπων· ἀλλὰ φύσει λέγεται
ὑπάρχειν· ὡς πρὸς ταύτην οὖν τὴν ὑπόθεσιν τὴν τὸ
αἰσχρὸν τῆς κρίσεως τῶν ἀνθρώπων ἐξαρτῶσαν μᾶλλον
οὐ δυνατὸν ἐν κακῷ δι' ἄλλον εἶναι ἤπερ ἐν αἰσχρῷ·
ὅσῳ ἐν αἰσχρῷ μὴ δυνατὸν εἶναι δι' ἄλλον, ὡς εἴρηται ἐκ τοῦ
προτέρου· μᾶλλον οὐδὲ οὖν δυνατὸν ἐν κακῷ εἶναι δι'
ἄλλον· πῶς δέ φησι καὶ οὐδεὶς οὐδαμοῦ ἔσται, ἐὰν μὴ
δύναται μὲν πολιτικὴν ἔχῃς· ἐπειδὴ οὐχ οὗτος ἐστὶν
ὁ τρόπος ἐν ᾧ τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὸ ἀνθρώπινον· ἀλλ'
ἐν ὀρέξει καὶ ἐκκλίσει· καὶ ὅλως τοῖς ἐπὶ σοὶ ἔργοις
οἷς ἔξεστί σοι πολλοῦ ἄξιον εἶναι· ἐὰν σὺ θέλῃς καὶ τὰ
φύσει μὲν αὐτοῖς ἀναστρέφεσθαι· καὶ τὸν τρόπον
οἷον τοῦ ἀγαθοῦ ἐν σαυτῷ ἔχειν· καὶ δύνασθαι μηδενὸς ἐν
αὐτῷ πολλοῦ ἄξιος εἶναι· διὰ τί λέγεις οὐδεὶς οὐδα-
μοῦ εἶναι· δῆλον ὅτι δι' αὐτὸ τὸ τέως ἐν τοῖς ἐκτὸς

τὸ ἀγαθὸν τίθεσθαι· οὐκ ἀνάγκη καταφρονεῖν τὸν γυμν-
σι ὡς φιλοσοφοῦντα· ἀλλὰ κἂν ἐγὼ σιγῶ δυνάμ-
ην ἐμαυτοῦ πολλοῦ ἄξιος εἶναι· οἱ φίλοι φησὶν ἀ-
βοήθητοι ἔσονται, τοῦ πόσως προκεκοφότος ὅλος.
οὗτος γὰρ ὁ σουμενῶν ἐφ' ἑαυτοῦ καταφρονῶν πολλά
τῶν ἐκτός· ὀρέγεται δὲ βοηθεῖν τοῖς φίλοις· ἀγαθὸν
νομίζων αὐτὸ καὶ καλὸν ὑπάρχειν· καὶ διὰ τοῦτο
καὶ χρημάτων ἐνίοτε δὲ καὶ πολιτικῆς δυνάμεως
ἐπιθυμεῖ, διὰ τὸ μὴ ἀχρήστως εἶναι τοῖς ἑαυτοῦ
φίλοις. λύσομαι καὶ ταύτην τὴν ἔνστασιν ἀπό τε
τοῦ ἐφ' ἡμῖν καὶ αὐτοῦ τοῦ χρησιμώτερον εἶναι φίλον
τοῦ χρήματος, καὶ δύνασθαι πορίζοντος; τὸν
ἑαυτὸν πιστὸν εἰς τὴν φιλίαν παρεχόμενον· καὶ
ἀπὸ μὲν τοῦ ἐφ' ἡμῖν; ὅτι χρήματα καὶ πολι-
τικὴν δύνασθαι καὶ τιμᾶν, οὐκ ἔστι τῶν ἐφ' ἡμῖν.
εἰ μὲν γὰρ ἔχων τύχοι τις τῶν φιλοσοφούντων, διδόσθαι
προθύμως λαμβάνειν χάριν μᾶλλον ἐκ τούτου ἢ διδόναι
νομίζων· εἰ δὲ μὴ ἔχει, οὐδὲν ἀδικεῖ τὴν φιλίαν· τίς γὰρ
δύναται διδόναι ἑτέρῳ, ἃ μὴ ἔχει αὐτός· κτήσασθαι δὲ φασὶ
οἱ φίλοι, ἵνα καὶ ἡμεῖς ἔχωμεν· ἀλλ' εἰ μὴ δυνατὸν κτή-
σασθαι μὴ μένοντα καὶ πρὸς ὑμᾶς πιστὸν φίλον· ὡς
καθ' ἑαυτὸν πάντων κεκαθαρμένον τῶν, αἰσχύνην
τῷ φιλοσόφῳ φερόντων· δείκνυε τὴν ὁδόν, καὶ κ-
τήσομαι· καὶ ἔοικεν ὁ ἀνὴρ οὗτος ἐνδιδόναι· καὶ χρη-
ματίζεσθαί ποτε δι' αὐτοῖς φίλοις, καὶ πολιτικῆς
ἀντέχεσθαι δυνάμεως· ἐὰν ᾖ δυνατὸν πορίζεσθαι
ταῦτα. καὶ ἔχειν ἀβασάνιστον τὸν κατὰ φύσιν ἑαυτῷ
προσήκοντα βίον· εἰ δ' ἀδύνατον, ὡς ἐπὶ τὸ πλεῖστον
ἐστὶ τοῦτο. καὶ ἀνάγκη ταῦτα βουλόμενον περιποιή-
σασθαι τὴν ἔνστασιν ἀπολέσαι τοῦ οἰκείου ἀγαθοῦ.

δῆλον ὅτι οἱ λέγοντες εὖ κτήσασθαι εἶναι καὶ ἡμᾶς ἐχόμενοι,
τὸ ἑαυτοῦ ἀγαθὸν αἰτοῦσιν γὰρ ἀπολέσαι· τουτέστι τὸ
τῆς λογικῆς ψυχῆς ἀγαθόν· εἶναι αὐτοὶ τὰ μὴ ἀγαθὰ
ἑαυτῶν περιποιήσονται· οὐ γὰρ ἔστιν ἃ ζητοῦσι τῆς
ψυχῆς ἀγαθὰ τῆς λογικῆς. καθ' ἣν ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν·
ἀλλ' ὀρεκτὰ τῶν ἀλόγων ὀρέξεων· ἀνομοιομερέσιν οὖν τοῖς
ἀνίσοις· ἄνισοι μέν, ὅτι καὶ οἱ φίλοι· ἡ γὰρ φιλότης,
ἰσότης ὡς ἔλεγον οἱ Πυθαγόρειοι. Καὶ ὅτι ἀνίσου ἐστὶ
τὸ ἐλέγχεσθαι κακῶν τῶν ἐσχάτων περιβάλλειν τὸν φίλον·
διὰ τὸ ἀποπλῆσαι τὴν ἄλογον ἑαυτῶν ὄρεξιν· ἀνω-
μονεσ δέ, καὶ ὡς τῷ δόντι ἑαυτὸν εἰς συμπεριφορὰν
αὐτοῖς, τοιαῦτα προστάττοντες· καὶ ὡς μηδὲν ἀμείνων
διακρῖναι τὴν διαφοράν· ὅτε ἀπόλλυσιν ὁ φίλος
πειθόμενος αὐτοῖς, καὶ οὐ αὐτοὶ περιποιήσονται.
ὅτι ἐχαίρομεν, ἀγαθῶν τὸ μέγιστον αὐτοῖς. τοῦτο δέ, οὐ
μόνον ἀγαθὸν τούτων ἴδιον, ἀλλ' ἐνίοτε καὶ κακόν.
ἀνωμοίας δὲ αὐτοὺς καὶ ἀμοιβὴ τοὺς ἴσους καὶ διὰ τὸ
ἐφ' δόξης ἐπαινούμενον καλόν· ὅτι ἀργύριον ἀντὶ τοῦ φιλοτ
προτιμῶσι καὶ αἱ δήμονος· διὰ τοῦτο δὲ καὶ ἐναρ
γέστερον δείκνυσιν. ὅτι οὐκ ἔσται τοῖς φίλοις ὁ τοιοῦτος
ἄχρηστος· ἀλλὰ καὶ χρησιμώτερος τῶν πορίζοντ(ων)
ἀργύριον· ἃ γὰρ καὶ οἰκετῶν οἱ πιστοὶ καὶ οἱ δήμονες
χρησιμώτεροι τῶν τεχνικῶν καὶ ἐργατ... κῶν
εἰσὶ καὶ τιμιώτεροι τοῖς δεσπόταις, τοσῷ μᾶλλον
οἱ τοιοῦτοι φίλοι· τῶν πορίζοντων ἀργύριον τιμι-
ώτεροι τοῖς ἔμφροσιν ἔσονται· καὶ γὰρ πρὸς συνδια-
γωγὴν καὶ συμβουλὴν οὗτοι· καὶ πρὸς φυλακὴν τῶν
φιλτάτων καὶ τιμίων· καὶ ἐν κινδύνοις καὶ νόσοις.
ὃ μετὰ θάνατον οἱ πιστοὶ φίλοι χρησιμώτεροι δοκ-
κινῶνται· οὐδὲν ἀπᾴδοντες τῶν χρεωμένων αὐτοῖς

ζ φιλ.

ἆρ' οὖν φίλοι ὄντες εἰσί, συλλήψονται τῷ φίλῳ εἰς
τὸ πιστὸν δῆλον μένειν καὶ αἰδήμονα· καὶ πρὸς τὸ ἑ-
αυτῶν χρησιμώτερον ἀποβλέποντες· ἀλλ' οὐκ
ἐκεῖνα παρ' αὐτοῦ ἀξιοῦσι· δι' ὧν καὶ τὸ φίλος
εἶναι πιστὸς καὶ χρήσιμος τοῖς φίλοις ἀπολέσει:

ἀλλ' ἡ πατρὶς ὅσον ἐπ' ἐμοί φησιν ἀβοήθητος ἔσται· πρὸς
τὸ μηδὲν οἷα καὶ τῶν ἐκτὸς ὡς ἀλλοτρίων καταφρονοῦντι:

λα'

Ἡ δίω αὐτὸ μὲν καὶ διὰ τῶν αὐτῶν, καὶ ταύτην λῦσαι
τὴν ἔνστασιν· ὅτι τῶν ἐπὶ σοὶ κύριος εἶ· τίς δέ σοι
εἶπεν ὅτι τῶν ἐπὶ σοί ἐστι· στοὰς καὶ βαλανεῖα
τῇ πατρίδι περιποιεῖν· τίς δὲ διὰ ταῦτα ἑτέρῳ δοῦναι
ἃ μὴ ἔχει αὐτός· κἂν ἀκούσῃ κτήσασθαι οὖν ἵνα καὶ ἡ
πατρὶς ἔχῃ τὰ πρότερον ἐκεῖνα ἐπάγαγε· ἀλλ' ἐάσας
ταῦτα νῦν ὡς κοινὰ συνῳδόν, ἡ δὲ ἱκανωτέραν
πρὸς φύσει ἑτέραν μετὰ πολλῆς ἐναργείας, τὴν
πρὸς τὴν πεῖραν ἀπόκρισιν γοργῶς ἐποιήσατο.
τί πρὸς σὲ τοῦτο φησίν· ἀξιοῖ σε στοὰς ἡ πατρὶς δυνηθ-
ς βαλανεῖσθαι· οὐδὲ γὰρ ὑποδήματα διὰ τὸν χαλκέα
ἔχει· ἀλλὰ διὰ τόν, τῶν ὑποδημάτων δημιουργόν·
οὐδὲ ὅπλα διὰ τὸν σκυτέα· ἀλλὰ διὰ τὸ ὁπλο-
ποιόν· πᾶσα γὰρ πόλις τό τε συμφέρον τὸ ἑαυτῆς
ς δικαίως οἰκεῖται· ὅταν ἕκαστος τῶν ἐν αὐτῇ τὸ ἑαυτοῦ
ἔργον ἐκπονῶν, μὴ πολυπραγμονῇ· ἀλλ' ὁ μὲν χαλ-
κεὺς καὶ τῶν ἄλλων ἕκαστος τῶν τοιούτων, τὸ ἑαυτοῦ
ἔργον χρήσιμον τῇ πόλει παρέχει· ἐγὼ δὲ φαίη
ἂν ὁ φιλοσοφῶν· τί ἂν αὐτῇ χρήσιμος εἴην· πρὸς
ὃν πόλιν καλῶς ὑπάρχει· ὡς εἰ ἄλλον τινὰ κατε-
σκεύαζες αὐτῇ, πιστὸν καὶ αἰδήμονα πολίτην· ἆρα
οὐκ ἂν χρειῶδές τι αὐτῇ, τοῦ χαλκέως ἐπόριζες·
ὥστε μάλιστα μὲν ἂν καὶ ἄλλους κατασκευάσῃς τοιούτους.

τὰ μέν, νουθετῶν καὶ διδάσκων· τὰ δέ, παραθήγων
καλοῦ καὶ ἀγαθοῦ πολίτου γινόμενον· ὃ δὲ μή, ἀλλὰ σοῦ
ἂν τι παρέχων τοιοῦτον χρησιμώτερόν τι παρ' ἂν
αὐτῇ ὧν οἱ ἄλλοι παρέχουσι· τίνα γὰρ φησὶν ἕξω
χώραν ἐν τῇ πόλει, ὥσπερ ἕκαστος τῶν ἄλλων ἔχει·
ὁ μέν, ἄρχων· ὁ δέ, προπολεμῶν· ὁ δέ, τῶν πρὸς
τὸν βίον τι χρησίμων δημιουργῶν· αὐτὸς μὲν οὖν
κοινῶς πρὸς τοῦτο ἀπήντησεν· ὅτι ἣν ἂν αὐτὴ
χώραν ἔχειν ἐν τῇ πόλει φυλάττων τὸν πιστὸν καὶ
αἰδήμονα ταύτην ἔχει. ἃ δὲ ἐς χρήματα καὶ βλά-
ψαι ἢ σῶσαι βουλόμενος ὦ φίλ' ἂν ἀποβάλῃς τὸ
πιστὸν καὶ αἰδήμον· οὐδὲ ἐς ἐκεῖνα ἴσως ὦ φίλ' ἥκεις
αὐτήν· ἅπαξ ἄπιστος καὶ ἀναιδὴς ἀποτελεσθείς·
τί δὲ κάλλιον αὐτῷ πιστοὺς ἔχειν καὶ αἰδήμονας πολίτας
ἢ σῶσαι καὶ βλάψαι· ἀλλὰ ζητητέον τίνα χώραν ἕξων
ὁ φιλοσοφῶν ἐν τῇ πόλει καθέξει· ἢ μάλιστα μὲν
τὴν ἄνω ποιῶν· καὶ πιστῶν καὶ αἰδημόνων πολιτῶν
δημιουργόν· ἔργον γὰρ δεῖ οὐδὲν ἄλλο ἢ ἑαυτόν τε
καὶ τοὺς ἄλλους· ἐς φύσιν ἄνω προσήκοντα βίον
ἀποκαθαίρειν· κοινός τε πάντων ἔσται ὥσπερ παι-
δαγωγός· διορθωτής τε καὶ σύμβουλος· καὶ κη-
δεμὼν πᾶσιν ἑαυτὸν παρέχων· ὡς συνεργὸς τῶν
ἀγαθοῦ· τοῖς μὲν εὐημεροῦσι, συνηδόμενος· τοῖς δ'
λυπουμένοις συνταλαιπωρῶν· καὶ παραμυθού-
μενος αὐτούς· καὶ ἁπλῶς ἐκεῖνα πράξει ἅπερ ὁ
νομίζων ἔργον ἴδιον ἔχειν· καὶ χώραν ἐν τῇ πόλει
τὴν πάντων ἀμείνω ἐνοικητικὴν ἐπιμέλειαν ἐφ'
ὅσον δύναται· ἃ δὲ καὶ πρὸς ἕν τι τῶν ἐν τῇ πόλει
ἐπιτηδευμάτων ἀποκεχωρισμένον αὐτὸν ἐθέλ-
ειν· ἐν μὲν ταῖς ἀγαθαῖς πολιτείαις καὶ ἀρχῶν.

πάντων ὁ τοιοῦτος αἱρεθήσεται, ὡς ὑπερέχων
τῶν ἄλλων· καὶ τὴν τοῦ ποιμένος ὥσπερ τὰ πρό-
βατα σώζων ἀναλογίαν· καὶ σύμβουλος ὡς ἔμ-
φρων· καὶ στρατηγὸς ἂν τῶν κατὰ πόλεμον ἐμ-
πειρος τύχοι ὡς ἀνδρικώτερος τῶν ἄλλων καὶ
εὐβουλότερος· καὶ γὰρ καὶ Σωκράτης ἐν τῇ ἐπὶ
Δηλίῳ μάχῃ τὰ ἀριστεῖα ἔλαβε· καὶ διὰ τῶν
πολεμίων ἀναχωροῦντι μόνῳ φα, οὐδεὶς ἐτόλ-
μησεν ἐπελθεῖν πάντων τοῦ ἀνδρὸς καταπλα-
γέντων τὸ φρόνημα· ἀλλὰ καὶ Ξενοφῶν, τοῖς
μυρίοις Ἕλλησι διέσωσε στρατηγὸς αἱρεθείς·
διὰ τοιαύτης ὁδοῦ καὶ τοιούτων ἐθνῶν· ἣ καὶ
τὴν Ἑλλάδα παρακομίσας αὐτούς· καὶ δικασ-
τὴς οὗτος δίκαιος ἔσται· καὶ πρεσβευτὴς ἀξι-
όχρεως· καὶ φύλαξ τῶν φυλακῆς δεομένων πιστός.
πολλὰς οὖν ἕξει χώρας ἐν τῇ τοιαύτῃ πόλει ὁ τοιοῦτος.
ἐν μέντοι ταῖς μοχθηραῖς πολιτείαις, τῶν μὲν κοι-
νῶν ἀφέξεται πραγμάτων· οὔτε ἀρέσκων τοῖς κακῶς
πολιτευομένοις, οὔτε αὐτὸς ἐκείνοις ἀρεσκόμενος·
οὔτε δυνάμενος τοῖς τῶν τοιούτων ἀρχόντων ὑπηρετεῖν·
φυλάττειν ἅμα τὸν πιστὸν καὶ ἀδήμονα· διό-
νουθετεῖν πράγματα ἀδύνατα παρ' αὐτοῦ μένοις.
ἣ μὲν δυνατός ἐστιν, ἐς ἄλλην καλλίονα πολιτείαν
μεταχωρήσει· ὡς ὁ αὐτὸς Ἐπίκτητος τῆς Δομετι-
ανοῦ τυραννίδος καταλυμούσης, ἀπὸ τῆς Ῥώμης
ἐξέστη πρὸς τὴν Νικόπολιν· εἰ δ' ἀδύνατο
ὡς ὑπὸ τῷ ἡλίου τι κρυβήσεται, τὸν κονιορτὸν
ἐκκλίνων· ἑαυτοῦ τε καὶ τῶν ἄλλων ὧν ἂν δύναι-
το τῆς σωτηρίας ἐπιμελόμενος· καὶ παν-
ταχοῦ νύκτωρ καὶ μεθ' ἡμέραν σκοπῶν.

καὶ μέρει κινεῖται, διὰ τοῦ κινοῦντος μέρους πάλιν τὸ αὐτὸ ἐρωτητέον· πότερον αὐτοκίνητόν ἐστιν ἢ ἑτέρωθεν κινούμενον καὶ μέχρι τούτου ἢ εἰς ἄπειρον προελευσόμεθα· ἢ αὐτοκίνητον ὑποθησόμεθα τὸ πρῶτον ὡς ὅλον κινοῦν καὶ ὅλον κινούμενον· ταῦτα δὲ αὐτὰ καὶ περὶ τοῦ αὐθυποστάτου ῥητέον· ἀλλ' ἀνάγκη τὸ πρῶτον καὶ κυρίως αὐθυπόστατον ὅλον ὑφιστῶν εἶναι, καὶ ὅλον ὑφιστάμενον· τὸ δὲ τοιοῦτον ἀμερὲς διὸ ἀνάγκη εἶναι καὶ ἀδιάστατον· μεριστὸν γὰρ καὶ διαστατὸν ὑπάρχον, οὐ δύναται ὅλον ὅλῳ ἑαυτῷ ἐφαρμόττειν· ὥστε τὸ ὅλον εἶναι κινοῦν καὶ ὅλον τὸ αὐτὸ κινούμενον· ἢ ὅλον ὑφιστῶν εἶναι καὶ ὅλον ὑφιστάμενον· ἀλλ' οὐδὲ ἁπλᾶ εἶναι τὰ σώματα δύναται ἐξ ὑποκειμένου τινὸς ὄντος καὶ εἴδους· καὶ πολλῶν τῶν συμπληρούντων αὐτὰ μεγέθη· σχήματα· χρώματα· καὶ τῶν τοιούτων· ἅπερ οὐκ ἔστι πρωτουργὰ εἴδη, ἀλλὰ μεθέξεις τῶν πρωτουργῶν εἰδῶν· ἐν ὑποκειμένῳ τινὶ ἀεὶ δεόμενα τοῦ μετέχοντος γινόμεναι· ὅπου μὲν γάρ ἐστι πρωτότυπα τὰ εἴδη ἐστὶν αὐτὸ τοῦτο ἕκαστον ὅπερ ἐστί, καὶ οὐ δεῖται τινὸς τοῦ μετέχοντος ἀνενδέου· ὅπου δὲ μέθεξίς ἐστιν ἀπὸ τῶν πρωτοτύπων, δεῖ πάντως ἄλλο εἶναι τὸ μετέχον, ἀλλ' ἐνδέον καθ' αὑτὸ ὑπάρχον· ἐπεὶ οὖν αἱ μὲν ἀρχαί, ἀσώματοι καὶ ἀδιάστατοι εἰσὶ καὶ ἁπλαῖ καὶ πρωτουργοί· αὐτοκίνητοί τε καὶ αὐθυπόστατοι, ἢ καὶ κρεῖττόν τι τούτων· τὰ δὲ σώματα οὐ δύναται εἶναι τοιαῦτα, δηλονότι τὰ σώματα, οὐκ ἂν εἶεν ἀρχαί· τί οὖν ἐστι τὸ αὐτοκίνητον ὃ φαμὲν κινητικὸν ὑπάρχον τῶν σωμάτων ἑτεροκινήτων ὄντων ἀρχῆς ἔχειν πρὸς αὐτὰ λόγον· ἢ τοῦτό ἐστι τὸ ἔνδοθεν κινοῦν τὰ σώματα καὶ οὐκ ἔξωθεν· εἰ γὰρ

μὴ ἦν αὐτοκίνητον τὸ ἔνδοθεν κινοῦν· ἀλλὰ καὶ αὐτὸ
ὑφ' ἑτέρου ἐκινεῖτο, οὐκ ἂν ἔνδοθεν ἐλέγομεν κινεῖσθαι·
ἀλλ' ἔξωθεν τὰ σώματα κινοῦντι ἄλλο ἢ τοῦτο ὃ λέγομεν
ψυχήν· καὶ γὰρ τὸ ἔμψυχον λέγομεν ἤτοι γοῦν ἡ ψυχὴ ἔν-
δοθεν κινεῖσθαι τὰ σώματα· τὸ δὲ ἔνδοθεν κινοῦν τὰ
σώματα, τὸ αὐτοκίνητον ἐστὶν ἡ ψυχὴ ἂν εἴη τὸ αὐτο-
κίνητον ἀρχὴ καὶ αἰτία τῶν γινομένων καὶ κινουμένων
ὑπάρχουσα· καὶ λόγους ἔχουσα ἐν αὐτῇ τούτων καθ'
οὓς γίνονται τὰ γινόμενα· καὶ κινοῦνται τὰ κινού-
μενα· εἰ μὴ γὰρ ἐστὶ πρωτουργὰ τὰ ἐν τοῖς σώμασιν
εἴδη· ἀλλ' ἐκ τοῦ αὐτοκινήτου προσεχῶς ὑφίσταται·
δῆλον ὅτι ἑκάστου εἴδους τῶν ἐν τοῖς σώμασι καὶ ὅλως
γεννητῶν, ἡ πρωτουργὸς ἀρχὴ ψυχική ἐστι· ἧ ἐκεῖνα
ἐστὶ τὰ εἰλικρινέστερα καὶ καθαρώτερα· ἵνα γὰρ
ἐφ' ἑνὸς ποιήσωμεν τὸν λόγον· τὸ ἐν σώμασι καλὸν
ἐν σαρξίν ἐστι καὶ νεύροις· καὶ τοῖς τὸ σῶμα συμπλη-
ροῦσιν εἴτε τῶν ζώων καλλίων μὲν ὡς δυνατὸν
ἐκείνων· μεταλαμβάνον δὲ καὶ αὐτὸ τῆς ἐκείνων
ἀσχημοσύνης· καὶ βεβαπτισμένον εἰς αὐτήν· τὸ δὲ
ἐν τῇ ψυχῇ καλὸν ἀπολελυμένον τούτων ἁπάντων·
ὡς οὐκέτι ἐκείνων καλοῦ· ἀλλ' αὐτοκαλὸν ὑπάρχον ὅλον
καθαρόν ἐστιν. οὐ τῇ μὲν καλὸν τῇ δὲ οὐ καλόν· ἀλλ' ὅλον
δι' ὅλου καλόν· διὸ καὶ ὅταν ἡ ψυχὴ τὸ ἐν αὐτῇ καλὸν
ἴδῃ ἢ τὸ ἐν ἄλλῃ ψυχῇ, ἀτιμάζει τὸ σωματικὸν καλὸν
καὶ περιφρονεῖ αὐτό. πρὸς ἐκεῖνο παραβάλλουσα· οὕτω
δὲ καὶ τῶν ἄλλων εἰδῶν ἕκαστον πρωτουργὸν καὶ εἰ-
λικρινές ἐστιν ἐν τῇ ψυχῇ· δῆλον δὲ ὅτι τοῖς σώμασιν
ὁμοίως καὶ ψυχαὶ διήκουσαι διὰ τὰ σώματα κινοῦσαι·
ὡς αἱ μὲν τῶν οὐρανίων εἰσίν, αἱ δὲ τῶν ὑποσεληνίων·
ἀλλὰ τὸ γὰρ τὰ μὲν χείρονα τῶν σωμάτων, ἔμψυχα εἶναι
ζητῶ.

τὰ δὲ κράτιστα, ἄψυχα καὶ νεκρά· καὶ λόγον οὖν ἔχουσιν
αἱ ψυχαὶ πρὸς ἀλλήλας· ὅνπερ τὰ σώματα αὐτῶν· οἷον
αἱ οὐρανοῦ καὶ τῶν ὑπὸ σελήνην· καὶ σημεῖον μὲν οὕτως
ὅτι τίμιον τὸ χρῆμα τῆς ψυχῆς καὶ μάλιστα τῆς ὅλης·
ὅτι ἀρχῆς λόγον ἐπέχει τῶν ὅλων· ἀλλ' οὔτι γε τῆς πρώτης·
τὸ γὰρ αὐτοκίνητον καὶ αὐθυπόστατον· τῶν μὲν ἑτερο-
κινήτων καὶ ἑτεροσυστάτων ὑφισταμένων προϋπάρχει·
τῶν ἁπλῶς δὲ ὅμως ἐστὶν αὐτοκινήτου καὶ κινουμένου·
ὅτι ὑφισταμένου καὶ ὑφισταμένου· δεῖ δὲ πρὸ τοῦ συνθέτου
τὸ ἁπλοῦν εἶναι· καὶ πρὸ τῶν δύο τὸ ἕν· ἔτι δὲ καὶ ὑφ'
ἑαυτοῦ κινεῖται τὸ αὐτοκίνητον· ἀλλὰ κινεῖται ὁμοίως
ὅτι μεταβάλλει· κἂν μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὰς ἐνερ-
γείας· οὐ τὰς σωματικὰς κινουμένου κινήσεις· καὶ
γὰρ ἐνεργείας ἀκίνητόν ἐστιν· ἀλλὰ τὰς ψυχικὰς αἷς
ὁμολογεῖται σκοπεῖσθαι βουλεύεσθαι· διανοεῖσθαι δο-
ξάζειν· καθ' ἃς αὐτὴ κινουμένη κινεῖται τὰ σώματα·
κατὰ τὰς σωματικὰς κινήσεις. δεῖ δὲ πρὸ τοῦ ὅλως
πῶς σωμάτων μεταβαλλόντων τὸ εἶναι τὸ τελέως ἀμετά-
βλητον· ἵνα καὶ τὸ μεταβάλλον μὲν ἢ μεταβάλλον·
ἡ μὲν γὰρ κίνησις καὶ μεταβολή. καὶ τοῖς οὐρανίοις
ὅτι τοῖς ὑπὸ σελήνην, ἀλλὰ ὑπὲρ τῆς πρώτης κι-
νούσης· τὸ δὲ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως κινεῖ-
ται αὐτὰ καὶ πρὸς τὰ αὐτά· καὶ καθ' ἕνα λόγον ὅτι
μὲν αὐτὰ ζῆν πόθεν ὑπάρχει τοῖς οὐρανίοις· ὅθεν δὲ
ὅτι ἐν τοῖς ὑπὸ σελήνην ἡ ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ
ἀνακύκλησις· τῶν τε στοιχείων καὶ τῶν ὡρῶν καὶ
τῶν ζώων καὶ τῶν φυτῶν· κἂν γὰρ τῷ ἀριθμῷ
μὴ μένῃ τὰ αὐτὰ ἀνακυκλούμενα ὥσπερ ἐπὶ τῶν
οὐρανίων· ἀλλὰ καὶ τῷ εἴδει τὰ αὐτὰ ἀποκαθίσταται·
ἐκ γῆς πῦρ, ἀήρ· καὶ ἐξ ἀέρος ὕδωρ· καὶ
ἐξ ὕδατος γῆ.

καὶ πάλιν πῦρ· καὶ μετὰ ἔαρ θέρος· καὶ μετόπωρον
χειμών· καὶ πάλιν ἔαρ· καὶ ἀπὸ πυροῦ καλάμη
βοτάνη καὶ ἄσταχυς· καὶ πάλιν πυρός· καὶ ἀπὸ
ἀνθρώπου σπέρμα· καὶ καταμήνιον καὶ πάλιν ἄνθρωπος.
πόθεν οὖν αὕτη ἡ ταυτότης· ἡ γὰρ κίνησις ἐκστα-
τική ἐστι· καὶ ἑτεροποιός· δηλονοῦν ὅτι ἀπὸ ἀ-
κινήτου τινός. καὶ παντάπασιν ἀμεταβλήτου
αἰτίας· τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης.
γὰρ τοῦ ποτὲ μὲν τάδε νοοῦντος ἢ ποιοῦντος.
ποτὲ δὲ χρονικὰς τὰς ἐνεργείας ἔχοντος, προη-
γεῖσθαι ἀνάγκη· τὸ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως.
ἐν ἀμερεῖ καὶ ἀκινήτῳ αἰῶνι πάντα ἐνεργοῦν.
ὅσῳ γὰρ τοῦτο τοῦ αὐτοκινήτου κρεῖττον. τὸ μὴ μόνον
κατ' οὐσίαν ἀμετάβλητον. ἀλλὰ καὶ κατὰ δύ-
ναμιν καὶ κατ' ἐνέργειαν πρόδηλόν ἐστι· τὸ δὲ
κρεῖττον ἀνάγκη προϋπάρχειν κατ' οὐσίαν τῶν
κατὰ δεύτερον· καὶ χρὴ τὸν ἐπὶ τὰς ἀρχὰς ἀνα-
βαίνοντα ζητεῖν εἰ δυνατὸν εἶναί τι κρεῖττον τῆς ὑπο-
τεθείσης ἀρχῆς· κἂν εὑρεθῇ πάλιν ἐπ' ἐκείνου ζη-
τεῖν ἕως ἂν εἰς τὰς ἀκροτάτας ἐννοίας ἔλθωμεν· ὧν
οὐκ ἔτι σεμνοτέρας ἔχομεν. καὶ μὴ στῆσαι τὴν
ἀνάβασιν· οὐδὲ γὰρ εὐλαβητέον μὴ κενεμβα-
τῶμεν μεῖζον αἰτίαν καὶ ὑπερβαίνοντα τὰς πρώτας
ἀρχὰς περὶ αὐτῶν ἐννοοῦντες· οὐ γὰρ δυνατὸν
τηλικοῦτον πήδημα πηδῆσαι τὰς ἡμετέρας
ἐννοίας ὥστε παρισωθῆναι τῇ ἀξίᾳ τῶν πρώτων
ἀρχῶν· οὐ λέγω καὶ ὑπερπτῆναι· μία γὰρ αὕτη
πρὸς θεὸν ἀνάστασις ἀρίστη· καὶ ὡς δυνατὸν ἀπλαγὴς
τὸ ὧν ἐννοοῦμεν ἀγαθῶν τὰ σεμνότατα καὶ ἁγιώ-
τατα πρωτουργὰ καὶ ὀνόματα καὶ πράγματα

αὐτῷ ὀνόματι θέντας ἀδεῶς ὡς καὶ ὅτι μηδὲν ἀγα-
στὸν καὶ μηδὲν ἄξιον· ἀρκεῖ δὲ ἡμῖν εἰς συγγνώμην
τὸ μηδὲν ἔχειν ἐκείνων ὑπέρτερον· ἀνελθόντος
τοίνυν τοῦ λόγου ἀπὸ τοῦ αὐτοκινήτου ἐπὶ τὸ ἀ-
κίνητον καὶ κατὰ πάντα τρόπον ἀμετάβλητον
αἴτιον· καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον
τῇ τε οὐσίᾳ καὶ ταῖς δυνάμεσι· καὶ ταῖς ἐνεργείαις·
ἐν αἰῶνι ἱδρυμένον τὸ τὸν χρόνον τοῖς κι-
νουμένοις συνυποστήσαντα· καὶ τῶν πολλῶν ἀρχῶν
τῶν ἐν τῷ αὐτοκινήτῳ τὰς ἀρχικωτέρας αἰτίας
ἐν τῷ ἀκινήτῳ θεασόμεθα. ἀκινήτους καὶ αἰωνίας
ὁλοτελεῖς· καὶ πρὸς ἀλλήλας ἡνωμένας· ὡς ἑ-
κάστην τὰς πάσας ἅμα διὰ τὴν ἕνωσιν μενούσας
ἀσυγχύτους τῆς νοερᾶς διακρίσεως· ὅθεν γὰρ τοῖς
ἐν τῷ κόσμῳ ἅπασιν ἡ διάκρισις. ἡ μὴν ὁ τοῦ κόσ- μων
δημιουργὸς θεὸς, κατὰ τὰς ἐν αὐτῷ διακεκριμένας
αἰτίας αὐτὰ παρήγαγεν. οὐ μέντοι τοιαύτη ὑπονο-
ητέον ἑκάστων ἀρχετύπων ἰδεῶν τὴν διάκρισιν.
οἵα ἐστὶν ἡ τῶν εἰκόνων ἐνταῦθα· οὐδὲ ἡ τῶν
ψυχικῶν λόγων διάκρισις τοιαύτη ἐστὶν οἵα ἡ τῶν
σωματικῶν· ὥσπερ δὲ ἕκαστος τῶν ὄντων ὅμοιον.
τῶν ἐν αὐτοῖς ἀστέρων. καὶ μέρος ἐστὶ τοῦ ὅλου
ὅμως καὶ αὐτοτελὲς μέρος οὐσίαν τε ἔχον ὁλόκλη-
ρον δυνάμεις καὶ ἐνεργείας οἰκείας· καὶ οὐ μόνον τὰ
ἐν ὁμοίῳ, ἀλλὰ καὶ τῶν ὑπὸ σελήνην ἰδεῶν τῶν ἀεὶ
ὄντων ἕκαστον· οἷον τὸ ἀνθρώπου· τὸ ἵππου· τὸ συκῆς
ἢ ἀμπέλου· ὁλόκληρα γὰρ τούτων ἕκαστα· κἂν
μὴ κατὰ τὰ ἄτομα ὥσπερ τὰ ὅμοια· ἀλλὰ κατὰ
τὰ εἴδη ταῖς οἰκείαις διαφοραῖς συμπληροῦντα τὸν
κόσμον· ὁμοίως δὲ καὶ τῶν ἀπὸ οὐρανοῦ γενῶν ἕκα-
στον συνιστῶντα.

οἱ) οὐσία· κίνησις· στάσις· ταυτότης· ἑτερότης· καὶ
ἀλήθεια· συμμετρία· καὶ πάντα τὰ ἄλλα τὰ ἐν
τῷ σωματικῷ κόσμῳ ἕκαστον ὅλον καὶ τέλειόν ἐστι κατὰ
τὸ ἑαυτοῦ εἶδος· καὶ πολλὰς ἔχον διαφορὰς ἐν ἑαυτῷ·
πολλῷ δὲ ἔτι μᾶλλον ἐν τῇ τοῦ παντὸς ψυχῇ ὁλο-
τελὲς ἕκαστον προϋπάρχει· ἀρχὴ καὶ αἰτία τοῦ ἐν-
ταῦθα σωματικοῦ· αὐτοκίνητος οὖσα καὶ ἠρεμοῦσα ὡς
αὐτοῦ τὰς διαφορὰς περιέχουσα· καὶ πρὸς ἐκεῖνο
τὰ ἐνταῦθα ἀναλογοῦντα τελεώτερον καὶ εἰλικρι-
νέστερον καὶ παραδειγματικώτερον ὑπάρχον· πολλῷ
δὲ ἔτι μᾶλλον καὶ ταῦτα τούτων ἀρχέτυπα εἴδη· τῷ
νοερῷ καὶ θείῳ· διὰ γὰρ τὴν ἕνωσιν ὡς ἐκεῖ τῶν ἐν
ἐκείνοις οὐ κατὰ ἐπαφὴν οὖσαν ἢ συνέχειαν ἢ κρᾶ-
σιν μόνην· ἀλλὰ κατὰ τὴν τῶν ἀδιαστάτων καὶ
ἀμερίστων εἰδῶν εἰς ἓν συναλοιφὴν μετὰ τοῦ μηδὲν
ἀσύγχυτον τὴν διάκρισιν· τὸ ὁλοτελὲς ἕκαστον ἔχει·
ὃ ἐστὶν ἀρχὴ καὶ πρωτουργὸς αἰτία ἑκάστου τοῦ
καθ' ἑαυτὸ εἴδους ἄχρι τῶν ἐσχάτων· αἱ δὲ πολλαὶ
ἀρχαὶ πάντων ἀπὸ μιᾶς ἀρχῆς· ἔχουσι τὸ τῆς ἀρχῆς
ἀξίωμα· ἀνάγκη γὰρ πρὸ τῶν πολλῶν εἶναι τὸ αἴτι-
ον καὶ τῶν πολλῶν ἕκαστον ἕν ἐστιν· οὐ μέντοι τοι-
οῦτον οἷον τὸ πρὸ τῶν πολλῶν· τὸ μὲν γὰρ ἐν τῶν
πολλῶν μέρος ἐστὶ τῶν πολλῶν· καὶ ἐν μέρει τὴν
ἁπλότητα τοῦ ἑνὸς ὑπεδέξατο· τὸ δὲ πρὸ τῶν
πολλῶν ἓν αἴτιον τῶν πολλῶν ὑπάρχον· προεί-
ληφεν ἐν ἑαυτῷ τὰ πολλὰ κατὰ μίαν ἕνωσιν·
πάντα τὸ ἓν πρὸ πάντων· αἰτία αἰτιῶν ὑπάρχον·
ἀρχὴ ἀρχῶν· καὶ θεὸς θεῶν ὥσπερ ὑπὸ πάντων
αὐτοφυῶς ἀνευφημεῖται· ἔστι δὲ καὶ ἀγαθότης
ἀγαθοτήτων· τοῦ γὰρ πρώτου καθ' ἑκάστην ἰδιότητ(α)
αἴτιον.

περὶ θεοῦ λαμπρῶς καὶ δαιμονίως.

πάντα ἐφίεσθαι τὰ μετ' αὐτό. ἂν δὲ πάντα ἐφίεται,
τοῦτο ἀγαθόν ἐστιν. ἡ δὲ τῶν ἀρχῶν ἀρχή, ἀγαθότης
ἐστὶν ἀγαθότητος. ὁμοίως δὲ καὶ δύναμις δυνά-
μεων. ἑκάστη γὰρ ἀρχή, τὴν ἀκροτάτην ἔχει δύνα-
μιν, ἐν τῷ ἑαυτῆς εἴδει. ἡ δὲ τῶν ἀρχῶν ἡ ἀρχή, τὴν
ἀκροτάτην ὑπὲρ πάσας τὰς ἀρχὰς καὶ δυνάμεις. ἀλλ'
ἐγγυτέρω τοίνυν ἔχειν ἀνάγκη τὴν ἀκροτάτην. οὐ γὰρ ἄν τι
τῶν ὑπ' αὐτοῦ παραγομένων ἁρμονικῶς εἶχε. πάντα δὲ
ὑπ' αὐτοῦ παρήχθη ῥᾳδίως. διὸ ἀνάγκη καθάπερ
ὁ λόγος ὁ ἀποδεικτικὸς ἀπὸ τῶν μερῶν ἀνῆλθεν ἐπὶ
τὸ ὅλον. οὐ γὰρ ἂν ἔγνωμεν τὸ ὅλον ὁπόσον καὶ ὁποῖον
ἐστὶ μὴ τὰ μέρη προθεασάμενοι. ἀλλ' ἐνίοτε πολλάκις
μερικῶν ὅπερ εἰ τυγχάνοντες, ἐκ μόνου τοῦ ὅλου ἐγνώμαθα.
οὕτω καὶ τὴν τιμὴν καὶ τὸ σέβας διὰ τῶν μερῶν
ἐπὶ τὸ ὅλον ἀναπέμπεσθαι χρή. ἥπερ γε ἑκάστη τῶν
ἀρχῶν ἀρχή ἐστι καὶ κατὰ τοῦτο ὁμοφυὴς πρὸς τὸ
ὅλον ὥσπερ καὶ ὁμώνυμος. οὐ γὰρ ὄνομα μόνον τῆς
τὸ κοινόν. ἀλλὰ καὶ αὐτὸ τὸ ἀρχῆς ἀξιοῦμαι. καὶ ἡ τῆς
ἀρχῶν ὑπεροχή. πρὸς τὰ ὑπ' αὐτῶν ἀπὸ τῆς μιᾶς
ὅλης ταῖς πολλαῖς καὶ μερικωτέραις ἐνδέδοται.
ἡ δέ τις διαχεραίνεται τὰ αὐτὰ καὶ ἀνομοιότατα. ἅτε
μερικὰς καὶ τὴν ὅλην. πρῶτον μὲν οὐκ εὐλόγως
διαχεραίνει. καὶ πράγματα δὲ ποιῶν τὸς ἂν εἶναι ποιμένος
τοῦ ἀρχικοῦ. ἐπεὶ τὰς μὲν ἀρχὰς καλεῖ τῷ τὴν γε
ἀρχὴν ἀρχῶν. καὶ γὰρ καὶ τῶν μερικῶν ἑκάστη ἀρχῶν τις
ἀρχῶν ἐστιν. ὡς μερικωτέρας ἐφ' ἑαυτὴν ἐχούσας.
ἔστι γὰρ καὶ τοῦ φυσικοῦ κάλλους ἀρχή, καὶ τοῦ σω-
ματικοῦ ἄλλη. καὶ εἰρήνης ἀμφοῖν ἡ τοῦ κάλλους
ὡς κάλλους ἀρχή. ἀλλ' ὅμως ἡ κυρίως ἀρχὴ τῶν ἀρχῶν
ἐκείνη ἐστίν. ἧς ὑπερτέρα ἄλλη ἀρχὴ οὐκ ἐστίν.

οὕτως δὲ καὶ αἴτιον αὐτό· καὶ θεὸς θεῶν, καὶ ἀγαθότης
ἀγαθοτήτων· ἔτι δὲ μᾶλλον ἐπιστῆσαι χρή· ὅτι τοῦ
πάντων αἰτίου ὑπὲρ πάντα ὄντος τὰ ὄντα· οὐδὲν
ἐστὶν οἰκεῖον ὄνομα· πᾶν δὲ ὄνομα ἐπὶ διακεκρι-
μένην τινὰ ἔννοιαν φέρεται· ἀλλ' ἀπὸ τῶν μετ' αὐ-
τὸ τιμιωτάτων ἐπ' αὐτὸν ἀναπέμπομεν· καὶ αὐτὸ γὰρ
ὡς εἴρηται τὸ τοῦ θεοῦ ὄνομα ἀπὸ τῶν οὐρανίων με-
τῆκται· ὡς ὀξέως κινουμένων καὶ θεόντων· καὶ ἐν ὑψη-
λῷ αὐτὸν καὶ φιλάνθρωπον· καὶ ἀγαθὸν καὶ δεσπότην καὶ ἄλλως
δὲ καλεῖν ἀξιούμεθα· ἅπερ καὶ τῶν ἄλλων πολλοῖς ἐφ-
αρμόττειν νομίζομεν· ἀλλὰ περὶ μὲν τοῦ πρώτου
τῶν τριῶν προβλημάτων τοῦ προτεθέντος δέδεικται
ὅτι εἰσὶ πρῶτοι τῶν ὄντων ἀρχαί· καὶ θεὸς πάντων αἴτιος.
ἀρκείτω καὶ ταῦτα κἂν ὑπολειπόντων τινὲς ἔτι τῇ
ἀναλογίᾳ βαθμοὶ πρὸς τὴν τελειότητα συμπληρῶσαι.
δῆλον γὰρ ὅτι καὶ τούτων τινὰ περιττὰ δόξει τισίν,
ὡς πρὸς τὸν προηγούμενον τῆς γραφῆς σκοπόν.
τὸ τοῦ Ἐπικτήτου ἐγχειριδίου σαφηνίσαι προθυ-
μηθέντα· τὸ δὲ δεύτερον ἦν, ὅτι προνοεῖ καὶ διοικεῖ
τὰ ὅλα ὁ θεός· ὅπερ ἤδη μὲν οἶμαι καὶ αὐτὸ διὰ τῶν πλει-
όνων ἐν τοῖς προειρημένοις ἀποδέδεικται· οὐ γὰρ ἔνον
ἀλλ' ἰδίας καὶ προηγουμένης τυγχάνει ἐπισκέψεως· εἰσὶ
γάρ τινες οἱ νομίζουσιν εἶναι τὰ θεῖα· καὶ τοιαῦτα
οἷάπερ ὁ λόγος αὐτὰ ἐξέφηνεν· ἀγαθὰ καὶ δύναμιν
ἔχοντα τὴν ἀκροτάτην καὶ γνῶσιν τὴν τελεωτάτην.
τῶν μέντοι ἀνθρώπων καταφρονεῖν ὡς μικρῶν καὶ εὐτελῶν
ὄντων· καὶ ἀναξίων τῆς ἑαυτοῦ ἐπιμελείας· τοῦτο δὲ
πάσχουσι τὸ πάθος, ὑπὸ τῆς δοκούσης αὐτοῖς τῶν
ἀνθρωπίνων πραγμάτων ἀνωμαλίας, ὅταν κακοὺς δοκοῦντας
ἴδωσιν ἄρχοντας καὶ πλουτοῦντας καὶ ὑγιαίνοντας.

Καὶ μάχεσθαι αὐτοῦ γνωρίμους εὐροοῦντας· καὶ πάσῃ
τῇ εὐροίᾳ ἐνίοτε παραδιδόντας· τοὺς δὲ ἀγαθοὺς
ὑπὸ τούτων ἀδικεῖσθαι πάσχοντας· μηδεμιᾶς ἑπομένης
ὡς νομίζουσιν ἐκδικήσεως· ἀπὸ γὰρ τούτων οἱ μὲν,
ὡς εἴρηται πρότερον καὶ τὸ εἶναι τῶν θεῶν τολμῶσιν ἀ-
ναιρεῖν· οἱ δὲ, τὸ μὲν εἶναι καὶ τοιοῦτ' εἶναι ἀΐδιον τὰς
κοινὰς ἐννοίας ὁμολογοῦσι· τῇ δὲ περὶ τὰ ἐνταῦθα προνοί-
ᾳ ἀπιστοῦσι· καὶ μάλιστα ἐν συμφοραῖς ἰδίαις ἐξεταζό-
μενοι· μὴ γὰρ τοσαύτην ἀνωμαλίαν συμβῆναι·
τοὺς μὲν κακοὺς, ἀτιμωρήτους· τοὺς δὲ ἀγαθοὺς ἀνεκ-
δικήτους ἀπολείπεσθαι θείας προνοίας ἐπιμελουμένης·
ῥητέον οὖν· καὶ περὶ τούτου κοινότερον· καὶ καθολι-
κώτερον ἐκ διαιρέσεως ἐρωτῶντι τὸν λόγον· εἰ γὰρ
ὄντα, μὴ προνοοῦσι τοῦ ἰδίου· ἢ ἀγνοοῦντες ὅτι
δεῖ προνοεῖν οὐ προνοοῦσι· ἢ εἰ τοῦτο ἢ μὴ δυνά-
μενοι οὐ προνοοῦσι· ἢ μὴ βουλόμενοι· καὶ ἀδύνατον μὲν
δύνασθαι ἢ διὰ τὸ μέγεθος ὑπερβαινόντων ὧν τῆς δε
τὴν δύναμιν τοῦ θεοῦ· ἢ διὰ σμικρότητα καὶ
εὐτέλειαν ἀποφευγόντων τὴν πρόνοιαν αὐτοῦ· εἰ δὲ
δύναται μὲν οὐ βούλεται δέ· ἢ δι' αὐτοῦ φιλοραθυ-
μίαν ἀμελεῖ· ἢ πάλιν διὰ σμικρότητα καὶ εὐτέλειαν,
ἀποφευγόντων τὴν πρόνοιαν αὐτοῦ· εἰ δὲ δύναται μὲν,
οὐ βούλεται δέ, κἂν δι' ὄκνον ἢ καταφρονεῖ τοιαύτης δι-
αιρέσεως οὔσης κοινῶς πᾶσι προσπίπτοντα τὰ τμήματα
αὐτῆς ῥητέον· ὅτι τοιοῦτον ὂν τὸ θεῖον οἷον ὑπόκειται·
γνῶσίν τε ἔχον τὴν ἀκριβεστάτην καὶ δύναμιν τὴν
ἰσχυροτάτην καὶ βούλησιν τὴν ἀγαθωτάτην· καὶ πάν-
τα ἀφ' ἑαυτοῦ τὰ ὄντα παραγαγόν· οὔτε ἀγνοεῖ ὅτι χρὴ
τῶν παρ' αὐτοῦ παραχθέντων ἐπιμελεῖσθαι· ὅπερ
οὐδὲ τοῖς νωθεστάτοις τῶν ἀλόγων ζώων ὑπάρχει·

καὶ κακῶν· ἀναγκαῖον γὰρ τῷ οἰκείῳ ἐπιμελεῖσθαι γεννήματι· οὔτε ἀδυνάτως ἔχοντος, οὔτε ὡς μειζόνων ὄντων· πᾶς γὰρ ἢ μεῖζόν τι τὸ παραχθὲν τοῦ παράγοντος· οὔτε ὡς εὐτελεστέρων ἢ κατὰ τὸ τυχεῖν ἐπιμελείας· ἡ γὰρ τοιαύτη ἦν, διατί ὅλως παρήγεται· ἀλλ' οὔτε τὴν βούλησιν αἰτιατέον· οὔτε ὡς διὰ τρυφὴν καὶ ῥᾳθυμίαν ἀμελοῦσαν· ἀνθρώπων γὰρ ταῦτα πάθη καὶ μοχθηρῶν ἀνθρώπων· ἐπεὶ οὐδὲ τοῖς ἀλόγοις ὑπάρχει ζῴοις τὸ διὰ τρυφὴν καὶ ἀργίαν τῶν οἰκείων γεννημάτων ἀμελεῖν· ἀλλ' οὐδ' ὡς εὐτελῶν καταφρονῆσαι τούτων, ἅπερ ἠξίωσε παραγαγεῖν· ὥστε κατὰ πάντα τρόπον ἀδύνατον μὴ προνοεῖσθαι ὑπὸ θεοῦ τὰ ὑπ' αὐτοῦ παραχθέντα· ἰδίᾳ δὲ λοιπὸν ῥητέον· πρὸς μὲν τοὺς τῆς θείας ὑπεροχῆς αἰσθανομένους. ἢ δοκοῦντας αἰσθάνεσθαι· τὰ δὲ ἀνθρώπινα κατασμικρύνοντας· καὶ ἀνάξια τῆς θείας προνοίας ἡγουμένους· ὅτι οὐδὲ τῶν μεγάλων ἔλαττον ἐστὶν ὁ ἄνθρωπος ἐν τοῖς πᾶσι καὶ τὰ ἀνθρώπινα πράγματα· καὶ γὰρ ζῷον ἐστὶν ὁ ἄνθρωπος· καὶ ψυχὴν ἔχει τιμιωτάτην καὶ λογικήν· καὶ θεοσεβέστατόν ἐστι πάντων τῶν γηγενῶν ζῴων· ὥστε οὐκ ἄτιμον οὐδὲ εὐτελές ἐστι τοῦ θεοῦ κτῆμα ὁ ἄνθρωπος· οὐδὲ τὰ ἀνθρώπινα πράγματα ὑπὸ ψυχῆς πραττόμενα λογικῆς· εἰ δὲ καὶ σμικρόν τις ὑποθοῖτο τὸν ἄνθρωπον, εὐκολωτέραν αὐτοῦ τὴν ἐπιμέλειαν ὁμολογήσει· ὥσπερ γὰρ αἱ αἰσθήσεις τῶν μὲν μειζόνων ῥᾷον ἀντιλαμβάνονται· τῶν δὲ σμικροτέρων χαλεπώτερον· καὶ γὰρ πρὸς ὅρασιν καὶ πρὸς ἀκοὴν τὰ σμικρότερα δυσληπτότερα τῶν μειζόνων· οὕτως αἱ δυνάμεις φρουροῦσι εὐκολώτερον τὰ σμικρότερα· καὶ κρατοῦσιν ἑκάστου μᾶλλον ἢ τῶν μειζόνων· ῥᾷον γάρ ἐστι φέρειν μνᾶν καὶ τάλαντον ἀροῦν, ἢ σκάπτειν ἢ μὲν πλέθρον ἢ πλέθρον.

ὥστε ὅσῳ τις σμικρότερος ὑπόθοιτο, τοσούτῳ μᾶλλον δεῖ
κολάζεσθαι πρὸς ἐπιμέλειαν ὁμολογήσας· ἐπεὶ δὲ ἡ
γοῦ τοῦ ὅλου καὶ μόνου ὁ θεὸς ἐπιμελεῖται· δεῖ ἀνάγκη καὶ τῶν μερῶν
αὐτοῦ προνοεῖν· ὥσπερ καὶ αἱ τέχναι ποιοῦσι· καὶ γὰρ
ἰατρὸς τοῦ ὅλου σώματος ἐπιμελεῖσθαι προθέ-
μενος, οὐκ ἂν ἀμελήσοι τῶν μερῶν· οὐδὲ στρατηγὸς
οὐδὲ οἰκονόμος ἢ πολιτικὸς ἀνήρ· τῶν γὰρ μερῶν
ἀμελουμένων, ἀνάγκη χεῖρον ὡς τὸ ὅλον διατίθεσθαι.
δεῖ καὶ οὐ ὁ θεὸς χείρων φαίνοιτο τῶν θνητῶν ἐπιμε-
λητῶν· πρὸς τὴν τῶν ἑαυτοῦ ἐπιμέλειαν· οἵτινες
μιᾷ καὶ τῇ αὐτῇ τέχνῃ τῶν τε μερῶν καὶ τοῦ ὅλου
ἐπιμελοῦνται· καὶ αὐτῶν μὲν ἕνεκα τῶν μερῶν·
μάλιστα δὲ τοῦ ὅλου ἕνεκεν· ἡμᾶς δὲ πρὸς τὴν γα
τῶν γιγνομένην ὡς εἴρηται δυσχεραίνομεν· ἀγνοοῦν-
τες ὅτι καὶ ταῦτα τῷ ὅλῳ συντελεῖ· δεῖ νομίζειν τὸ
τὴν περὶ τὰ ἀνθρώπινα τοῦ θεοῦ πρόνοιαν, πολὺ γὰρ ἂν ὠ-
μαλὸν ἔχοι καὶ ἐμπαθὲς καὶ τεταραγμένον ὄχλον
ἐμποιεῖν τῷ θεῷ· καὶ περιαιρεῖν αὐτὸν ἀπὸ τῆς ἑαυτοῦ
μακαριότητος· δῆλος ἐστὶ τοῖς ἀνθρώποις ἐπιμελεῖσθαι
ὁμοίοις νομίζων τοῖς κρείττοσιν ας καὶ τὸν τρόπον
τῆς ἐπιμελείας ἀγνοεῖ· νομίζουσι δὴ φαίνεσθαι ὥσπερ
ἡμᾶς· οὕτω καὶ τὸν θεὸν δεῖ τινος ἐπιμελεῖσθαι, δι' ἀφω-
ρισμένως ἑκάστῳ παρεῖναι καὶ παρακολουθεῖν ἑκάστῳ
τῶν ὑπ' αὐτοῦ πραττομένων· οὐδὲ σχολάζειν ἄλλῳ
διαμένειν· καὶ οὐκ ἐγγυᾷ ὁ τοιοῦτος ὅτι καὶ νομο-
θέτης ἐν πόλει τάξας μοις τὸν τί ποιοῦντα
ἢ πάσχοντα τίνος χρὴ τυγχάνειν· οὐκ ἐπιμελεῖται
τούτους· καὶ τῶν σμικροτάτων ἀρχεῖς ἐπὶ πάντα.
δὲ ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἠθισμένῳ· καὶ ὡς
δὲ οἱ νόμοι σώζονται διὰ αὐτῶν τῆς πολλῆς προνοίας.

ὁ Κέκροψ δὲ ὅτι πολὺ πρότερον καὶ μᾶλλον ὁ θεὸς
ὁ τὸ πᾶν ὑποστήσας ἐμψύχοις ἡμῶν. οὐσίας κα-
τιδὼν τὰς πράξεις. καὶ πολλῶν μὲν ἀρετὴν ἔχοντας
πολλῶν δὲ κακίαν ἐμηχανήσατο. ποιοῦντι γὰρ γι-
γνομένων ἀεί· ποίας χρὴ δίκης τυγχάνειν· ἤ τινας
τρόποις μεταλαμβάνειν χείρονας ἢ βελτίονας· καὶ ποί-
οις ταῦτα τίθεσθαι ψυχαῖς· ὅτι τὰς μὲν κακίοσι γιγνο-
μένας ταῖς κακαῖς· τὰς δὲ ἀμείνοσι ταῖς ἀγαθαῖς.
ἔτι χρὴ ποιεῖν ἢ πάσχειν κατ᾽ ἀξίαν εἰς ἀλλήλους
τε καὶ ὑπ᾽ ἀλλήλων· τοῦ μὲν τοιούτοις ἢ τοιοῖσδε
γίγνεσθαι· καὶ τὴν δὲ τὴν ἀξίαν ἢ τὴν δὲ μεταλαμ-
βάνειν ταῖς βουλήσεσιν ἡμῶν, ἑκάστων τὰς αἰ-
τίας ὁ θεὸς ἀπολέλοιπεν· ὁποῖοι γὰρ ἂν ἐθέλωμεν
γίγνεσθαι, τοιοῦτοι γιγνόμεθα· διὰ τὸ αὐτεξού-
σιον τῆς ψυχῆς· καὶ τὸ ἐφ᾽ ἡμῖν εἶναι τήν τε ἀρετὴν
ἔτι τὴν κακίαν. πᾶσί τε ἀπέστησεν ὁ θεὸς δι᾽ αἰῶνος
τοῦ κατ᾽ ἀξίαν ἀποκληρωτικῶς. μάχεται τῆς μι-
κρὸ ταύτης ποιήσεως καὶ πίστεως· καὶ οὐχ ἅπαξ
ποτὲ ταῦτα μηχανησάμενος εἶτ᾽ ἀρχὴν τινὶ χρόνου
ἀπέστη τοῦ προνοεῖν. ὥσπερ ἄν τις ἄλλος ἀρκεσθῇ
τῇ νομοθεσίᾳ. οὔτε γὰρ ἀρχὴν ἔχει χρόνου ἡ θεία
ἀγαθότης ἐφ᾽ ἧς πάντα ἀγαθύνεται τοῦ εἶναι ἑκάστην,
οὔτε ὁ θεὸς ποτὲ μὲν πάρεστι ποτὲ δὲ ἄπεστι.
σώματι καθάπερ ταῦτα· ἀλλ᾽ αὐτός τε ἀεὶ πᾶσι πά-
ρεστι πάντων ἐξηρημένος· καὶ ἡ πρόνοια αὐτοῦ
τῷ ἀεὶ αὐτὸν καὶ πανταχοῦ εἶναι καὶ ἀγαθὸν εἶναι.
πᾶσι μὲν ἐφήπλωται τοῖς οὖσι κατὰ τὴν ἐπιβά-
λλουσαν ἑκάστῳ τῆς ἀξίας διανομήν· καὶ ὥσπερ
ὑπὸ τοῦ ἡλιακοῦ φωτὸς πάντα φωτίζεται.
τὰ μὲν ὁρᾷ, τὰ δὲ, ὁ · τα[...]· θάλπει· τα[...].

ρᾶται·

ζωογονοῦνται· καὶ τὰ μὲν λευκαίνεται· τὰ δὲ μελαίνεται·
καὶ τὰ μὲν πήγνυται· τὰ δὲ τήκεται ἕκαστον κατὰ
τὴν ἑαυτοῦ ἐπιτηδειότητα· μετέχοντα τῆς μιᾶς αὐτοῦ
καὶ πολλῆς ἀγαθότητος ἀπραγματεύτως· οὐδὲν δὲ τι
τούτου τοῦ ἡλίου πονοῦντος· οὐδὲ περισπωμένου
ἀπὸ τῆς ἑαυτοῦ μακαριότητος· οὕτω πολλῷ μᾶλλον
τῆς τοῦ θεοῦ ἀγαθότητος, τῆς καὶ τὸν ἥλιον τῷ κόσμῳ
χορηγησαμένης· πάντα μετέχει ἀπραγματεύτως
καὶ ἀγαθύνεται, κατὰ τὸ μέτρον τῆς ἑαυτῶν ἐπι-
τηδειότητος· οὐδὲν δὲ τούτου τοῦ θεοῦ πονοῦντος οὐδὲ
περισπωμένου· οὔτε γὰρ ἄν τι παράδοξον ποιεῖν ὥσπερ
τὰ φύσει καὶ πράγματα, οὔτε ἐπίτακτον ἔχει
τὴν ἀγαθότητα· ἵνα καὶ μή ποτε δαπανωμένη·
οὔτε ἄλλο ἄλλῳ πέφυκεν ἀντιβαίνειν, ὥσπερ ἡ
ματαία ψυχὴ ἀδιανοήτως ποτὲ πρὸς τὴν πρόνοιαν
τοῦ κόσμου· ἢ πρὸς τὴν ἀνάστασιν ἐκείνην τὴν αὐτοῦ
τὸ ἀγαθόν, τὸ τοῦ κόσμου τελέως διηρημένον· ἀγω
ἢ ἂν ἡ ψυχὴ τῇ σωθήσεσθαι καὶ ἐς θεὸν ἀναχθήσεσθαι με-
τεωροπολεῖν λέγεται. καὶ πάντα τὸν κόσμον διοικεῖ
πρόσω μᾶλλον ὁ τῆς ψυχῆς ὑποστάτης θεὸς ἀποδείκνυται
προνοητικῶς ἑαυτοῦ περιφερομένη· ἄλλου δὲ
ταῦτα τὰ συμβαίνοντα, περὶ τοὺς ἀγαθοὺς καὶ κακοὺς
δοκοῦντα τῶν ἀνθρώπων· ἄξια κινεῖν ἐστὶ τὴν τῆς
προνοίας ἀπιστίαν· οὐ γὰρ ἀληθές ἐστιν ὃ νομί-
ζομεν· οἱ ἀγαθοὶ μὲν δυστυχοῦσί ποτε καὶ κακῶς
πάσχει· πράττουσι· κακοὶ δὲ εὐτυχοῦσί τε καὶ εὐδαιμονοῦσιν·
οὐ γὰρ ἀληθῆ ἐστὶν ἐκεῖνα καὶ μὴ μάτην ἐρραψῳδή-
σαμεν· πρότερον ἀποδεικνύντες ὅτι ἀγαθός ἐστιν
δῆλος ὁ τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὸ ἀγνοῶν ἐν τοῖς ἐφ'
ἡμῖν τιθείς· καὶ ὅτι ὁ τοιοῦτος οὐκ ἀποτυγχάνει τοῦ προ-
ζόρζομη·

οὐδὲ περὶ τὴν τύχην ἐκκλι· ἣ δὲ τούτῳ οὐδέποτε προσγί-
νεταί τι κακόν· καὶ γὰρ οἱ ἀπορούντες κατὰ ταῦτα
λέγουσι τὸ ἀποτυγχάνειν ὧν ὀρεγόμεθα· καὶ περὶ-
πίπτειν οἷς ἐκκλίνομεν· ὥστε οὐδ' ἀτυχεῖ ποτε ἀγαθὸς
ἀνὴρ ὡς ἀνήρ· οὔτε πράττει κακῶς· πολλὴν δὲ καὶ
ἀνοίας πάντες ἂν ὁμολογήσαιεν τοὺς παρὰ φύσιν
ὡς ἀνοίας δικάζοντας· οὗτοι δὲ τοῦ αὐτεξουσίου καὶ τοῦ
ἐφ' ἑαυτοῖς ἐπιλαθόμενοι τοῦ τὴν ἀνθρωπίνην φύσιν
χαρακτηρίζοντος ἐν τοῖς ἐκτὸς τὸ ἀγαθὸν καὶ τὸ κακὸν
τὸ ἀνθρώπινον ἀποτίθενται· ἐν ὑγείαις σωμάτων καὶ πλού-
τῳ δηλονότι καὶ εὐγενείαις τρυφαῖς καὶ τοῖς τοιούτοις·
τὰ δὲ κακὰ ἐν τοῖς ἐναντίοις· διὸ τῶν μὲν ἐν τούτοις
ἀγαθῶν δοκούντων ὀρέγονται· τὰ δέ, ὡς κακὰ ἐκκλί-
νουσιν· ἀνάγκη δὲ ἐν τοῖς ἐκτός, ἐπειδὴ μὴ ἔστιν ἐφ'
ἡμῖν γενέσθαι· καὶ ὀρεγομένους ἀποτυγχάνειν· καὶ ἐκ-
κλίνοντα περιπίπτειν· ταῦτα δὲ ἀμφότερα οὐκ ἔστιν
ἀγαθά· οὐδὲ κατὰ τοὺς ἀπορούντας. ἀλλὰ καὶ
ὥστε οἱ κακοὶ κακοῖς ὡς ἐπὶ τὸ πολὺ περιπίπτον-
τες, ἂν ὀλίγον γνῶσιν, αἰσθήσονται· ὅτι οὔτε εὐτυχεῖς 55
οὔτε εὐδαίμονές εἰσιν. ἀλλὰ τοὐναντίον κἂν ὑπο-
θῇ τις αὐτοὺς ἐν τοῖς ἐκτὸς ἢ ὡς ἐπὶ τὸ πολὺ
εὐροεῖν, ἔτι μᾶλλον εἰσὶ κακοδαίμονες· ὅτι
τυγχάνουσι τούτων ἐπιτείνουσι μᾶλλον τὴν παρὰ
φύσιν ἑαυτῶν ὡς ἀνθρώπων διάθεσιν· ὅπερ ἐστὶ
παρὰ φύσιν αὐτοῦ κακία καὶ κακοδαιμονία.

Ἐπεὶ δὴ δὲ οὐ μόνον βιάζεσθαι χρὴ τοῖς ἀποδεικτικοῖς
λόγοις τοὺς ἀκούοντας· ἀλλὰ καὶ συμπείθειν
ἠρεμοῦσιν αἱρεῖσθαι τὰ λεγόμενα· περὶ τῶν ἀγαθῶν
καὶ κακῶν δοκούντων ἐν τοῖς ἐκτός, ὑπομιμνήσκω
τῶν ἔμπροσθεν εἰρημένων· ὅτι οὐδὲ τὰ κακὰ λεγόμενα
κακά ἐστι.

κἂν πόρους ἔχωσι. κἂν διαχειρῇ· οὐδὲ τὰ ἀγαθὰ κύρι
ἀγαθά· ἀλλὰ τὰ μὲν λεγόμενα κακά. τῶν, τε νόσων
ἰατρεῖαι, καὶ τῶν ὑγιαινόντων γυμνάσια· τὰ δὲ ἀγαθὰ
αὐτά, πρὸς τὴν χρείαν καὶ τὴν ἀξίαν τῶν λαμβα-
νόντων. καὶ τῶν ἀποστερουμένων δίδοται· καὶ γὰρ
πλοῦτος τοῖς μὲν χρήσασθαι δυναμένοις καλῶς δίδο-
ται ἅτε τὴν ἀξίαν αὐτὸν καὶ κατὰ τοῦτο ἐρασωμένην.
καὶ τὴν εἰς ἄλλους εὐποιίαν καὶ αὔξησιν τῆς ἀγαθουρ-
προαιρέσεως· τοῖς δὲ μοχθηροῖς, εἰς τιμωρίαν
καὶ κόλασιν· καὶ γὰρ οἱ μὲν φιλάργυροι πονοῦντες
ἀπὸ τῶν τὸν βίον περὶ χρηματισμὸν μετὰ ἀθυμίας ἀθυμί.
καὶ ἀγρυπνίας καὶ δέους ἀφ' ἧς ἀπηρτημένου ὀλέθρους
ἀπολαύουσι τῶν χρημάτων. καὶ τίς ἂν εἴη ταύτης
διηνεκὴς καὶ ὀτέρα τε καὶ χαλεπωτέρα· οἱ δὲ ἄσωτοι
ἀπολλύμενοι, πενέστεροι τῶν προσαιτούντων εἰσί.
καὶ ὑποτρυφῆς δὲ τιμῆς διὰ φθόνον διὰ τὸν πλοῦτον.
καὶ κλιμακτῆρσι πολλοῖς περιπίπτουσι· καὶ τῆς ἑαυτῶν
ἐπιμελείας κατ' ἀξίαν ἀποτυγχάνουσι διὰ τὸν πλοῦτον.
μήτε μὲν θαυμάζοντες τι ἀγαθόν. μήτε τὸν κατὰ φύσιν
ἀνθρώπῳ προσήκοντα βίον ἐπιζητοῦντες καὶ ἐργαζό-
μενοι· οὕτω δὲ καὶ ὑγεία καὶ δυναστεία βλάπτουσι
καὶ μᾶλλον τοὺς κακούς· καὶ αἱ μὲν πολιτικῶς. αἱ δὲ
κατὰ τιμωρίαν διδόμεναι. ἵνα διὰ τῆς ἐπιτείνου
τῶν παθῶν κορεσθέντες ἐξεμέσωσί ποτε τὴν
ἐμπάθειαν· καὶ πρὸς κόλασιν ἀλλοίων καὶ κάθαρσιν
ἐπιτήδειοι γένωνται. μάλιστα γὰρ τῶν προνοουμένων
τῶν ἀνθρώπων οὕτω τὰς ἐνεργείας κατὰ πάθος ἐπιτελ
τὰς ψυχάς· ἢ διὰ φόβον ἢ δι' ἑτέρα πάθη. ἀλλὰ
τοῦ τὴν ἕξιν αὐτῶν τὴν μοχθηρὰν ἀποτρέψασθαι.
καὶ δέχεται ταῦτα διὰ πλεόνων προτροπὴν καὶ ἐκάθ

αὐτ

ἀπομυθῆναι δὲ τὸν δεόμενον· καὶ ἀρκεῖ ταῦτα
πρὸς τοὺς ἀναιρεῖν τὴν τοῦ θεοῦ προνοίαν ἐπιχει-
ροῦντας τοῖς λόγοις· ἀλλὰ δὴ τὸ τρίτον
τῶν ὅρων κατὰ τὸν παλαιὸν νόμον· καὶ πρὸς τὸν
τρίτον μετὰ τοῦ ὅρου, τῆς ἀθεΐας λόγον ἴωμεν·
ὃς φάναι μὲν τὸ θεῖον καὶ προνοεῖν τῶν ἀνθρώπων
ὁμολογῶν· παραιτεῖσθαι δ' ἢ δώροις καὶ ἀνα-
θήμασι· καὶ κερματίου δ' ἐν δόσεσιν ὥς οἴονται· ὥστε τοὺς ἀδικοῦντας καὶ τοὺς πλεονε-
κτοῦντας, καὶ ἁρπάζοντας ὀλίγην εἰς ταῦτα μοῖραν
ἀπαναλοῦντας· καὶ τοῖς ἐπὶ τοῖς τοιούτοις ἐγχειρεῖ-
σθαι προσποιουμένοις· καὶ παρέχειν διδόντας καὶ συγ-
χωρεῖσθαι τὰ αὐτὰ ποιεῖν· καὶ δίκην μὴ διδόναι
τῆς ἁμαρτίας· τίνες δὲ τὸ συγγνῶναι καὶ ἄξιον τοῦ
τῆς θείας νομίζουσιν ἀγαθότητος· τὸ συγχωρεῖν
ἢ συγγινώσκειν τοῖς ἁμαρτάνουσιν· ἀλλ' ὁρί-
οιμεν καὶ λέγοντες καὶ γιγνώσκοντες· τί οὖν πρὸς
τοῦτον ἐροῦμεν τὸν λόγον· διαπορῶ δὴ οὖν διαι-
ρετέον αὐτόν· ἐς τε τὸν ἀδικοῦντα καὶ τὸν ἀδικού-
μενον· καὶ σκεπτέον τὴν λεγομένην ταύτην συγ-
χώρησιν καὶ συγγνώμην· τί μὲν εἰς τοὺς ἀδικοῦ-
ντας· πῶς δὲ τοῖς ἀδικουμένοις προσφέρεται.
εἰ μὲν γὰρ ἀγαθὸν καὶ ὠφέλιμον ἐστὶ τοῖς ἀδίκοις· τὸ
συγχωρεῖσθαι ἀδικεῖν· καὶ μὴ διδόναι δίκην, τάχα
ἂν εἴη παρὰ θεοῦ ἡ συγχώρησις· πᾶν γὰρ ἀγαθὸν ἐ-
κ θεῶν ἐφήκει τοῖς οὖσιν· εἰ δὲ κακὸν τὸ μὴ ἐᾶσθαι τοὺς
αὐτοῖς· καὶ συνεργεῖσθαι πρὸς τὸ ἀδικεῖν· καὶ μὴ
διδόναι δίκην τῶν ἁμαρτημάτων, πῶς ἂν εἴη τού-
του θεὸς αἴτιος· ὃς διὰ πολλῶν ἀποδέδεικται λόγων
τῶν μὲν ἀγαθῶν πάντων αἴτιος ὑπάρχειν, κακοῦ δ'
ἀναίτιος.

ἀδικίαι τοίνυν. καὶ πλεονεξίαι καὶ ἀκολασίαι καὶ
ὕβρεις, παρὰ φύσιν οὖσαι διαθέσεις τῆς ψυχῆς·
ὥσπερ τὰ ἐναντία τούτοις κατὰ φύσιν. ἀνάλογον ὅτι·
νόσοι καὶ αἰσχρὰ καὶ κακίαι, τῆς ψυχῆς εἰσίν. ὁ γοῦν αὐξ.
ταῦτα τῇ συγχωρήσει καὶ δὴ ἰᾶσθαι κατακωλύων,
ἐπιτείνει δῆλον ὅτι τὴν κακίαν. ὃ δὲ καὶ δωροδοκ-
αὐτὸ ποιεῖ, ὥσπερ οὖν κἂν χειρόνων φανείη. καὶ τῶν μα-
ἀγωγῶν. τίς γὰρ ἐπιμελεῖσθαι τινὸς ἑλόμενος, διὰ δω-
ροδοκίαν αὐτὸ περιορᾷ κακούμενον. ὥσπερ ἰατρὸς
τῶν νομέων ἕλοιτο τις ἂν τῷ βλαπτομένῳ ὑπὸ
σιτίων, ἢ ποτῶν τινῶν δῶρα λαμβάνων, ἢ ἱκετευό-
μενος ἐπιτρέπειν αὐτῷ χρῆσθαι τοῖς βλάπτουσιν
ἀδεῶς. καὶ συνεργεῖν πρὸς τὴν χρῆσιν. ἀλλὰ τομῆς
ἢ καύσεως δεόμενον, ἀτημέλητον ἂν καταλίποι
δώροις πειθόμενος. ὥσπερ ἰατρεία ἡ τῆς πονηρίας
ἐστὶν ἡ τοῦ θεοῦ δίκη, ὥσπερ δὴ αὐτὸν τῆς ὑγιεινῆς ἰα-
τρικῆς χείρω ἂν φαίνεσθαι. ἀλλὰ καὶ τῶν ἀδικου-
μένων προνοεῖσθαι ταττόμενος καὶ ἐπιμελεῖσθαι αὐτῶν.
ἴσως μὲν ὅπως καὶ τούτοις χρῆται παρ' αὐτῆς τοσῶν
τοῖς ἀδικοῦσι συνεργῶν, διὰ τὰ δῶρα. καίτοι γε
ἂν μέτριος ὢν ἕλοιτο τοὺς ἐπιμελουμένους ὑπ'
αὐτοῦ προδοῦναι καὶ δωροδοκεῖν. ἀλλ' οὐ στρατηγὸς
δῶρα λαμβάνων παρὰ πολεμίων. προδοίη ἂν
αὐτοῖς τὸ στρατόπεδον. ἢ ποιμὴν τοῖς λύκοις
τὰ πρόβατα. καὶ τί λέγω ποιμήν. ἀλλ' οἱ ποι-
μένες κοινῶς. ἕλοιντο ἂν μοῖράν τινα τῶν ἁρπα-
σθέντων προβάτων παρὰ τῶν λύκων λαμβά-
νοντες, ἐπιτρέπειν αὐτοῖς τὰ λοιπὰ διαρπάζειν.
ὥσπερ οὖν κἀσεβὴς ὁ λόγος περὶ θεοῦ τι λέγων ὅπερ οὐδὲ
κύων σὺν προσήκει ποιεῖν. ὅλως γὰρ δώροις παράγεσθαι τὸν θεόν.

ὑπὸ τῶν ἀδίκων πῶς ἐξελέγχομεν· ὑπὸ μὲν γὰρ τῶν
ἀσεβούντων δῶρα πολλάκις ὁ θεὸς ὑποδέχεται· οὐκ
αὐτῶν δηλονότι τῶν δώρων δεόμενος· ἀλλὰ προσά
γοντων· ὥσπερ ψυχικῶς. οὕτω καὶ διὰ τῶν ἐκ τῆς
πρὸς αὐτὸν ἀναπεμπομένων· καὶ εἰ μὲν προσάγουσιν
οἱ κακοὶ τὰ δῶρα δίκης τυχεῖν καὶ ἰατρευθῆναι δεό
μενοι, τάχα ἂν ἀποδέχοιτο τὰ δῶρα ὁ θεὸς καὶ πρὸς
τούτων· εἰ δὲ ἵνα χείρονες γένωνται πῶς ἀξιόλογον.
κἂν γὰρ μηδὲν ἄλλο ἐπιπλημμελήσωσι μὲν, ἤρκει τὸ
δώροις ἐλπίζειν παραιτεῖσθαι τὸν θεὸν, ἔτι μᾶλλον
αὐτοὺς ἀποστῆσαι τῆς πρὸς αὐτὸν οἰκειότητος. τί
οὖν ἐστὶν οὗτος ὁ λόγος; πολὺς περιφερόμενος, καὶ τὸ θ
ἐξελεῖν τὴν ὀργὴν ὁ λέγων δώροις καὶ ἀναθήμασι καὶ
θυσίαις ἄλλαις τε καὶ ἱκετείαις μεταπείθεσθαι
τὸ θεῖον, καὶ συγγινώσκειν τοῖς ἁμαρτάνουσιν· ἴσως
γὰρ οὐ μάτην πιστεύεται· μήποτε οὖν ἁπλῶς μὲν
οὕτω λεγόμενος οὔτε ὅσιος ἀποδέχεσθαι· μεταμε
λομένων δὲ γνησίως τῶν ἁμαρτανόντων ταὐτὰ
σὺν τῇ δὲ πρὸς τὴν ἐπὶ τὸ θεῖον ἐπιστροφήν. τεκ
μήρια τῆς μεταμελείας γινόμενα· καὶ τῆς οὐ μόνον
κατὰ ψυχὴν ὑποκατακλίσεως· ἀλλὰ καὶ κατὰ τὸ
σῶμα γονυκλιτούντων τε καὶ προσκυλιομένων·
καὶ κατὰ τὰ ἐκτὸς ἀνατιθέντων τε καὶ δαπανώντων
ὅσα τῷ θεῷ ἀρεστά· οὔτε γὰρ ἁμαρτανόντων
ἡμῶν ὁ θεὸς ἀποστρέφεται ἢ ὀργίζεται· ἢ χωρί
ζεται δὲ ἡμῶν· οὔτε μεταμελομένων ἡμῶν αὖθις
ἐπιστρέφεται, ἢ προσδεῖ ἡμῖν ἀληθῶς θεός· ἀλλὰ καὶ
γὰρ ταῦτα καὶ πόρρω τῆς κατὰ πάντα ἀμεταβλή
του θείας μακαριότητος· ἀλλ' ἡμεῖς κακίαν θέντες διὰ τῆς
ἐς τὸ παρὰ φύσιν ἐκστάσεως· καὶ ἀνομοιωθέντες

πρὸς τὴν θεοῦ ἀγαθότητα· διὰ τοῦτο δὲ ἄδικοι καὶ ἀνό-
σιοι καὶ ἄφρονες γίνεσθαι, ἀποστρεφόμενοι ἑαυτοὺς ἐκεί-
νου· οὐ δυνάμενοι μὲν οὐδέποτε φυγεῖν τὴν ἐπὶ πάντα
διήκουσαν αὐτοῦ πρόνοιαν καὶ ἐπιμέλειαν τοῦ θεοῦ·
ἐπιτηδείους ἑαυτοὺς παρέχοντες· ἀνακτώμενοι δὲ
τὸ κατὰ φύσιν ἑαυτῶν, καὶ πρὸς αὐτὸν ὁμοιούμενοι·
ὁμοιώσει γὰρ πρὸς θεὸν δίκαιον καὶ ὅσιον μετὰ φρονή-
σεως γίνεσθαι· προσιέμενοί τε αὐτοῦ καὶ οἰκειούμενοι·
καὶ ταύτην τὴν ἡμῶν αὐτῶν ἐπιστροφὴν πρὸς αὐτὸν,
ὡς αὐτοῦ πρὸς ἡμᾶς λέγομεν. Τοιοῦτόν τι πάσχουσιν
οἷον οἱ πέτρας τινὸς παραλίας κάλων ἐμβαλόντες.
καὶ τοῦ ἑλκομένου ἐπισπᾶσθαι ἑαυτούς τε καὶ τὸ ἀκάτιον
τῇ πέτρᾳ προσάγοντες καὶ δι' ἀπειρίαν τοῦ γινομένου
δοκοῦντες οὐκ αὐτοὶ προσιέναι τῇ πέτρᾳ, ἀλλὰ
τὴν πέτραν κατ' ὀλίγον ἐπ' αὐτοὺς ἰέναι. μεταμέ-
λεια δὲ καὶ ἱκετεῖαι καὶ εὐχαὶ καὶ τὰ τοιαῦτα ἀνα-
λογοῦσι τῷ κάλῳ. διὰ γὰρ ἐκκλινόντων τοῖς αὐτοῦ ἀποπεσοῦσιν
ἡ ἐπιστροφή. μεταμέλεια δέ ἐστιν οὐχ ἡ λόγῳ ἀλλ' ἔργῳ
γινομένη. τοὺς μὲν ἀδικηθέντας παρ' ἡμῶν
ἢ ἀφαιρεθέντας ἢ ὁπωσοῦν ἐπηρεασθέντας θερα-
πεῦσαι αὐτοὺς ἢ ἀπογόνους αὐτῶν. μισῆσαι δὲ τὴν
ἀδικίαν. καὶ τὸ τοῖς ἀδίκοις ἀποστραφέντας τοῖς
τὸ δίκαιον ἀσπαζομένοις συζῆν. ἑαυτοὺς [illegible]
καὶ ἂν τελέως καθαρθῶμεν. δεῖ ταύτῃ κεχρῆσθαι
συνεχῶς. μὴ ἐκλυομένους τοῖς διαλείμμασι. καὶ
ἑαυτῶν γινόμενον δίκην. τεκμήριον δὲ καὶ ἀπο-
λείψεως τῆς ὄντως μεταμελείας τὸ μὴ κατὰ τὰ αὐτὰ
ἁμαρτάνειν. μὴ γὰρ [illegible]. δεῖ γὰρ ἀεὶ ἰσο-
τοιχοῦν ὡς πρότερον οἱ πλέοντες ἐπὶ τοὐναντίον μεθί-
στασθαι. ἡ δὲ ἀληθὴς μεταμέλεια ἀρχὴ πρὸς τελείαν
κάθαρσιν.

δῆλον ἐκ τοῦ καὶ τὸν θεὸν εἰς τοῦτο τέλος ὁρᾶν τῆς καθ-
εστῶν γὰρ τοῦ εἶναι ἡμᾶς γινομένων αἱ κολάσεις καὶ τὰς καὶ
τιμωρίαι· καὶ ἐνταῦθα καὶ ἐν ᾅδου· τοῦτο τέλος ἔχει
τὸ μεταβληθῆναι τὴν ψυχὴν ἐπὶ τοῖς ἑαυτοῦ ἀτυχή-
μασι· καὶ μισῆσαι μὲν τὴν κακίαν, καὶ τὴν παραφυλά- ἀνθ(ρώπου) τί
ζουσαν· ἑλέσθαι δὲ ἑκοῦσαν καὶ ἀσπάσασθαι τὴν ἀρετὴν
ὡς αὐτῇ σύμφυλον(?). αἵτινές εἰσι τῆς λογικῆς ψυχῆς τελειό-
τητες· ἐὰν οὖν τῆς ἑαυτοῦ ψυχῆς ἡ ταῦ(?) δίκη, τάχα καὶ
θᾶττον οὗτος κατορθοῖ, διὰ τὸ αὐτὸ προαιρετῶς κο-
λάζεσθαι· καὶ γὰρ ὁ δι᾿ ἡδονῆς χρείαν καὶ λύπης τῆς διὰ
τρυφὴν καὶ ἡδονὴν ἁμαρτοῦσιν· ἰστέον ὅτι οἱ γνήσιοι
μεταμελόμενοι ταῖς πικροτάταις τοῦ σώματος αὐτοῦ(?)
αἰκίαις ἑαυτοὺς κολάζουσιν· αἵτινες ὁ διὰ ἡδονῆς πρότερον τὸ συνειδὸς(?)
τῷ σωματικῷ εἰσὶ κολάσεων καὶ τῇ κτίσει καθ᾿ ὃ
ὡς μᾶλλον ἐκάγων οὐδὲ παραμυθεῖ(?)· ταῦτα προστί-
θη(?) τὴν ἀλήθειαν εἴρηκα· ἀρίστην οὖσαν ἐν ταῖς
τρισίν· αἱρετώτερον γὰρ μὴ εἶναι μᾶλλον μηδὲ
πρόνοιαν· ἢ ὄντα τιμᾶν καὶ προνοεῖν δοκοῦντα
ἐπιβουλεύειν τοῖς προνοουμένοις· τοῦτο γὰρ
κακῶς εἶναι ἐστίν· αἱρούμεθα δὲ μὴ εἶναι μᾶλλον ἢ
κακῶς εἶναι· τούτου δὲ αἴτιον τὸ ὑπέρτερον εἶναι
τὸ ἀγαθὸν τοῦ ὄντος, καὶ εἶναι καὶ τοῦ ὄντος ἀρχὴν
τὸ ἀγαθόν· ὥστε καὶ τέλος πάντων ἐκεῖνο· καὶ ἐκεῖ-
νο ἕνεκα πάντων· καὶ γὰρ καὶ τὸ εἶναι ὡς ἀγαθὸν ἀσπαζό-
μεθα· διὸ ὅταν κακῶς ὦμεν, ἀγαπῶμεν μᾶλλον
μὴ εἶναι· πλείονα δεῖ ἴσως ὡς πρὸς τὸν προκείμενον
σκοπὸν προήχθην εἰπεῖν· περὶ τούτων δὲ τῶν προβλη-
μάτων· διότι πάσης ζωῆς καὶ τελειώσεως ψυ-
χικῆς· ἀρχὴ καὶ τέλος ἐστὶν ἡ πρὸς τὸν θεὸν ἀνάτασις·
διά τε τῶν ὀρθῶν περὶ αὐτοῦ προλήψεων·

ἑτον(?)

ὅτι τε ἐστὶ καὶ προνοεῖ δικαίως. καὶ διοικεῖ καλῶς τὰ πάντα
κατευθύνει· καὶ δι' αὐτοῦ πείθεσθαι καὶ εἴκειν ἑκόντας
τοῖς ὑπ' αὐτοῦ γινομένοις, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης
ἐπιτελουμένοις. ἐὰν γὰρ αὐτοκίνητος ἡ ψυχὴ καὶ
αὐτεξούσιος· καὶ ἐν ἑαυτῇ τὰς ἀρχὰς ἔχει τῶν τε
ἀγαθῶν καὶ τῶν κακῶν, ἀλλ' ὑπὸ θεοῦ παρήχθη τοιαύτη
ἑαυτὴν κινοῦσα· διὸ ἕως μὲν ἐρρίζωται τῷ ἑαυτῆς
αἰτίῳ, καὶ σώζεται· καὶ τὴν ἑαυτῆς ἔχει τελειότητα
καθ' ἣν αὐτὴν ὑπέστησεν ὁ θεός· ἀποσπάσασα δὲ ἑαυτὴν
καὶ ὅσον ἐφ' ἑαυτῇ ἀπορριζώσασα, ἐκμαραίνεται
καὶ φθίνει· αἰσχρὰ καὶ ἀσθενὴς γινομένη. ἕως ἂν
πάλιν ἐπιστραφῇ καὶ ἑνωθῇ πρὸς τὴν αἰτίαν.
καὶ οὕτως ἀπολάβῃ τὴν ἑαυτῆς τελειότητα. ἀδύ-
νατον δὲ ἐπιστραφῆναι γνησίως μὴ τούτων
ἐν αὐτῇ τῶν τριῶν προβλημάτων γνωστικῶς τε
καὶ ζωτικῶς διηρθρωμένων. τίς γὰρ ἂν θέλοι
προστρέχειν μὴ ὂν ἀσπάζεσθαι· ἢ τὸ ὂν μὲν μηδὲν δὲ
φροντίζον ἡμῶν· ἢ τὸ ὂν μὲν καὶ φροντίζον· ἀδί-
κως δὲ καὶ ἐπὶ βλάβῃ, τὴν φροντίδα ποιούμενον:

ὅταν μαντικῇ προσίῃς, μέμνησο ὅτι τί μὲν
ἀποβήσεται οὐκ οἶδας:

Μετὰ τὰ πρὸς ἀνθρώπους καθήκοντα, καὶ τὰ πρὸς τὸν θεόν. λή
μέλλων περὶ τῶν πρὸς ἑαυτὸν καθηκόντων λέγειν·
ἕν δέ τι μέσον εἶδος ἀμφοῖν καὶ τὸ πρὸς τὸν θεόν, καὶ τὸ
πρὸς ἑαυτὸν καθῆκον παραδίδωσι· τὸ τῆς μαντείας.
τριχῆ δὲ διαιρεῖ τὸν λόγον λέγων· περὶ τίνων χρὴ
μαντεύεσθαι. καὶ πῶς δεῖ ἀκούειν μὲν οὖν μὲν ταῦτ' ἐρ-
καὶ πῶς τοῖς μαντεύμασι χρῆσθαι. ἤρξατο δὲ
αὐτὸς ἀπὸ τοῦ μέσου τάχα. καὶ πρῶτον αὐτὸ
δοκιμάζον εἶναι· πῶς χρὴ διατιθέναι ἑαυτόν, ἐπὶ

τὸ μαντεύεσθαι ὅλως ἰέναι· ὁ οὔτε ὄρεξιν προβα-
λλόμενον, οὔτε ἔκκλισιν· ἐπεὶ ἂν ἀκμὴν τρέμοντα
προσιέναι τῇ μαντείᾳ· ἃ μὲν ὀρεγόμεθα δεδοικότ(ας)
μὴ ἀδύνατον αὐτὸ ᾖ ὁ μέν· ἃ δὲ ἐκκλίνομεν
δεδοικότας, μὴ προσαγορεύῃ ἔσεσθαι αὐτό· πῶς
οὖν ὑπάρξει τὸ μήτε ὄρεξιν, μήτε ἔκκλισιν προ-
σάγειν; ἐὰν ἐμμονῶς ᾖς φησὶν ὅτι τῶν ἐκτός ἐστι
ταῦτα περὶ ὧν μαντευόμεθα· περὶ γὰρ τῶν ἐφ'
ἡμῖν, οὐ χρεία μάντεως· τίς γὰρ μαντεύσεται εἰ
χρὴ τῶν κατὰ φύσιν ὀρέγεσθαι· τῶν δὲ παρὰ φύ-
σιν ἐκκλίνειν· ὁμοίως ταῦτα περὶ ὧν μαντευόμεθα
τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν· ἀπολαυστέον· ἀγαπητέον·
ἢ τοὐναντίον φευκτέον· τῶν δὲ μὴ ἐφ' ἡμῖν, οὔτε
ὀρέγεσθαι χρή, οὔτε ἐκκλίνειν αὐτά· δῆλον ὅτι
οὐ χρὴ τῷ μάντει προσφέρειν ἢ ὄρεξιν ἢ ἔκκλισιν.
καὶ γὰρ τὸ ἀποβαῖνον ἐστὶν οὐκ εἰδὼς μέν· αὐτὸ
γοῦν τοῦτο παρὰ τοῦ μάντεως ἥκομεν πευσόμενοι·
ἀλλ' ὁποῖον ἐστὶ φησὶν οἶδας· ἐὰν ᾖς φιλόσοφος· ὅ τῶν
ἐφ' ἡμῖν οὔτε ἀγαθόν ἐστιν οὐδέν, οὔτε κακόν· ὥστε
οὐδὲ ὀρεκτὸν οὐδὲ ἐκκλιτόν· καὶ γὰρ οἱ περὶ ταῦτα
δεινοὶ καὶ τὰ σημεῖα συγχεῖσθαι φασὶν ὑπὸ τῶν μαν-
τευομένων μετ' ὀρέξεως· καὶ τοῦτο δέ σοι πρὸς ἀταρα-
ξίαν συντελέσει μαντευομένῳ· τὸ εἰδέναι ὅτι ποῖ' ἂν
ᾖ τὰ ἀποβαίνοντα· ἐπὶ σοί ἐστιν ὠφεληθῆναι
ἀπ' αὐτῶν· καὶ ὅσῳ μᾶλλον δυσχερέστερα, τοσούτῳ
μᾶλλον ὠφεληθήσῃ καλῶς αὐτοῖς χρώμενος.
θαρρῶν οὖν φησὶ ταῦτα καὶ μηδὲν δεδοικώς, ἔρχ-
ου ἐπὶ τὴν θείαν συμβουλήν· ἔσται λοιπὸν τὸ πρὸς
τὸν θεὸν καθῆκον· ὅτι ὁ τὸν συμβουλευθεὶς ἀκολου-
θητέον τοῖς συμβουλευθεῖσι· ὁ γὰρ θεῷ συμβου-

λοῦ

μὴ πειθόμενος, τίνι ἂν πείθοιτο. Καὶ μὴν τοῖς γε ἀπί-
ποτε τοῖς μαντεύμασιν, οὐκ ἀλλαχόθεν γίνεται·
ἢ ἐκ τοῦ, ὅρους τοὺς οἰκείους καὶ ἐκκλίσεις προβάλλε-
σθαι· ὥστε τὸ μὲν τὸ ὀρεγόμενον, μὴ τὸ ἐκκλῖνον τοῦ-
το προσίεσθαι· οὐ μόνον τοῦ τὸ θαρροῦντι καὶ μὴ τρέ-
μοντι προσιέναι σὺν τῷ θεῷ· ἀλλὰ καὶ τοῦ τὸ πεί-
θεσθαι τῇ ἐκείνου βουλῇ. τοῦτο ἐφεξῆς ἐπάγει
περὶ τῶν ὧν χρὴ μαντεύεσθαι. ὅτι περὶ ἐκείνων
μόνον τῶν πραγμάτων, ὧν τὸ τέλος ἄδηλόν ἐστιν
ἡμῖν· ἕως ἂν ἐκβῇ τὸ πρᾶγμα οὐ δυναμένων
ἡμῶν διὰ προφρονήσεως. ἢ τῆς περὶ ἐκεῖνα τὰ πράγ-
ματα τέχνης καὶ ἐμπειρίας τὸ τέλος ἐγνῶσαι.
οὐδεὶς γὰρ ἂν μαντεύσαιτο εἰ χρὴ τοῦ φωνεῖν ἢ κα-
θευδῆσαι τὸν ἄνθρωπον· δῆλον γὰρ τούτων πάντως
τὸ ζῶον. ἀλλ' οὐδὲ εἰ χρὴ φιλοσοφῆσαι ἢ κατὰ φύ-
σιν ζῆν. ἀλλὰ γὰρ ἐστὶ ταῦτα τῷ ἔμφρονι. ἐπωφελῆ
ὄντα. οὐδὲ ὁ ποῖος ἐστὶν ὁ κτιζόμενος οἶκος. ἡ
γὰρ τέχνη προσδηλοῖ τὸ εἶδος. οὐδὲ ὁ γεωργὸς
εἰ χρὴ σπεῖραι ἢ φυτεῦσαι· τῷ γὰρ γεωργῷ ταῦτα
ἀναγκαῖα. τὸ δὲ πότε ἢ ποῦ. ἢ ποῖα σπέρματα
ἢ φυτὰ δεῖ μὴ προσθεῖναι ταῦτα. ἢ ἄλλως ἐνδέ-
χεται, μαντεύσαιτο ἄν. καὶ τὸ ἐπὶ πλεῖστον μάλιστα
τοῦ καιροῦ μὴ πάντη ἀδήλου ὄντος. οὐ μέντοι με-
τὰ τέον εἰ χρὴ προελθεῖν εἰς ἀγοράν. ἢ ἐπὶ τὸν ἀ-
γρὸν ἐξελθεῖν. καίτοι τούτοις ἕπεται τι πλῆθος
ποτε διαφέρες. ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον κατὰ γνῶ-
μην ἐκβαίνει. ἀρκεῖ δὲ ὡς ἔοικε τὸ ἐπὶ πλεῖστον πρὸς
τὸ μὴ δεῖσθαι μαντεύεσθαι. ἐπεὶ κἂν ἐκ λόγου τινὸς
ἢ τέχνης ἀφορμὴ δίδωσι πρὸς τὸ συνιδεῖν τὸ
προκείμενον, οὐ πάντως ἂν συγκαὶ εὕρει ἢ ἐκβάσεως.

οὔτε γὰρ ἡ φύσις οὔτε ἡ τέχνη οὔτε ἡ προαίρεσις
ἐπὶ τῶν ἐκτός, ἀναγκαίαν ἔχουσι τὴν ἔκβασιν.
ἀλλ' ἀρκεῖ τὸ ὡς ἐπὶ τὸ πολὺ πρὸς τὸ μὴ δεῖσθαι μαν-
τείας. τὸ γὰρ ἐπὶ πάντων ἐθέλειν μαντεύεσθαι,
δειλοὺς ποιεῖ καὶ ἀπράκτους. καὶ τὰ μικρὰ μεγάλα
νομίζειν παρασκευάζει. ἀλλ' ἐκεῖνο ἄξιον ἐπι-
σκέψεως. εἰ περὶ τῶν ἐφ' ἡμῖν ὅλως οὐ μαντευτέον.
πῶς λέγεται ὑπολαβεῖν περὶ τῆς ψυχῆς πότερον θνητή
ἐστιν ἢ ἀθάνατος. καὶ λέγεται δεῖν τι διδασκάλῳ
χρήσασθαι. πολλοὶ γὰρ τῶν παλαιῶν φασὶν
περὶ τῆς φύσεως τῶν ὄντων ἐρωτήσαντες. καί τοι
τὸ ὑπολαμβάνειν τοίως ἢ τοίως ἡμέτερον φασὶ
τῶν ἐφ' ἡμῖν εἶναι. μήποτε οὖν τὰ ἀποδείξει λο-
γικῇ ληπτὰ διὰ ἀποδείξεως δεῖ μανθάνειν. οὕτω
γὰρ ἡ ἐπιστημονικὴ γίνεται γνῶσις. ἐὰν ἀπὸ
τῆς αἰτίας ἡ ἀπόδειξις γένηται. τὸ δὲ ἀκοῦσαι
παρὰ θεοῦ ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή. πίστιν μὲν
ἐμποιεῖ βεβαίαν ὡς εἰκός. οὐ μέντοι ἐπιστήμην
τοῦ πράγματος. εἰ δέ τις ἀξιοῦται παρὰ τοῦ θεοῦ
τὰς αἰτίας μανθάνειν καὶ ἐπιστήμων γίνεσθαι.
ἀλλὰ τοῦτο εἶδος ἐστὶ τῆς ἀγαθότητος. καὶ οὐ τοῦ
μαντικοῦ. τοῦτο γὰρ ἔοικεν ἐν τοῖς πρακτικοῖς
τὰς ἀδήλους ἀνθρωπίνῃ διανοίᾳ ἐκβάσεις προσφέ-
ρειν. διὸ καὶ ἠρώτησάν τινες περὶ τῆς φύσεως
τῶν ὄντων. ἀλλὰ σπάνιοί γε οὗτοι. καὶ οὐχ οἱ πρω-
τεύσαντες ἐν φιλοσοφίᾳ. ἀλλ' οἱ συνειθισμένοι
πιστευτικὴν ἔχειν καὶ οὐκ ἐπιστημονικὴν πίστιν.
τοῦ θεοῦ βουλομένου ὡς ἔοικεν αὐτοκίνητον οὖσαν
τὴν ψυχὴν δι' ἑαυτῆς τὸ ἀληθὲς ὁρᾶν. ἀμέλει καὶ
ὁ ἐπίκτητος. καὶ ὁ σωκράτης ἐοίκασιν ὑπὸ παρ-

ρᾶν

ἐκείνων ἐρωτῶν ἀδύνατα καθ' ἑαυτὴν ἢ ἀψυχίᾳ γινώ-
σκειν. τοιγαροῦν οὐδὲ ἀποδέχεται τοὺς ἐρωτῶντας
εἰ χρὴ συγκινδυνεῦσαι τῷ φίλῳ ἢ τῇ πατρίδι. ὅταν
ὀρθὸς λόγος ἀπαγορεύῃ συγκινδυνεύειν. κἂν διὸ
κολασθῶμεν μαντευθῆναι, οὐδὲν ἧττον χρὴ συγκιν-
δυνεύειν. τίς οὖν χρεία τοῦ ἐπὶ τῶν τοιούτων ἐρωτᾶν·
ἐφ' ὧν δῆλον ἐστὶ τὸ πρακτέον. φαίνεται δὲ ὁ θεὸς
καὶ τοῖς ἐρωτήσασί ποτε εἰ χρὴ τοὺς κατὰ τὴν ἐκδοθεῖσαν
πάνυ μεμαθημένος. ἃ γὰρ ὁ ὀρθὸς λόγος ὑπαγορεύει
δεῖν πράττεσθαι, ταῦτα χρὴ ποιεῖν. καὶ μὴ ἐρωτᾶν
κἂν ἐπῇ ταῦτ' ἢ δύσκολον ἡμῖν περὶ τὸ σῶμα ἢ κατὰ τὰ
ἐκτός. χρὴ γὰρ τὸ ἡμέτερον ἀγαθὸν προτιμᾶν τῶν
τοῦ σώματος ἢ τῶν ἐκτός. καὶ τούτων εἰς ἡμᾶς
ἀνηκόντων τὴν ἀναφοράν. ἀποδείξας δὲ ὅτι οὐ
χρὴ περὶ τῶν τοιούτων μαντεύεσθαι ἐκ τοῦ ὅ-
ποια ἂν θέλῃ καταστῆναι ἱερά, δέον πάντως συγκιν-
δυνεύειν, πιστοῦται τοῦτο καὶ ἀπὸ τοῦ τὸν θεὸν ἐκ-
βαλεῖν τὸν μὴ βοηθήσαντα ἀναιρουμένῳ τῷ φί-
λῳ. δύο γάρ τινες ἀδελφοὺς ἀπιοῦσι λησταῖς ἐπε-
πτώκασι· καὶ τοῦ ἑτέρου ὑπ' αὐτῶν ἀναιρου-
μένου, ὁ ἕτερος ἔφυγεν ἢ ἀδελφὸς μὴ ἐπαμύνας,
ἦλθεν εἰς τὸ μαντεῖον. καὶ ὁ θεὸς ἐξέβαλεν αὐτὸν
εἰπών· ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας
οὐκ ἐπαμύνας, ἤλυθες οὐ καθαρός· περικαλλέος
ἔξιθι νηοῦ. καὶ δῆλον μὲν ὅτι καὶ κωλυόμενος,
οὐ παρόντος ἂν ἐρρύσατο τοῦ θανάτου τὸν φίλον.
ἀλλ' ὅμως ἔδει συγκινδυνεῦσαι καὶ συναποθανεῖν.
εἰ καὶ τοῦτο ἦν ἀμήχανον βοηθοῦντα παθεῖν. δι' αὐτὴν
προαίρεσιν οὖν ταύτην ἀκάθαρτον αὐτὸν ἔκρινεν
ὁ θεός. ὡς μολυνθεῖσαν τῇ προδοσίᾳ τοῦ φίλου.

διὰ τὴν περὶ τὴν περὶ τὸ σῶμα συμπάθειαν· ὥσπερ ἐπ' ἄλλου καὶ ἀποτυχίας γινομένης κατὰ τὴν προαίρεσιν ὁμοίως ὁ θεὸς ἀπεδέξατο. πάλιν γὰρ ἄλλων δύο τινῶν λῃσταῖς περιπεσόντων, καὶ τοῦ ἑτέρου κρατηθέντος ὑπὸ τῶν λῃστῶν, ὁ ἕτερος ῥίψας ὡς κατὰ λῃστοῦ τὸ ἀκόντιον, ἐκείνου μὲν διήμαρτεν· ἔβαλε δὲ τὸν φίλον καὶ ἀνεῖλε. ἐλθὼν δὲ εἰς τὸ μαντεῖον, οὐκ ἐτόλμησεν εἰσελθεῖν ὡς ἀκάθαρτος τοῦ φόνου τοῦ φίλου. καὶ ὁ θεὸς δὲ φωνήσας πρὸς αὐτὸν, τάδε εἶπεν· ἔκτανες σὸν ἑταῖρον ἀμύνων· οὔ σε μιαίνει αἷμα φόνου, ἀλλὰ πέλεις καθαρώτερος ἢ πάρος ἦσθα. ἀγνοῶν πρότερον διὰ τὴν ὀρθὴν προαίρεσιν. δῆλον ὅτι οὐκ ἐν τῇ πράξει, ἀλλ' ἐν τῇ προαιρέσει τῶν ἀνθρώπων τὸ κατορθοῦν ἐστι καὶ ἁμαρτάνειν. ἐπισημαίνεσθαι δὲ χρὴ ὅτι καὶ ταῦτα τὰ προσεχῶς εἰρημένα ἀφ' οὗ ἀπεσημειωσάμην, καὶ τὰ ἐφεξῆς ῥηθησόμενα προσήκοντα, πρὸς μέσον δ' εἰσὶν ἁρμόττοντα τὴν ἤδη προκεκοφόσιν, καὶ ἐν τῷ φιλοσοφεῖν οὖσαν. καὶ γὰρ ἐνταῦθα ὡς περὶ φιλόσοφος, καὶ ἐν τοῖς δὲ πολλαχοῦ τὸ τοιοῦτον ἐπισημαίνονται.

Τάξον τινὰ ἤδη χαρακτῆρα σεαυτῷ καὶ τύπον ὃν φυλάξεις:

λδ Ἐντεῦθεν τὰ πρὸς ἑαυτὸν καθήκοντα τῷ προσκεκοφότι καὶ ἤδη φιλοσοφοῦντι παραδοὺς, τάξαι φησὶν ἤδη χρὴ καὶ ὁρίσαι χαρακτῆρα διαγωγῆς τῆς τὸν καθήκοντα τῷ τοιούτῳ βίῳ. πρὸς ὃν χρὴ καὶ κατὰ μέρος συναρμόττειν, οἷς ἐπιδείξειν αὐτὸς δι' αὐτῶν. καὶ τὸν ὅλον χαρακτῆρα τοῦ ὑπὸ ... ὁρίσαι παραγγέλλων φυλάττειν αὐτὸν ἐφ' ἑαυτοῦ τε ὄντα.

BIBLIOTHEQUE MAZARINE

καὶ ἄλλοις ἐντυγχάνονται. τοῦτο δὲ οἶμαι σημαίνει
τὸ δεῖν ἀεὶ κατὰ τὸ δυνατὸν ἐν ἑαυτῷ τι ἰδίαν καὶ
μίαν τὴν αὐτοῦ ζωὴν ἀεὶ διαζῶντα. καὶ μὴ τοῖς
ἔξωθεν προσπίπτουσι ποικίλοις οὖσιν ἀεὶ ἑτέροις
διηνεκῶς συμμεταρρέοντα. ἀλλ᾽ ἐγρηγορότα καὶ ὅσον κρατεῖ
ἐν τῷ αὐτῷ καταστήματι ἀεὶ ὁρᾶσθαι. καὶ μήτε
ὑπὸ τῶν ἡδέων· μήτε ὑπὸ τῶν λυπηρῶν ἀλλο-
κότων μετακινεῖσθαι. διὰ τὸ μίαν τὴν αὐτὴν
ζωὴν ἀεὶ τὴν ἑαυτοῦ διαζῆν. καὶ τάχα αὐτὸς ἑαυτῷ
ὁ ἴδιος χαρακτήρ· ὃν δεῖ τάξαι καὶ ὁρίσαι· ὃν ἐνεδεί-
ξατο σὺν τὸ μέρος διὰ τὸ δεῖν πᾶσιν· ὅτι δεῖ τὸν αὐτὸν φυ-
λάττειν· ἐφ᾽ ἑαυτοῦ τε ὄντα καὶ ἄλλοις ἐντυγχάνοντα.
τῶν δὲ οἰκείων τοῦ τοιούτου χαρακτῆρος εἶπε τὸν καὶ
κυριώτατον· σιωπή φησι τὸ πολὺ ἔστω. καὶ γὰρ ὅλη
σπουδή, τῶν παιδευτικῶν λόγων ἐστὶν, ἐπιστρέ-
ψαι τὴν ψυχὴν εἰς ἑαυτήν· ἀπὸ τῶν ἐκτός· καὶ
ἀπὸ τῶν ἀλόγων ἐν αὐτῇ παθῶν· καὶ τοῦ σώματος·
ὥστε τὴν ἑαυτῆς ζωὴν τὴν αὐτὴν ἀεὶ ζῆν· πρὸς δὴ
τοῦτο ἡ σιωπὴ ταῖς μάλιστα συντελεῖ. διὸ καὶ οἱ Πυ-
θαγόρειοι τῆς καθ᾽ ἑαυτοὺς ἀγωγῆς ἀρχὴν ἄρυσιμον
ταύτην συνετάξαντο τὴν πενταετῆ σιωπήν· ὥσπερ
γὰρ αἱ αἰσθήσεις ἔξω τείνουσι τὴν ψυχὴν συνεργοῦσαι
αὐταῖς· ὡς δηλοῦσιν οἱ μύοντες τοὺς ὀφθαλμοὺς
ὅταν ἑαυτοῖς βούλωνται συννοῆσαι καὶ συναγεῖραι,
διεγείρεσθαι τὸ προσεκτικὸν τῆς ψυχῆς, οὕτω
καὶ ὁ προφορικὸς λόγος· ὁ συνεργὸς ὢν τότε ταῖς
αἰσθήσεσιν· ἀλλ᾽ αὐτῆς ἐνεργούσης, ἐκχεῖ μᾶλλον
τὴν ψυχὴν πρὸς τὰ ἔξω. καὶ ταύτης τῆς ἐκχύσεως
ἰατρεία ἡ σιωπή. ὃ ὑποδεικνὺς ἡ δὲ σιωπὴ ἐπὶ ταῦτα.
οὐ γὰρ ἐπὶ πάντα καιρὸν τὸ εἶδος παραινεῖ τὸ Πυθαγόρου.

τὸ τελέως ἀνηγμένον καὶ θεοειδές. ἀλλ' ἔστι τὸ πο-
λιτικὸν καὶ συμμετρότερον αὐτοῖς. ἢ οὖν σιωπᾶν
φησὶ χρῆναι, ἢ λαλεῖν τὰ ἀναγκαῖα. καὶ διὰ βραχέ-
ων ἐρωτῶντι ἀποκρινόμενον. καὶ συντόμως ὥσπερ ἀ-
τὸ εἶδος ἐκείνων περὶ ὧν χρὴ λαλεῖν. ὅτι τὰ ἀναγκαῖ-
α χρὴ εἶναι ταῦτα πρός τε τὴν κατὰ φύσιν τῆς ψυχῆς
διαγωγὴν, καὶ τὴν τοῦ ζώου χρείαν. τὰ γάρ τοι αὐτὰ
ὀλίγα ὄντα καὶ πραγματικώτερα. καὶ μὴ διὰ
κενὰ μηδὲ ἀδεῖσθαι, οὐ γὰρ αὐτὸ ὁμοίως. οὐ δὲ ἀπο-
τὴν φαντασίαν πρὸς τὸ ἀδεῖσθαι. ὥσπερ δὲ καὶ τὸ
τοῦ λόγου εἶδος ὅτι σύντομον καὶ διὰ βραχέων.
ἃ γὰρ τὸ περιφαντάζεσθαι τὰ πράγματα περὶ
ὧν ὁ λόγος. καὶ μὴ κατακρατεῖν αὐτῶν τῆς διανοί-
ας πολυλογίαν ποιεῖ. τὸ διαβαίνειν εὐθυβόλως
εἰς αὐτὰ τὴν νόησιν. καὶ τὸ συνῃρημένον τῆς οὐσί-
ας αὐτῶν καὶ κυριώτατον ὁρᾶν καθὸ ὑφέστηκεν ἕ-
καστον. καὶ τὸν λόγον τὸν περὶ αὐτῶν εἶναι κυριώ-
συνηγμένον προφαίνει. ἃ δὲ ὥσπερ φησὶ χρῆναι, καὶ
μακρότερον γίνεται λόγου. τοῦτο δ' ἔστι τὸ λέγειν
ὑπὲρ τῶν μόνον ἢ ἀποκρινόμενον. ἀλλ' ἐφ' ἑαυτοῦ
τὸν λόγον ἀποτείνοντα. κἂν τὸ τοῦ λόγου σῶμα
ἁπλοῦς φθῇ ποτε δι' ἀνάγκην ἀντὶ βραχέος μακρότε-
ρον γινόμενον. ἀλλὰ τῶν γε πραγμάτων περὶ ὧν οἱ
λόγοι τὸ εἶδος, τὸ αὐτὸ τῷ προτέρῳ μένει τῷ. περὶ
ἀναγκαίων γινομένου τοῦ λόγου. ἢ προτρέποντος
ἐπ' ἀρετήν. ἢ διδάσκοντος ἢ συμβουλεύοντος. ἢ
παραμυθουμένου ἢ συζητοῦντος, τὴν ἐν τοῖς
οὖσιν ἀλήθειαν. ἢ τοῦ θεοῦ τὴν ὑπεροχὴν καὶ
τὴν πρόνοιαν ἀνυμνοῦντος. καὶ συλλήβδην
πρὸς τὸν κατὰ φύσιν βίον ἄγοντος δι' εὐχῆς.

ἀλλὰ μὴ περὶ τῶν τυχόντων. περὶ ὧν οἱ τυχόντες δια-
λέγονται· μήτε οὖν περὶ μονομαχιῶν ἢ ἱπποδρο-
μιῶν ἢ τῶν τοιούτων· μὴ περὶ βρωμάτων ἢ πω-
μάτων· οἷς ὁ δῆμος καὶ ὁ ὄχλος ἀσχολοῦνται· οἱ γὰρ περὶ τῶν
τοιούτων λόγοι, καὶ τὴν φαντασίαν αὐτοῖς προ-
σκολλῶσιν· ἔπειτα δὲ ὅτε καὶ τὴν ὄρεξιν· ὥστε φλη-
κὸν δὲ καὶ συμπίπτουσι γε αὐτοῖς τὴν ζωήν· μά-
λιστα δέ φησι μὴ περὶ ἀνθρώπων ποιεῖσθαι τὸν λόγον· ψέ- δὲ
γονται ἢ ἐπαινοῦνται ἢ συγκρίνονται ὅτι οὐδὲν αὐτοῦ
καλλίων ἢ χείρων κατὰ τάδε ἢ τάδε· καὶ ὅτι μὴν ἐ-
ρυτορικὸς τῶν λόγων ἐπὶ τὸ ἐκτὸς τείνεσθαι
ποιεῖ τὴν ψυχὴν ἑαυτῆς ἀφισταμένην καὶ ἀλλοτριο-
πραγμονοῦσαν καὶ ματαιοπονοῦσαν· δῆλον δὲ
διὰ ταῦτα δὲ μάλιστα μὴ περὶ ἀνθρώπων λέγειν ἢ ἐπαι-
νοῦνται ἢ συγκρίνονται· τί γὰρ ἔχει τοῦτο χρείας
ἐκείνων· ἢ ὑπὲρ τοῦ τὸν μὲν οὕτως πρὸς ὃν ὁ λόγος· ἀπὸ
ἀρχὴν ἔχει τοῦ φιλοσοφεῖν ἐκείνων, ὡς ἐπὶ τῶν
ἄλλων τῶν σπουδασμάτων· περὶ μονομάχους καὶ ἀ-
θλητὰς καὶ τὰ τοιαῦτα· περὶ δὲ ἀνθρώπων μᾶλλον ἂν
ποιοῖτο τοὺς λόγους· πρὸς ἃ οὖν ἐπιρρεπῶς ἔχει,
τούτων μάλιστα αὐτὸν ἀναχαιτίζει· ὡς δὲ ἔλεγε σὺ
μάλιστα τοῦτο φυλάττου· ἐπεὶ ταὐτῶν αὐτῶν παθ-
ὁμοίως κοινουμένων· ἐφ' ἑκατέρου τῶν λόγων· ἔ-
γαρ συμπαθεῖσθαι καὶ ἀντιπαθεῖσθαι καὶ ἐπὶ τούτων
δὲ ἐπαινουμένων συγκινοῦνται τοῖς περὶ αὐτῶν λόγοις
ἰδιόν τι πάθος ἀκολουθεῖ· τοῖς κριτικοῖς τῶν ἄλλων
λόγοις· τὸ ὑπεροπτικὸν καὶ τετυφωμένον· ὁ γὰρ
κρίνων ἄλλων ὡς ὑπερέχων αὐτῶν ποιεῖται
τὴν κρίσιν· καὶ γὰρ νεμεσητὴ μᾶλλον ἡ ἁμαρτία δὲ
ἡ περὶ τὴν κρίσιν τῶν ἀνθρώπων βίων· ἢ περὶ ἕκαστα
ται ζοντα

διαμαρτάνουσαι. οὐ μόνον δέ φησι λέγειν τὰ τοιαῦτα ἀφεκτέον· ἀλλὰ καὶ τοῦ ἀκούειν. καὶ γὰρ δι' ἀκοῆς φαντασίαι κινοῦνται. καὶ ὀρέξεις ἄλογοι τῶν ἀκουόντων. καὶ μέντοι καὶ οἱ λέγοντες τὰ τοιαῦτα. ὅταν τινὸς τῶν σεμνοτέρων δοκούντων παρόντος μὴ ὑποσταλῶσιν, ἀναιδέστεροι γίνονται. καὶ παρρησίαν ἀναισχύντου καὶ ἀκατάπληκτον ἐν αὐτοῖς τρέφουσι. διό φησιν, ἂν μὲν οἷός τε ᾖς· μετάγε τοὺς τῶν συνόντων λόγους, ἐπὶ τοὺς σπουδαιοτέρους· ἂν δὲ ἀπολειφθῇς ἐν ἀγνῶσι κατ' ἄλλο εἶδος ζωῆς, γὰρ διεφθαρμένον· τραφεῖσί τε καὶ συνεθισθεῖσιν. οὓς ἀλλοφύλους ἐκάλεσε. σιώπα φησί. καθαρὸν ἑαυτὸν τηρῶν μετὰ τῆς σιωπῆς ὡς ἑαυτοῦ ἐπιστραφείς:

Γέλως μὴ πολὺς ἔστω· μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος:

μ̅ε̅ Μέγα τὸ κοινὸν παράγγελμα τοῦ φιλοσόφου τί ἐστιν ἐν ταὐτῷ τοῦ ἤθους μονῆς πρὸς τὴν μεγάλην ἡσυχίας μοῖραν συμβάλλεται· τὴν μεγάλην ἐκτροπὴν τῆς περιχαρείας ἀναστέλλει τὴν διὰ τοῦ γέλωτος. διὰ ταύτης ἴσως καὶ τὴν αὐτίκα μὲν ἡδονὴν αὐτῆς τῆς λύπης ἐνδεικνύμενος. τῆς γὰρ ψυχικῆς περιχαρείας οἷον ὑπερεκχύσεις τίς ἐστιν ὁ γέλως. διὸ γίνεται τοῦ πνεύματος ἀνοιδισκομένου. καὶ ψόφον χάλασμα παραπλήσιον ἀποτελοῦντος. ἐκτρέπεται οὖν τὴν καταστηματικὴν καὶ ἵλεω διάθεσιν τῆς ψυχῆς καὶ τοῦ σώματος. ὥσπερ καὶ τὸ κλαίειν καὶ τὸ ἀνακωκύειν ἐκ τῶν ἐναντίων λυμαίνεται τὴν τῶν συμμετρίαν ταυτότητα. διὰ ταῦτα οὖν χρὴ φυλάττεσθαι τὸν γέλωτα μάλιστα τὸν ἐπὶ πολλοῖς. κἂν χρεία ποτὲ γέλωτος ἵνα μὴ ἄμοιρος ἀεὶ τῆς γε

μένους τε τό τε ἦθος τὸ ἑαυτῶν δύσκολον ἐργασώ-
καὶ τοῖς συνοῦσιν ὀχληροὺς καὶ ἀχαρίτους· ἐπεὶ δὲ εἰς ἀπο-
ζῶμεν· ἀλλ᾽ ὀλίγα ἀνάπτεται ζήλῳ τὸ ἄξια· ὅσον αὐτὸς
πολλοῖς ζηλοῦν, δῆλός ἐστι ῥᾳδίως ὑπὸ περιχαρείας
χαυνούμενος· διὸ οὐδὲ πολλάκις χρὴ τοῦτο πάσχειν·
οὐδὲ ἐπὶ πολλῶν χρόνον διαμένειν ζηλοῦνται· οὔτε
γὰρ ὁ πολύς, οὔτε ἐκκεχυμένον εἶναι καὶ συγκεχω-
ρημένον τῆς γέλωτος τοῦ τέλος ἐστί· ταῦτα γὰρ οἶμαι μὲν
τὸ ἀνειμένον σημαίνειν· ἀλλ᾽ ἀμαθίᾳ μᾶλλον
ἐοικέναι ἐν τοῖς ἀθλήσεσιν, ὀλίγην τὴν παράταξιν
ἐργαζόμενον :· ὅρκον παραιτήσασθαι δεῖ μὲν
οἷον τε δεῖ ἅπαν· ἀλλ᾽ ἐκ τῶν ἐμόντων:

Καὶ ἐν τούτῳ τῷ καταλόγῳ τῶν ἐς ἑαυτὸν καθηκόντων μα
μετὰ τὸ ἀναστέλλειν τὰς μεγάλας καὶ ἀθρόας ἐν-
τροπὰς τῆς ἐν ταυτῷ τοῦ ἤθους μονῆς, ἀπὸ τῆς
πρὸς θεὸν ἀρχέσθαι σεβασμοῦ· ὁ γὰρ ὅρκος, μάρτυρα
τὸν θεὸν καλεῖ· καὶ μεγάλην αὐτοῦ καὶ ἐγγύην τὴν ἐφ᾽
οἷς λέγει προΐσχεσθαι· τὸ τοίνυν ἐπὶ ἀνθρωπίνοις πράγ-
μασι ταυτὸν δὲ ἁπλῶς μικροῖς καὶ εὐτελέσι τὸν θεὸν παρα-
γειν καταφρονοῦντός ἐστιν αὐτοῦ· πρὸς αὐτὸν ὑποστρέφει·
διὸ χρὴ παραιτεῖσθαι τὸν ὅρκον· ἀλλὰ μὲν διὰ ταῦτα
κέρδος καὶ πόνον καὶ ζημίαν τὴν δι᾽ αὐτὴν μᾶλλον
αἱρούμενον ἢ ὀμνύναι· ἀλλ᾽ ἂν ἀνάγκη ποτὲ ἢ φίλον
ἀπὸ κινδύνου δι᾽ αὐτοῦ τοῦ ῥύσασθαι· ἢ ὑπὲρ γονέων
ἢ πατρίδος· πίστιν παρασχεῖν πᾶν μᾶλλον ὑπομεῖναι
κάλλιον, ἢ παραβῆναι τὴν διὰ θεοῦ μάρτυρος γενομένην
ὁμολογίαν :· ὡς ἀπειλὰς τὰς δεσποτικὰς καὶ
ἰδιωτικὰς διακρούοιν:

Μετὰ τὴν ἀναστολὴν τῆς περὶ θεὸν ἀδιαφορίας, τὴν πο- μβ
λυκέφαλον ἀναστέλλει ἐπιθυμίαν· μετρεῖ ἀπὸ αὐτοῦ

ἀπὸ τῆς ἀρχῆς ἀπὸ ταύτης τῆς περὶ τὰς τροφὰς ἀρ-
ξάμενος· καὶ διὰ τῶν ἄλλων τῶν περὶ τὸ σῶμα
ἐπὶ τὴν περὶ μείζω ἐλθών· καὶ γὰρ αἱ μὲν τῶν λιπ-
αρῶν ἁδρῶν ἑστιάσεις· ἃς τροφὰς καὶ πόσεις καὶ τὰ ἐν
συμποσίοις θεάματα ἃ πάρεργα ποιοῦνται λόγων
δεόμενοι κατὰ τὸ ἀληθὲς κορυφαῖοι τε καὶ διατριβαί·
ὡς δηλοῖ τὰ ὑπὸ Πλάτωνος καὶ Ξενοφῶντος καὶ
Πλουτάρχου καὶ ἄλλων ἱστορηθέντα συμπόσια· ἀλλ᾽
τῶν πολλῶν ἀγώνων ἀστεύφλων τε μηνύει καὶ τὰς
σωματικὰς ἀπολαύσεις τῶν σιτίων μετὰ τῶν ἀλόγ-
ζώων ἐοίκασι· διὸ καλῶς εἴρηται ὅτι χωρὶς λόγου
τὸ ἀπέζαι φάτνης οὐδὲν διαφέρει· χρὴ οὖν τὸν
ἐπιεικῆ τὰς ἔξω τῆς ἑαυτοῦ ἐν στάσεως ἰδιωτικ-
ὰς ἑστιάσεις παραιτεῖσθαι. ἢ δέ ποτε γένηται καιρὸς
αὐτῶν ἢ ἑορτῆς τινος κοινῆς ἀπαιτούσης· ἢ πρὸς
ἀναγκάζοντος· ἢ συμπεριφορᾶς ἐνδιδούσης· ἢ ἄλλης
χρείας κατεπειγούσης· ἄν τε τάδε σοι φῇ ἢ ἐπε-
σοχή· τουτέστιν ἐγκρατῶς τὸ προσεκτικὸν τῆς
ψυχῆς· καὶ φυλαττέτω αὐτὴν ἐν ἑαυτῇ μένουσαν·
μήποτε ἐξ αὐτῆς ἀποστᾶσα καὶ ἰδιωτικὰς ὀρέξεις
προβαλλομένης, ἃς τὴν τῶν ἰδιωτῶν ἀπορρυπ-
τάξειν· καὶ συμμολυνθῇ τοῖς ἰδιώταις δι᾽ αὐτῶν
ἀλόγων ὀρέξεων· ὁ γὰρ τοῖς μεμολυσμένοις ἑαυτ-
ὸν ἐνδοὺς· καὶ τὰς ἐν αὐτοῖς ὀρέξεις προβαλλόμενος·
τοῦτο γάρ ἐστι τὸ συναναβάσθαι. κἂν πρότερον
ἦν καθαρός, καθαρὰς ἔχων τὰς ὀρέξεις· μολύνεται
διὰ τούτων· μολυσμὸς γάρ ἐστι τοῦ καθαροῦ ἡ τοῦ
ἀκαθάρτου μῖξις:· τὰ περὶ τὸ σῶμα μέχρι
χρείας ἀφελῆ παραλαμβάνειν:
μεγ ἀπαραλαμβανόμενα τοῦ σώματος ἐν δεῖ τῶν
κτήσασθαι

ἀνάγκη καὶ οὕτω χρήσασθαι αὐτοῖς· αὐτὸς δὲ περὶ
τῆς χρήσεως αὐτῶν νῦν λέγων· οὐχ ἧττον ἐρεῖ περὶ
τῆς κτήσεως· καὶ τάχα μὲν καλὸν ἦν μηδ' ὅλως ἀλλ' αὐ-
τοῦ ἀνθρώπου ψυχὴν ὀργάνων λογικήν· ἐπεὶ δὲ καὶ ὀργάνῳ
χρῆται σώματι φθαρτῷ, ἀρκεῖται ἀναγκαῖα προσ-
φέρειν αὐτῷ, καὶ μὴ ὅλως ἀθύρειν ἐς περιττότητα·
ἀλλ' ὥσπερ ὁ τέκτων τοῦ σκεπάρνου προνοεῖ·
ἀρκεῖται μέγεθος αὐτῷ καὶ σχῆμα περιποιεῖν τὸ πρέ-
πον· καὶ ἀκμὴν ἐσομένην· οὐ μέντοι ἐπὶ
χρυσὸν αὐτὸ ποιεῖν ὀρέγεται· καὶ διὰ λίθων· διότι
καὶ ἐς τὴν ἀπάτην ἐπιβλαβῶς ἐμμένει περὶ ἐπι-
χεσθαι· καὶ παρ' αὐτὸν λόγον τῆς τέχνης ἐπιμελεῖ-
σθαι τοῦ ὀργάνου· καὶ ἄχρηστον αὐτὸ τῇ τέχνῃ ποιεῖ·
οὕτω καὶ χρὴ καὶ περὶ τὸ ὄργανον ἡμῶν ἡμᾶς διατί-
θεσθαι τὸ προσέχειν· αὐτῷ μόνα πρὸς φρόντ·
ἐν μὲν τροφαῖς καὶ πόμασι τῶν κατὰ φύσιν τρεφόντων
τὸ ἀναγκαῖον σώματι. τὰ δ' ὑπὸ εἴσω καὶ φύσει κατὰ τρα-
πεζομένους· ταῦτα γὰρ εὐθὺς καὶ καθαρῶς εὑρίσκεται
ἁπλούστερα καὶ ὑγιεινότερα· τρυφὴν γὰρ δ' ἔστι τοιοῦτον·
οὐ μέντοι τοιαῖσδε καὶ τοιαῖσδε ποικιλίαις τροφῶν·
οὐδὲ γὰρ πρὸς θεωρίαν μᾶς καὶ πρᾶξαι ἡμᾶς
ἡ φύσις ᾤκισε· καὶ τὴν ματαίαν καὶ κακοτεχνίαν.
ἀλλὰ πρὸς τροφὴν τὸ ἀπορρέον ἀνυφαίνουσα.
ὅτι δὲ τοῦτο οὕτως ἔχει τοῦτο. δηλοῦσι μοι αὐτοὺς ἐπ'
ἀναγκαζόμενοι φύσει κόπτοντες φάσθαι· πολλοὶ
τῶν τρυφώντων ὄντες ὑγιέστεροι· ὥσπερ ἀριστοκρα-
μὲν τῶν πολιτικῶν. δοῦλοι δὲ τῶν δεσποτῶν.
καὶ τῶν πλουτούντων οἱ πένητες· τὰ γὰρ περιττὰ
καὶ ἐς καὶ ὥσπερ μὲν αἱ βαρεῖ τὴν φύσιν· ὥσπερ δὲ λαβὰ καὶ
ἀλλόφυλα· ἥ τε τὸ γένος τῶν δηλητηρίων ὄντα

κατά τινα τρόπον· διὸ πνεύματα καὶ ῥεύματα
ἐξ αὐτῶν γίνονται φθοροποιά· χρηστῶν καὶ τῶν
ποσῶν καὶ τῶν ποιῶν, πρὸς τὴν φύσιν τοῦ ὀργάνου
χρὴ τὰ προσφερόμενα μετρεῖν· ἵνα μὴ καὶ τῷ
ποσῷ εἰς μάτην τῆς ποιότητος δαπάνης κατατριβώμεθα.
καὶ παρ' αὐτὸν ὀρθὸν λόγον τοῦ ὀργάνου ἐπιμελώμεθα·
καὶ ἀρχῆθεν τοῦτο αὐτὸ ποιῶμεν· μακάριον δέ, τὸ
ἐξ ἀρχῆς οὕτω τεθράφθαι· καὶ συνειθίσθαι· οὕτω
γὰρ καὶ τῷ σώματι ἀνεκτὴ καὶ ἐπαφὴς καὶ ἡ
δίαιτα· ἡ φυσικὴ καὶ λιτὴ καὶ ἀπέριττος δίαιτα.
οὕτω δὲ καὶ περὶ ἐσθῆτα καλὸν ἔχειν· Σωκράτη μὲν
γὰρ ἐλέγετο καὶ θέρους καὶ χειμῶνος τοῖς αὐτοῖς ἀμ-
φιέσμασι κεχρῆσθαι· τοῖς δὲ ὡς πρὸς Σωκρά-
τη τρυφῶσιν ἀρκέσει πρὸς τὰς ὑπερβολὰς τῶν ὡρῶν
μεταμφιέννυσθαι· λίνῳ τε τῷ ἀπαστῆς· καὶ τῶν
συνήθων ἢ μὲν ζώων τοῖς ἐρίοις χρωμένοις· τοὺς
τοῖς ἐν τῇ δύσει ποταμοῖς ἀνερευνᾶν· καὶ τὰ ἐν
αὐτοῖς ἀποδέρειν ζῷα· καὶ σηρῶν τῶν ἀνατολικ-
ῶν δεῖσθαι· καὶ τῶν νομίμων τούτων παρ' ὑμῖν ὑλ-
χρυσοῦ καὶ ἀργύρου τῶν παρ' ἐκείνοις τῶν σκηλη-
μάτων ἀντικαταλλάττεσθαι, πολλῆς ἂν δέοι τρυφῆς
τε καὶ ἀλογιστίας· ἀλλὰ καὶ περὶ οἴκους οὕτως ἔχειν
χρή· κράτιστον μὲν γὰρ ὁ πίθος ἢ καλύβη ἃς οἱ κυνικοὶ.
καὶ γαμετὴν ἔχοντα τὴν καλὴν Ἱππαρχίαν· ἡ μὲν γ(ὰρ)
ἔστω μὲν οἶκος, ἀλλὰ πρὸς τὴν χρείαν ἀρκῶν· καὶ
τῷ μεγέθει καὶ τῷ καλλωπισμῷ· ἐν ᾧ ἀρκοῦμαι
ἔχων τῆς χρείας καὶ γυναικωνῖτιν· τάχα δὲ καὶ τοῦτο
περιττόν· οὐ μέντοι τεσσαρακοντάκλινον οἴκημα
πάντως καὶ τοίχοις καὶ ἐδάφει λιθοστρώτου ἀπο-
ποικίλως καταπεποικιλμένον· οὐδὲ καθ' ἑκάστην μὴν

διαφόρους εἶχον καταιτιῶνται· ὥσπερ γὰρ ἡ χρεία αὐ-
τῶν τοιαύτη δὲ πάντη καὶ δυστυχές ἐστι τὸ τοιούτοις
συνεθίσθαι, τοῖς ἄλλοις πᾶσιν δὲ παρέσχηκε ἀθλ.
ἐῶ λέγειν ὅτι τὸν τούτοις προστετηκότα· καὶ τὴν εὐ-
δαιμονίαν ἐν τούτοις ἀνάγκη τίθεσθαι· καὶ ἑαυτοῦ
τελέως ἐπιλανθάνεσθαι· κἂν ἐκπέσῃ τούτων
πολλὰ δὲ ταῦτα τῆς ἐκπτώσεως κύρια, κλαίειν ἀ-
νάγκη καὶ ὀδύρεσθαι· καὶ τότε κακοδαίμονα εἶναι·
καίτοι κακοδαιμονέστερον ἔχομεν μᾶλλον ὅτε
τούτοις ἐντρυφῶμεν· τῶν δὲ αὐτῶν λέγω, ἢ
τῷ πλήθει τῶν οἰκετῶν χρηστέον· πρὸς τε τὴν
χρείαν βλέποντι καὶ τὴν ἄλλην πλείονα οὐσίαν· ἵνα
τρέφωνται αὐτάρκως καὶ ἐργάζωνται· ἅμα
μὲν ἐπιμελῶς, ἅμα δὲ ἀθλίπτως· οἱ γὰρ ἐν τῷ
προσόδοις προσκυνούμενοι καὶ ἀκολουθοῦντες πολλοί
καὶ τοῦτο ἔργον ἔχοντες λανθάνουσι τὸν δεσπότην
φύλακες ὄντες αὐτοῦ πικροί· ὡς μήτε ἀπελθεῖν
που καθ' αὑτὸν δύνασθαι· μήτε ἰδιολογήσασθαι
τινὶ λεληθότως· μήτε πρᾶξαί τι τῶν ἀρεσκόντων
αὐτῷ τοῖς οἰκέταις ἀπόρρητον· εἰσὶ δὲ καὶ τοῖς
ἄλλοις ἄλλοις σκληροί· τά τε ἐκ τῆς φορᾶς· τὰ μὲν
κλέπτοντες, τὰ δὲ, ἁρπάζοντες καὶ τύπτοντες
καὶ ὑβρίζοντες ἀδεῶς, τὴν τῶν συνδούλων μὲν
κουρείαν· ὑπό τε οὖν τούτων καὶ ὑπὸ τῆς ἀργίας,
παντοδαπῶς διαφθειρόμενοι, ἐχθροὶ πάντως
εἰσὶν οἱ πλεῖστοι τῶν δεσποτῶν καὶ πολέμιοι· ἀνά-
γκην ἐχόντων διὰ τὸ τούτους τρέφειν· τρυφῶντας
καὶ καλλωπιζομένους καὶ ἀκολασταίνοντας· πόσα
μὲν πονεῖν· πόσα δὲ φροντίζειν· πόσοις δὲ κο-
λακεύειν· καὶ πόσοις δουλεύειν· καὶ τὸ κεφάλαιον
τῶν κακῶν

τοῦ κατὰ φύσιν προσήκοντος ἐν τοῖς βίου διαλαμ-
πάνειν. ἀλλ' οὗτος μὲν ὁ υἱὸς πόρρω τῆς ἐπικλήρου
παιδαγωγίας ἀπερριμμένος τῆς ἀξίας ἑαυτῷ δι-
απολαυέτω. ὁ δὲ ἡ δὴ φιλοσόφων ἀνήρ. καὶ
τῇ οἰκετείᾳ πρὸς τὴν ἀπέριττον χρείαν συμμέ-
τρως μὲν ἡ προσχρήσεται. ὀλίγης δὲ δεῖται αὐτὴ
& διὰ τὴν ὀλιγότητα τοῦ βίου. καὶ διὰ τὸ τὰ
πολλὰ αὐτουργεῖν. ὥστε οἰκέτου δεῖσθαι ἦν
σοῦν ἡ τῆς χρείας δεομένης συλλήπτορος. ἢ &
δι' ἀσχολίαν ἐγγίστου τὴν πρὸς καλλίονα. ὥσπερ
& ... μαστος οὗτος ἐπίκτητος. μόνος τὸν πολχῶν
χρόνον διατελέσας. ὁ δὲ πώποτε γῆν ἂν καὶ προσα-
λαβέσθαι διοτρέφον. ὅπερ ἐκτίθεσθαι μὲν
ὑπό τινος τῶν αὐτοῦ φίλων διὰ πενίαν αὐτὸς
λαβὼν ἀνεθρέψατο. ὀνομάσας δὲ ἕκαστον τῶν
ἐν χερσὶ καὶ γνοὺς ἐπήγαγεν. ὅτι ἐν πᾶσι χρὴ τὸ
περιττὸν ἀφαιρεῖν. ἅπαν τὸ περιττὸν ὡς δυ-
σωπελῶν ἐλαχ· τὴν τρυφὴν καὶ τὴν παρὰ τοῖς
ἐκτὸς δόξαν. ταῦτα γὰρ ταῦτ' ἐστιν ἐν πᾶσι τοῖς
χρωμένοις, ὧν ἕνεκα τὴν χρείαν ὑπερβαίνομεν.
& οὐδὲν ἄλλο. τοσαύτη δὲ ἦν ἡ σπουδὴ τοῖς θείοις
ἀνδράσι πρὸς τὸ τὸ περιττὸν ἅπαν ἀποσκευά-
σασθαι. ὥστε τὸν Διογένην φασὶ σκύφος ξύλινον
ἀεὶ περιφέροντα ἐν τῇ πήρᾳ. ᾧ τὸ ὕδωρ ἀρυόμε-
νος ἔπινεν. ἐπεὶ δὴ ποταμὸν διαβαίνων ἐθε-
άσατό τινα ταῖς χερσὶν ἀρυόμενον καὶ πίνοντα,
ἔρριψε τὸ σκύφος ἐς τὸν ποταμὸν εἰπών. μη-
κέτι δεῖσθαι αὐτοῦ τῶν χειρῶν τὴν χρείαν ποιουσῶν:

## περὶ ἀφροδισίων ὡς δεῖ αἰῶνα μὲν πρὸ γάμου καθαρευτέον:

Πάσης μὲν σωματικῆς ἡδονῆς, ἡ ἀκράτεια τῶν μοι
μὲν λογικὴν ψυχὴν ἀμαυροῦσι· καὶ θαρρεῖν τῇ
θεραπείᾳ ποιεῖ· ὅτι δύναται κρατεῖν τῆς ἀλογίας·
τὰς δὲ ἀλόγους ὀρέξεις ὀρέξεις οὐ στέλλει· κατὰ δύο
τρόπους μαραινομένας τῇ ἀργίᾳ· καὶ συνε
θιζομένας ἢ πείθεσθαι τῷ λόγῳ· ἡ δὲ ἀκράτεια
τῆς ἡδονῆς, τῆς περὶ τὰς μίξεις· ὅσῳ τηλικούτῳ
τῶν ἄλλων ἐστὶ τοσοῦτο χαλεπωτέρα τε ἐστὶ τὴν ψυ
χὴν τιμιωτέρα ἐκκάμνει· ὃ δὲ οὐ μόνον ὁ λόγος ὑπὸ
τῆς ἀληθοῦς διδασκαλίας· καὶ τῶν ἰατρῶν μόνων
παραγγέλλεται· ἀλλὰ καὶ τῶν ἀλόγων ὀρέξεων
αἰσθάνονται· ὥστε μὴ βίαν μόνον χαλινοῦ ἀλλ
ἀλλὰ καὶ εὐηνίως ὑποστέλλεσθαι· δηλοῦν ἐκ τοῦ
καὶ τὴν πείθεσθαι καὶ ὄρεξιν καὶ τὴν περὶ μίξιν·
καίτοι φυσικὰς οὔσας καὶ βιαίους καλῶς συνεθι
ζομένας ἀβιάστως ἠρεμεῖν· οἱ τε γὰρ ταῖς γυμνα
σίαις ἐθισθέντες. οὐκ ἐνοχλοῦνται ὑπὸ τῶν ὀρέξεων.
ἀλλὰ καὶ βαροῦνται παρὰ τὸ τῆς γυμνασίας ἔθος ἐλθόν.
ἡ τε περὶ τὴν μίξιν ὄρεξις ἐν τοῖς ἀθλητικοῖς
καίτοι σαρκῶν ἐμπιπλαμένοις καὶ ἀφθονίᾳ
ὅμως ἠρεμεῖ συνεθισθεῖσα διὰ τὸν ἐν Ὀλυμπίοις
στέφανον ὃ ἀπὸ θαλλοῦ ἐλαίας· τοῦ δὲ ἔθους κατὰ
μόνου τὴν πρὸς ἀδελφὴν ἢ ἀδελφὸν μίξιν ἀπο
κωλύσαντος· ἴσμεν ὅπως ὡς ἀπ᾽ αὐτῆς τῆς ταχθείσης
τῆς φύσεως, οὕτως ἀκίνητοι παντελῶς εἰσὶν
αἱ ὀρέξεις· ἐμοὶ μὲν οὖν ἡ Πλάτωνος τις μανία ἐμέ
σκήψει· τὸ δὲ προσδαίμον καθαρεύειν ψυχὴν ἐστὶ μὲν
ἄλλως ἐστὶ καὶ δίκαιον ἵνα τὴν τῆς παρθενί
πίστιν ὁ ἀνὴρ παρὰ τῆς γυναικὸς ἀπαιτεῖ·
ἣν ἡ γυνὴ παρ᾽ αὐτοῦ ἀνδρὸς ἀντιλαμβάνει.

ἴσα δὲ ἂν γάμον φησὶ προγαμίου, ὧν γυναικὸς μόνου ἐστὶ
μεγάλη πλέον· τὸ γὰρ παρὰ νόμον, πάντως μὲν
καὶ ἀσεβές ἐστιν· ὁ γὰρ ἂν μάτην ὁ νόμος αὐτὸ περι-
έγραψεν· ἔστι δὲ καὶ πολλῆς ἀκρατείας τεκμήριον·
πρὸς δὲ τούτοις συνεθίζει καὶ αὐτὸν καὶ τοὺς μεμυη-
μένους αὐτῷ, καὶ τῶν ἄλλων καταφρονεῖν νόμων.
ἀπεχόμενος δέ φησι τῶν τοιούτων, μὴ γίνου
ἐπαχθὴς τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ
πολλαχοῦ, ὅτι αὐτὸς οὐ χρῇ παράφερε· καὶ γὰρ
τοῖς ἀκούουσι, οἱ κροιάσιν οἱ τοιοῦτοι ἔλεγχοι
ὀνειδισμοί· ὅτι οὐδὲ τοῖς διδασκαλικοῖς ἐλέγχ-
οις ὁμαλῶς φέρομεν. αἴτιον δὲ τῆς δυσφορίας οἶμαι,
τὸ ἕως ἂν ἐλεγχθῶμεν οἴεσθαι λανθάνειν· καὶ δι'
αὐτὸ τοῦτο μηδὲ ἡμαρτηκέναι δοκεῖν· καὶ τούτου δὲ
αἴτιον, τὸ τῇ δόξῃ τῶν ἐκτὸς κεχρῆσθαι πρὸς τὴν
ἑαυτῶν κρίσιν· ἀλλὰ μὴ τῇ μὲν αὐτοῖς καὶ τοῖς κρι-
τίοσι· ταυτὸ δὲ ἐπεὶ τῇ ἀληθείᾳ· ἐὰν δὲ ὁ ἐλέγχ-
ων μὴ μόνον ἂν ἀπαλύπτῃ τὸ ἐμὸν ἁμάρτημα· ἀλλὰ
καὶ ἑαυτὸν ἀναμάρτητον λέγων, ὥσπερ ἐν ἀγῶνι
νικηφόρον ἑαυτὸν καθ' ἡμῶν ἀνακηρύττει, τὸ τῆς
καὶ κατὰ σύγκρισιν ἡττᾶσθαι δοκοῦντες ἐπιβαρύ-
νεσθαι· προστίθεται τι τῷ βάρει τοῦ, ἑαυτὸν
ἐπαινεῖν τὸν λέγοντα· βαρύτερον γὰρ τοῦτο, διὰ
τό, τὸν ἀνταγωνιστὴν κριτὴν γίνεσθαι· καὶ αὐτὸν
δὲ τὸν ἐλέγχοντα καὶ τὴν αὐτοῦ σύγκρισιν παρα-
φέρων βλάπτει ὁ τοιοῦτος ἐλέγχος δόξαν τὴν ὢν
αὐτοῦ τὴν ἀξίαν· καὶ μὴ τὸ ἀπέχεσθαι τῶν τοιούτων,
μήτε ἐλέγχειν διὰ τὸ ἀγαθὸν ποιῶν· ἀλλ' ἵνα αὐτὸς
ἄλλους ἐλέγχων, αὐτὸς ἔνδοξος ᾖ· οὗτος δὲ ἐλέγχει μὲν ἠθῶν
περιφανούμενος, βαρύτερον ποιεῖ τὸν ἔλεγχον

μετὰ τοῦ ῥᾳδίως αὐτὸν τὴν τοῦ ἁμαρτήματος ἀπο-
παρασκευάζειν τὴν σύγκεισιν· διὸ μὴ λόγον γὰρ ἐ-
ἀλλὰ γνῶθι καὶ μὴ φιλόσοφος. καὶ εὐθὺς συγγνώμην
ἑαυτῷ μέμψιν :· ἐάν τις ἐπιπλήξῃ σοι ὅτι
ὠργίσθης καὶ διελέγχῃ, μὴ ἀπολογοῦ πρὸς τὰ
λεχθέντα:

οὕτω πρὸς τὸν θυμὸν ἔοικε τοῖς ὑγιῶς· καὶ γὰρ ὁ θυμός,
ἐπὶ ταῖς τοιαύταις ἀπολογίαις κινεῖται· καὶ τὸ
φιλότιμον καὶ κενόδοξον αἴτια ἐστι· ἅπερ καὶ
αὐτὰ τοῦ θυμοῦ κινήματά ἐστι· διὰ τί δὲ παραινεῖ
μὴ ἀπολογεῖσθαι· διὰ τί δὲ καὶ ἄλλοις κακοῖς ἐπα-
βίων αὐτὸν λέγειν· μήποτε γὰρ καὶ ἀμέτρως ἡ
μετριότης αὕτη δόξῃ. ἢ σωφρονοῦσα καὶ ταύτης
προκειμένων σκοπός ἐστι· βουλομένων τὴν ψυχὴν
ἀπὸ τῶν ἐκτὸς ἀναχωρίζειν· καὶ εἰς ἑαυτὴν ἐπι-
στρέφειν· ὥστε ἑαυτοῖς ᾖ, καὶ μὴ τοῖς ἐκτός· ὁ γὰρ
ἀπολογούμενος. καὶ μὴ τῷ ἑαυτοῦ συνειδότι ἀρκού-
μενος καὶ τῇ κρίσει τοῦ πάντα εἰδότος θεοῦ, δῆλος
ἐστιν ἀρέσκειν ἄλλοις βουλόμενος· διὸ ἐὰν ἐκείνοις
συναποδείξῃ λέγων πειστικῶς, ὅτι οὐχ ἥμαρτεν, ἀναπεί-
θεται ὡς μὴ ἁμαρτάνων ἀρκούμενος ἴσως
πεῖσαι τοὺς κριτὰς ἑαυτῷ προσβάλλεται· ἐὰν δὲ
τῶν δοξῶν καταφρονῶν ἑαυτοῦ κριτὴς ἀδέκαστος
γένηται ἐξελέγχεται τὸ ἁμάρτημα. διὰ τῆς
αὐτοῦ τοῦ ποιήσαντος μαρτυρίας· τὸ δὲ καὶ κατηγορεῖν
ἑαυτοῦ. ὡς καὶ ἄλλα ἔχοντος κακά· τὰς ῥίζας
αὐτὰς ἐκκόπτει τῆς φιλοδοξίας· δημοῦ γὰρ τὸ
πάθος καὶ προστιθέμενον τῇ ψυχῇ καὶ ἐρριζωμένον·
ὥστε ἑαυτὸν περιτρεπόμενον· καὶ γὰρ δοκοῦμεν
μὴ φιλοδοξεῖν διὰ τοῦ φιλοδοξεῖν

ς λανθάνει πάθος ὂν αἰσχρὸν τῇ ψυχῇ· τὸ δοκεῖν
πολλάκις ἐπ᾽ ἀγαθοῖς ἐθέλειν φιλοδοξεῖν οὐ καὶ μόνον
ὅσων τῶν ἡμετέρων τιμωμένων τὸ ἀγαθόν· καὶ οὐ συγχωρ-
ἀγαθὸν αὐτὸ εἶναι· οὐδὲ προηγουμένως ἐφετόν· ἀπὸ
μὴ δι᾽ ἑαυτὸ αἱρούμεθα αὐτό· ἀλλὰ διὰ τὴν ἑπομένην
δόξαν· γίνεται γὰρ σκοπὸς μὲν καὶ τοῦ ἀγαθοῦ ἡ μὲν
ἡ δόξα· πρὸς ταύτην δὲ ἀναγκαίως παραλαμβα-
νομένη τυχὸν ἡ δικαιοσύνη, ἵνα διὰ ταύτην εὐδοξῶμεν.
δοκεῖ δὲ τοῖς μὲν ἔχουσιν ἄλλα πάθη χρήσιμον·
πολλῶν γὰρ καὶ σφοδρῶν παθῶν κρατοῦμεν διὰ
φιλοδοξίαν· καίτοι ἐπιπονώτερα δι᾽ αὐτὴν αἱρού-
μεθα πολλάκις· ὥσπερ καὶ τῶν σφοδρῶν κολάσεων
δοκεῖν ἐστὶ μετριώτερον· διὸ καὶ ἔσχατος λέγεται
τῶν παθῶν χιτὼν ἡ φιλοδοξία· διότι τῶν ἄλλων
πολλάκις δι᾽ αὐτὴν ἀποδυομένων, αὕτη προσίσχε-
μᾶλλον τῇ ψυχῇ· καταλήθεται δέ, οὔτε κἂν μόνων
ἀπαλλάττεται τῶν παθῶν ἡ φιλοδοξία· ἀλλὰ τὰς
δὲ ἐμφανεῖς αὐτῶν ἐνεργείας ἐπέχει μόνον· οἱ γὰρ
δι᾽ αὐτὴν μὴ πορευόμενοι τῷ ἔργῳ· ταῖς φαντασίαις
ἀσχημονοῦντες ὑπαίονται· ὥστε τὸ σύμπαν μὲν μὴ
τἄλλα πάθη παύειν αὐτήν, καὶ αὐτὴν ἐπιτείνεσθαι
χαλεπώτερον, διὰ τὴν τῆς ἐνεργείας τῶν ἄλλων
παθῶν ἐποχήν· ἔοικεν οὖν γεωμένων τι χρή-
σιμος γίνεσθαι κατ᾽ ἀρχὰς πρὸς χαλινὸν γὰρ
τῶν τῆς νεότητος παθῶν· εἰ δὲ καὶ προκόπτοντι
τὴν ἡλικίαν ἐμμένοι, μέγας ὄλεθρος· οὕτω γὰρ
εἰ αὐτὴν τὴν ψυχὴν εἰς ἑαυτὴν ἐπιστρέφεσθαι· καὶ
νεύειν πρὸς τὰς ἐκτὸς δόξας· οὔτε ἀγαθὸν οὐδὲ
προηγουμένως αἱρεῖσθαι ποτέ· ἀλλὰ διὰ τὴν
ἑπομένην εὐδοξίαν· τοῦτον δὲ ἀπαρνησάμενον μηδέποτε

ἀγαθοῦ ὡς ἀγαθοῦ αἱρεῖσθαι. οἷον δὴ καὶ ἄλλο τοῖς τοι-
ούτοις ἤθεσι συμβαίνει γελοιότατον ἄξιον. διὰ τί μᾶλλον
γὰρ ὡς ἐπίτοπον καὶ περιπίπτοντες εἰς πολλοὺς ἀνθρώπους.
μηδ᾽ ὅλως ἀξίους λόγου ἡγούμενοι ὅμως ὡς μεγά-
λου τινὸς ἀπὸ τῆς δόξης αὐτῶν ἀντέχεσθαι ὡς
ἀπὸ τείχους. τοιαύτην οὖν οὖσαν τὴν φιλοδοξίαν οὐδὲν
ἄλλο δύναται οὕτως ἐκκόπτειν, ὡς ἡ μετριότης τοῦ
ἤθους. καὶ τὸ δὲ ἀγορεύειν τὰ ἑαυτῶν κακά. παρ-
εσχηκέναι δὲ χρὴ μὴ καὶ τοῦτο καινοδόξως ποιήσωμεν.
ἐπεὶ ἐὰν γνήσιος γίνηται. οὔτε τὸ ἐλπίζειν ἐστὶ
εὐδοξίαν ἀπολείπουσαν ἔσται. καὶ ἀπὸ ... 
τιθέναι τὸ μὴ δεῖν εἰ τῶν ἄλλων ἀγώνων γνωσθείμεν
γίνεσθαι τὰ ἡμέτερα πλεονεκτήματα. τὰ δὲ ἐλαττώ-
ματα, πᾶσι γνωσθήσεται ... ἡ φιλοδοξία. καὶ τὸ
διὰ εὐδοξίαν ποιεῖν ἃ ποιοῦμεν, μὴ κατά τι ἐλπίζον-
των αὐτήν :· **εἰς τὰ θέατρα τὸ πολὺ παριέναι
οὐκ ἀναγκαῖον :**

Οὐ μόνον τροφῶν καὶ μίξεων ἄλλο τοιούτων εἰσὶν ἐπιθυ- μετ
μίαι. ἀλλὰ καὶ θεαμάτων καὶ ἀκουσμάτων. πῶς
οὖν ἔχειν χρὴ πρὸς ταῦτα, διδάσκει λέγων. εἰς τὰ
θέατρα συνεχῶς παριέναι. θεατρικοῦ γὰρ οὗτος
ἐστί. τῶν τοῖς θεάτροις ἐσχολακότων. εἰ δέ ποτε καιρὸς
εἴη ἢ κατὰ νόμον ἑορτῆς καὶ τούτοις ἀγῶσι τιμω-
μένοις. ἢ διὰ τὴν πρὸς τοὺς πολλοὺς συμπεριφοράν.
βαρεῖς γὰρ φαίνονται αὐτοῖς οἱ τὴν συνήθειαν
ὑπερεκπεπληγμένοι ... ἢ διά τινα ἀπέραντον
... μασίαν. πῶς μὲν φεύγειν ἀρχόμενοι πρὸς τὰ
τοιαῦτα. πῶς δὲ ἐν τῷ παρόντι. ἢ διὰ ἄλλην τινὰ
χρείαν ἀνάλογον ἔχουσαν καιρὸς γένηται παραλαβεῖν εἰς τὸ
θέατρον ἐντετάσθαι δεῖ καὶ τὸ ... τὴν προσοχὴν

τὴν μὴ ...

ὥστε ἐμὲ αὐτοῖς εἶναι· καὶ μὴ τοῖς ἐκεῖ γιγνομένοις ἐκδεδέσθαι· ἀλλὰ τὸν νικῶντα θέλειν νικᾶν· καὶ τὰ γιγνόμενα ὡς γιγνόμενα ὡς γίγνεται· τουτέστι μήτε ὄρεξιν μήτε ἔκκλισιν ἐπὶ ταῦτα φέρειν· ὥστε τῶν ἐκτὸς τὰ ἔξω τὰ ὄντα· ὥστε καὶ τὸ κατάστημα μὴ σεμνὸν μὲν οὕτως ὡς βαρὺ τοῖς παροῦσι φαίνεσθαι· ἀθρόον δὲ μετά τινος εὐχαρείας· ὡς μήτε ἐπὶ βοῶν ἢ συμμίγνυσθαι ἐπὶ τοῖς νικῶσι· μήτε γέλωτι ἐκκεχυμένως ἐπὶ τοῖς γελοίως λεγομένοις· ἀλλὰ τοὺς μὲν κρείττονας ἐπαινεῖν· τοὺς δὲ τὸ μὴ δίκαιον μὴ ἀποδέχεσθαι· καὶ μετὰ τὸ ἀπαλλαγῆναι ἀφικόμενον τῆς θέας μὴ πολλὰ περὶ τῶν γεγενημένων διαλέγεσθαι· τῶν μὴ διαφερόντων πρὸς τὴν σὴν ἐπανόρθωσιν· ὡς αὐτῶν τῶν εἰρημένων τῶν λόγων· ὁ γὰρ παιδευτικὸς τὰ γιγνόμενα εἶναι καὶ λόγον ἄν τι πλέον ὡς ἄξιος ἦ. ἢ ὅσῳ οὕτως ἀκουστέον τοῦ ὅσα μὴ φέρει πρὸς τὴν αὐτοῦ ἐπανόρθωσιν· ὡς ἐπὶ πάντων εἰρημένων τῶν λόγων. οὓς περὶ τῶν ἐν τῇ θέᾳ γεγενημένων ποιούμεθα· ἢ διὰ τὸ ὅσα προσῆκε μόνον τι μέρος τῶν λεγομένων ἀποτέμνεται· τάχα δὲ καὶ συμβουλεύων γενικὸν μόνον λέγειν· ὅσα φέρει τι πρὸς τὴν ἡμετέραν ἐπανόρθωσιν· ἢ καὶ ἄλλα τοιαῦτα, τὰ διελέγχοντα ἡμᾶς [illegible] μὴ καλῶς διακειμένους πρὸς τὴν [illegible] κίνησιν.

Τὸ δὲ περὶ πάντα περὶ τῶν ἐν τῇ θέᾳ γεγενημένων διαλέγεσθαι τεκμήριόν ἐστιν ἐνεργείας τοῦ μή τι γενομένου καὶ ἀξιάγαστον τὴν θέαν ὅπερ ἂν ἰδιώ- μασι τοῖς συμπαθέσι. ἐκεῖ ἂν γένοιτο:

Εἰς ἀκροάσεις τινῶν μὴ εἰκῇ μηδὲ ῥᾳδίως πάρειθι:

μζ Μετὰ τὰς θέας περὶ τῶν ἀκροάσεων λέγει· οἱ περὶ

λόγοις ἔχοντες ῥητορικοῖς τε καὶ ποιητικοῖς,
ἧς ἐπὶ λέξιν τῆς ἑαυτῶν εὐγλωττίας ποιοῦνται·
ποτὲ μὲν ἐγκωμιάζοντές τινας τῶν ἐν δυνάμει·
ποτὲ δὲ περὶ πολέμων λέγοντες· ἢ τόπους τινὰς
φράζοντες· ἢ δικανικὰ μελετῶντες τῶν προβλημάτων
ἤ τι τοιοῦτον· χρὴ οὖν φησὶ μήτε ἐς ταύτας ἐπι-
δεικτικὰς οὔσας καὶ πρὸς τὸ ἐκτὸς βλεπούσας
ῥαδίως παριέναι καὶ ἄνευ τινὸς λόγου τὴν πρόοδον
ἐπιπρέπουσαν· ἢ διὰ φιλίαν τοῦ λέγοντος, ἢ διὰ
ἀξίωμα τοῦ ἐγκωμιαζομένου· ἢ διὰ συμπε-
ριφοράν τινα· πολλὴ γὰρ ἡ ταύτης χρεία· πολλάκις δὲ
διὰ τὸ πρᾶον ἀγροίκους φθονοῦντας. τοῖς τῆς δημώδους
συνηθείας ἀναχωροῦσι· παριὼν δέ φησιν ἐς τὴν
ἀκρόασιν· τὸ σεμνὸν καὶ ἀπαθὲς καὶ ἅμα τὸ ἀνε-
παχθὲς φύλασσε· τὸ σεμνὸν ἐν τῷ κατὰ καιροὺς
ἐπαινεῖν καὶ συμμέτρως· τὸ εὐπαθὲς ἐν τῷ μὴ
κινεῖσθαι ἀτάκτως· μήτε ἐπιβοῶν, μήτε παρα-
φθέγγεσθαί τι παρὰ τὸν καιρόν· ἀλλ' εὐκόσμως
ταυτότητι· τό τε ἦθος καὶ τὸ σῶμα διαφυλάττειν·
τὸ δὲ ἀνεπαχθὲς ἐν τῷ μήτε σύγγνωμον ποδιτῶς
φαίνεσθαι· ὡς ἄλλο τι πεφροντικότα· μήτε σιωπᾶν
ὑπὲρ τὸ δέον· ἀλλ' ἐπαινεῖν τὰ μετρίως λεγόμενα·
μήτε καὶ ἐγκρίνειν πικρῶς αὐτά· μήτε διαλέγχειν
ὡς οὐκ ἀληθῶς ἢ οὐκ ἐμμέτρως· ἢ οὐκ εὖ φρασ-
θέντα εἴρηται· πάντων δὲ ἀνεπαχθὲς καὶ εὐάρεστον
μετὰ τοῦ δικαίου τὸ συνηδόμενον φαίνεσθαι
τῷ μέλλοντι ἐφ' οἷς καλῶς λέγει· τῷ δὲ ἐγκωμια-
ζομένῳ ἐφ' οἷς ἀληθῶς καὶ δικαίως τιμᾶται :

ὅταν τι [illegible] μάλλῃ συμβάλλ[illegible] τῶν
ἐν ὑπερβολῇ [illegible]

μη̃ Οἱ πρὸς ἑαυτοὺς ἐπιστρεφόμενοι καὶ ἑαυτοῖς βουλόμενοι ζῆν, ἀληθῶς ὡς ἐπίπαν ἀποστῆναι τῆς πρὸς τοὺς ἄλλους ἀντιτάξεως· διὸ παράδειγμα προὔθηκεν αὐτοῖς Σωκράτην καὶ Ζήνωνα, πρὸς οὓς ἀποβλέποντες εὑρήσουσι τὸν τρόπον τὸν ἑαυτοῖς καθήκοντα τῆς ἐντεύξεως. ἐμμονητέον οὖν· πῶς ἄρα Σωκράτης καὶ Ζήνων τοῖς τοιούτοις ἐνετύγχανον· ὅτι ἀνυπλάστως· ἀλλ' ἐπ' αὐτῆς τῆς ἑαυτῶν ζωῆς ἐμφρονέστατα φιλοφροσύνην προέχοντες πάσης ὑπεροψίας καὶ ἀλαζονείας καθαρεύοντες. μήτε ταπεινούμενοι τῷ ὄγκῳ τῆς ἄλλων ἀξίας, μήτε ὑπερηφάνως αὐτῶν καταφρονοῦντες· τοῦ δὲ αὐτῶν ἤθους ἐπιμελοῦντο μήτε κολακεύειν μήτε διελέγχειν ὑβριστικῶς· ἀλλ' ἐπὶ μὲν τοῖς καλῶς γινομένοις συμμαρτυρεῖν ἐπαινεῖν· καὶ ἀπὸ τούτων ἄρχεσθαι τοῦ λόγου, ὥσπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων πολλάκις μέλιτι ἐπαλείφουσι· καὶ πρὸ τοῦ τῶν μὴ καλῶς κηδεμονικὸν ἅμα καὶ συμπαθὲς καὶ συναχθόμενον· ἐὰν αἱ καλαὶ πράξεις τοῖς ὀλίγοις ἐνίοτε παροράμασιν ἐπιθολῶνται· πάντως δὲ οἶμαι τοῖς τοιούτοις ἐπεδείκνυον οἱ περὶ τὸν Σωκράτην καὶ Ζήνωνα· πόσα μὲν ἂν αἱρετὰ ἔχουσιν αὐθάδειαι καὶ ὑπεροχαὶ δοκοῦσαι τῶν ἄλλων· τί δαί, τὸ ἐν αὐταῖς αἱρετόν· τὸ ἀγαθὸν ἐστὶ μόνον· ὥστε τοῖς τούτου καταφρονοῦσι τὰ μὲν κακὰ τοῦ πράγματος καρποῦσθαι, τῶν δὲ ἀγαθῶν ἀποσφάλλεσθαι· δῆλον δὲ ὅτι προτύπωμα μὲν ἑαυτῷ χρὴ προτιθέναι Σωκράτη καὶ Ζήνωνα· τὸ δὲ μέτρον τῆς ἑαυτοῦ φυλάττειν· καὶ τὰ ἐκείνων συμμετρεῖν πρὸς φέρειν αὐτοῦ φύσεως· οἷον γὰρ ἐπὶ ζῴων ἔχονται προκοπτούσης ἔτι καὶ τῆς ἐπικτήτου παιδαγωγίας δεομένην· τοῖς Σωκράτους ἢ Ζήνωνος λόγοις κεχρῆσθαι.

πῶς φρονοῦν κἂν φανῇ καταγέλαστος ὁ τοιοῦτος· καὶ ἀντὶ
γορος ὁ μετὰ τὸν ἀλέξανδρον μετὰ τοὺς βασιλεῖς τῆς συνηθείας
γενόμενος ἀπελέγετο μηδέποτε ἑαυτῷ συνδέχε-
σθαι ἀναγκάσαντί τινα μηδ' ὅτι ζήνωνι συντυγχάνοι· καίτοι
πολλοῖς φιλοσοφοῦσιν ἐνέτυχεν· ἐντεῦθεν δὲ ὁ ἀνί-
κητος τὰς πρὸς τὰς ἐντεύξεις τῶν τοιούτων καθήκοντα παρα-
δίδωσιν· ἀπὸ τοῦ μὴ πρὸς τοὺς δυνάστας καὶ ὑπεροχῇ ἀρχό-
μενος:·

πρὸς τί μα τοῦ μὴ διὼ... μένων ... πρόβαλλε σεαυτῷ:

Τὸ αὐτό πως ἐλέγετο καὶ πρότερον ἐν ἐκείνῳ τῷ κεφαλαίῳ· πτῶ
πρὸ ὅταν ἀπέρχεσθαι τινος ἔργου μέλλῃς ὑπομίμνησκε
σεαυτὸν καὶ τὰ ἑξῆς· ἀλλ' ἐκεῖ μὲν ἐπὶ τοῦ λούσασθαι
προσῆψε τὸν λόγον· ἐνταῦθα δὲ ἐπὶ μείζονος παραδεί-
γματος τῆς πρὸς δυνάστην ἀφίξεως· καὶ ἐκεῖ μὲν εἰς τοῦτο
συνεπλήρωσε τὸν λόγον εἰς τὸ καταφρονῆσαι τῶν συμ-
βαινόντων· καὶ τὴν ἑαυτοῦ προαίρεσιν κατὰ φύσιν
ἔχουσαν διατηρῆσαι· ἐνταῦθα δὲ εἰς τὸ ἀσφαλῶς
προβουλεύσασθαι καὶ μὴ φαύλως. ἀλλ' ἐγγύτατα τῆς
ἀληθείας ὑποτίθεσθαι συμβησόμενα
διὰ χάριν· ἑλόμενοι γὰρ τὴν πρὸς τὸν δυνάστην ἄφιξιν
κἂν ἀκολουθήσωσι τὰ ἐρημίαν συμβαίνοντα αὐτῶν·
μεταμελόμεθα πολλάκις καὶ λέγομεν· μὴ ἦν ἀνάξι-
ον τυχεῖν τῶν συμβεβηκότων· ἢ διὰ τὸ ἐξ ἀρχῆς
μὴ καλῶς ἑλέσθαι· ἢ διὰ τὸ πλέον τοῦ δέοντος
ὑπὸ τῶν γινομένων ταραχθῆναι· ἰδιωτικὸν δὲ
ἑκάτερον. καὶ οὐ καλῶς χρωμένου τοῖς ἐκτός· οὐ γὰρ
ὡς ἔχει φύσεως. ἀλλὰ μετὰ αὐτοῦ γονεῖζον· προφητ...
πρὶ τῆς ἐντεύξεως τῶν ἐν ὑπεροχῇ μὲν ἀκολουθο-
τέρου δὲ ἐντυγχανόντων ὅπως αὐτοῖς προσφέρεσθαι
χρή· ὅτι κατὰ τὸν σωκράτη τινὰ καὶ ζήνωνα φρονοῦντα που,

γνῶ περὶ τῶν τραχύτερον ὑπὲρ αὐτῶν εἰπεῖν προστί-
θεται· ὅπως ἔχῃ καὶ πρὸς τὴν τούτων ἔντευξιν
παρασκευάζεσθαι· ὁ δ' ἐμὴν μὴ ἀμφήκη τις ἐκεῖθεν πορ-
τητέον· ἃ δὲ ἀμφήκη καὶ λόξα, μετὰ τῶν ἀναιρετ-
αὐτὴν ἐλέσθαι φέρειν τοὺς προσπίπτοντας μὴ μεταμελο-
μένου:· ἐν ταῖς ὁμιλίαις δεῖ φεύγειν τὸ αὐτόν
τινα τῶν ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέ-
τρως μεμνῆσθαι:

Ν̃ Μετὰ τὴν ἔντευξιν τὴν πρὸς τοὺς ἐν ὑπεροχῇ περὶ
τῆς πρὸς τοὺς πολλοὺς λέγει· πῶς ἔχειν καὶ ταύτην ποι-
εῖσθαι· ἂν μὲν ἐπαχθῆ τις ἑαυτὸν τοῖς ἐντυγχάνουσι·
ἢ δὲ καταφρονῇ τὸν παρερχόμενον· καὶ μέντοι καὶ
ὠφέλιμον ἂν εἴη δεικνύναι μὴν αὐτοῖς· τὸ μὲν γὰρ μεμνῆσθαι
τῶν ἑαυτοῦ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως·
ἅμα μὲν τὸ ἐκ τούτου ἐπαχθὲς ἀφαιρεῖται· βαροῦνται
γὰρ οἱ ἄνθρωποι τοῖς ἑαυτοὺς ἐπαινοῦσιν ὡς αὐτοὶ δι' αὐτῆς
τῆς αὐτῶν κατηγορούμενοι καὶ ὀνειδιζόμενοι κατὰ σύ-
γκρισιν· ἅμα δὲ τὸ ὀξὺ βλέπον καὶ φιλόδοξον
τῆς ψυχῆς συστέλλει· καὶ μεγαλοφροσύνην ἐνδείκνυται·
πρότερον δὲ εἰπὼν μηδένα αὐτὸν ἐπὶ πολλοῖς γλωσσαλγεῖν·
μὴ δὲ πολὺ γλώσσῃ τε μὴ δὲ ἀμείνονα εἶναι· νῦν λέγει
μὴ δὲ τοῖς ἄλλοις δεῖν γλῶσσαν κινεῖν· καὶ τὴν αἰτίαν
ἐπήγαγεν εἰπών· ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμόν·
τὸ γὰρ τοιαῦτα λέγειν ὡς γλῶσσαν κινεῖν τοῖς ἰδιώταις,
σημαίνειν ὑφ' ὧν τοὺς ὁρᾶσθαι ἐν ἐκείνοις· καὶ τῆς ἰδιω-
τικῆς ὀξέως οἰκεῖα· ὁμοίως οὖν ἢ καὶ μᾶλλον αὐτῶν
ἰδιώτην νομίζουσι τὸν γλῶσσαν κινοῦντα· ὥστε
ἐὰν τύχωσιν αἰδούμενοι, πρότερον αὐτόν, ἱκανὸν ἐλ-
τοῦτο χαλάσαι τὴν πρὸς αὐτὸν τῶν πλησιαζόντων αἰδῶ·
τινὲς δὲ καὶ τῶν δοκούντων ἐμφρόνων, γλωσσοποιοῦσι

βουλόμενοι χρεῖ εὐφραίνεσθαι· αἰσχρολογεῖν δὲ ὁ μὴ
αὐτὸς οὐκ ἀνέχεται· ὁ καὶ ποιεῖς περὶ κακοφαγίαν δὴ
πρὸ ἄλλων· ἀλλ' οὐ δεῖ τὸν ἄλλον ἀνέχεσθαι καὶ τὸ
αὐτὸ τοῦ      συμβουλεύειν· ἀλλ' εἰ μὲν εὔκαι-
ρόν τουτέστιν· εἰ μὲν νέος ἢ ὁ προαχθεὶς εἰς τοῦτο· καὶ μὴ
ἀναιδής· μηδὲ ὑπὸ πρώτου ἢ ἀξιώματος κεχωρισμένος·
ἐπίπληξον φησί· οὔτε γὰρ αὐτοῖς τοῖς αἰσχρολογοῦσι τι.
οὔτ' αὐτὸς τοῖς παροῦσι φανήσῃ φορτικός· εἰ δ' ἔτυχε
πρεσβυτικώτερος καὶ σοβαρὸς τὸ ἦθος· καὶ προυχέ-
περμένος ἢ ἀξιώματι· τὸ μὲν ἐπιπλῆξαι βαρύ· πρό-
δε τῇ ἀπραγίᾳ καὶ ἀπεχθὲς καὶ ἐχθροποιὸν καὶ κατα-
γέλαστος ἢ παρρησίας δόξῃ· τὸ σιωπῆσαι ἢ τότε ποιεῖν
τῷ σιωπῆσαι δῆλος γίνου δυσχεραίνων· καὶ ὁρῶ ὅτι
τὸ πρόσωπον ἐφύλαξε τῇ διαφορᾷ μέτρον· ἀπὸ μέ-
τῶν περὶ μονομαχιῶν ἢ ἱπποδρομιῶν ἢ ὕβρεων ἢ
ὑπομνημάτων ποιουμένων τοὺς λόγους· ἢ περὶ τῶν ἐ-
γκωμίων ἢ λεγόντων· ἐὰν οἷός τε ᾖς φησὶ μετάγε
τοὺς λόγους· ἂν τούτων δὲ ἐὰν εὔκαιρον ᾖ καὶ ἐπιπλῆξαι
κελεύει· καὶ ἐκεῖ μὲν εἰ μὴ δύναιτο μεταγαγεῖν, σιώπα
δή· καὶ δῆλος γίνου δυσχεραίνων: • ὅταν ἡδονῆς
τινος φαντασίαν λάβῃς καθάπερ ἐπὶ τῶν ἄλλων· φυλάττε σεαυτόν,
μὴ συναρπασθῇς ὑπ' αὐτῆς:

Ἡ σωματικὴ ἡδονή, βλαβερωτάτη ἐστὶ τῇ ψυχῇ· ἑκάστη
γὰρ ὥσπερ ἧλος προσηλοῖ τὴν ψυχήν· καὶ διὰ τοῦτο να
ὁ θεὸς ὀλιγοχρόνιον αὐτὴν ἐποίησε· καὶ γὰρ ἐπὶ βρωμ-
άτων ἕως τότε ἐστὶν ἡ ἡδονή, ἕως ἂν ἐν τῷ
στόματι αὐτῶν αἰσθανόμεθα· καταποθέντων δὲ οἴχεται
εὐθέως· καὶ ἐπὶ τῆς μίξεως κατ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν
μόνον τῆς ἐνεργείας ἡ τῆς ἡδονῆς αἴσθησις γίνεται·
παρελθούσης δὲ ἡ συναίσθησις ὡς μηδὲ γέγονεν·

ἔπειτα καὶ δῆλον δὲ ὅτι ἐν τῷ αἰσθάνεσθαι ἅμα ἡ ἡδονή
ἐστί· τὸ γὰρ μὴ αἰσθανόμενον οὐδὲ ἥδεται ὅλως·
ἀλλὰ καὶ αἱ περὶ τὰ ἐκτὸς ἡδοναί· οἷον περὶ ἐσθῆτα
ἢ κόσμον· ἢ χρήματα ἢ κτήματα· καὶ οὗτοι ὀλιγο-
χρόνιοί εἰσιν· ἡσθεὶς γὰρ ἐπὶ τῇ κτήσει τούτων
μετὰ τὸ συνεθισθῆναι αὐτοῖς, οὐκέτι ἡδονῆς ἐστιν
αὐτοῖς αἰσθανόμεθα· ἀφαιρουμένων δὲ αὐτῶν,
λύπη καὶ φορὰ διαδέχεται πολὺ μονιμωτέρα
τῆς ἡδονῆς· οὕτω μὲν ἡ ἡδονὴ ἐλάχιστον ἐπιμέ-
νουσα χρόνον· καὶ μάλιστα ἡ σωματική ἀπὸ σὺν τῷ
βλάβην τὴν ἑαυτῆς· τῇ μὲν ψυχῇ πάντως τινὰ ῥύπον
καταλείπουσα· πολλάκις δὲ καὶ τῷ σώματι, ὅτε
ἀσύμμετρος ἢ ἀπόλυτος γένηται· ἡ δὲ τῆς ἡδονῆς
ἐγκράτεια, μόνιμον ὠφέλειαν ποιεῖ τῷ σώματι
τε τῇ ψυχῇ· καὶ ἡδονῆς ἀλλότριος τὸ κατὰ φύ-
σιν ὑπάρχον, ἀβλαβές τε καὶ ἀπλήκτον· τούτων
οὖν οὕτω προειλημμένων ἴδωμεν τί φησιν ὁ Ἐπί-
κτητος· ὅταν φῇ ἡδονῆς τινος φαντασίαν λάβῃς·
ὥσπερ ἐπὶ τῶν ἄλλων· οἷον πλούτου ἢ δυναστείας·
ἢ τῶν ἄλλων τινῶν τῶν ἐκτός, οὕτω ἔτι μᾶλλον
ἐπὶ τῆς ἡδονῆς φύλαττε αὐτὸν εὐθύς· μὴ συναρ-
πάσῃ σε ἐπὶ τὸ ἔργον ἡ φαντασία· ἀλλὰ τοῦτο
μὲν περιμεινάτω ὀλίγον· σὺ δ' ἀναβολήν τινα
ἐξ αὐτοῦ ποιήσας διὰ αὐτῆς τοιαύτης συμφορῆς·
ἐννόησον τοὺς χρόνους· τούς τε τῆς ἀπολαύσεως
ἐξ ἀρχῆς ὄντας· καὶ τοὺς ἐφεξῆς πολλῶν βλάβης
ὄντας καὶ μεταμελήσεως μεστούς· ἐν ᾧ ἑαυτῷ ἐγκαλέσεις
ἡττηθέντι· καὶ τούτοις ἀντίθες τὸν καιρόν.
καθ' ὃν ἐγκρατευσάμενος ὠφελήσῃ
ἡδονῇ καθαρᾷ ἐπὶ πολὺν χρόνον σεαυτὸν ἐ-
παινῶν

καὶ ἀποδεχόμενος. ἐὰν γὰρ ταύτην ἀποκαθάρῃς τῶν σημείων, ῥᾳδίως ἠρεμήσει ἡ ὄρεξις. ἀρχόμενον τὴν ἐνέργειαν τῆς ἡδονῆς. κἂν αὖθις τοῦτο καὶ αὖθις ποιῇς. οὐκέτι ἐνοχλήσει ταπεινουμένη. ἀποπαύεται ἡ ἡδονὴ εὐθέως μετὰ τὸ ἔργον. καὶ γὰρ διαφέρει τότε ὁ ἀπολαύσας τοῦ μὴ ἀπολαύσαντος. πλὴν τῇ φαντασίᾳ τοῦ ἀπολελαυκέναι. τί κωλύει δι' αὐτῆς θεᾶσθαι οὕτως ὡς ἤδη ἀπολελαυκότα. καὶ τὴν μὲν ἡδονὴν καρπωσάμενον. τῆς δὲ βλάβης μὴ μεταλαχόντα. ὅτι γὰρ ἡ φαντασία τοῦ ἀπολελαυκέναι οὐδὲ ἐλάττονα λόγου ἀξίαν ἡδονήν, δηλοῖ ἡ μνήμη τῶν ἐν ὀνείροις ἀπολαύσεων ἀμυδρὸν ἴχνος ἡδονῆς ἔχουσα. ἐπεὶ δὴ δὲ ἐστὶν ὅταν τινῶν ἡδονῶν καὶ κατὰ λόγον ὀρθὸν μεταλαμβάνομεν. οἷον διὰ παιδοποιίαν. ἢ λουτροῦ μετὰ πυρετὸν ὅταν φησὶ καιρὸς φανῇ, ἅπτεσθαι τοῦ τοιούτου ἔργου, πρόσεχε μή σε ἡττήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγόν. ὥστε σεαυτὸν ἐκδόντα ὅλον ἐκδοθῆναι τῇ ἡδονῇ. ἀλλά γε καὶ γνῶ τῷ καιρῷ σημεῖον γε πόσῳ κάλλιόν ἐστι τὸ κρατῆσαι τῆς ἡδονῆς, τοῦ ἡττηθῆναι αὐτῆς. δῆλον γὰρ ὅτι τοσούτῳ ὅσῳ κάλλιον τὸ δεσπόζειν τῶν ἀλόγων παθῶν τοῦ δουλεύειν αὐτοῖς. καὶ ἄνθρωπον εἶναι μᾶλλον ἢ θηρίον:

Ὅταν διαγνοὺς ὅτι ποιητέον ἐστί σοι καὶ ποιῇς, μηδέποτε φύγῃς πραττόμενος αὐτὸ ὀφθῆναι. κἂν ἀλλοῖόν τι οἱ πολλοὶ περὶ αὐτοῦ μέλλωσιν ὑπολαμβάνειν:

Πολλὴν σπουδὴν ποιεῖται τοῦ τὸ ἀγαθὸν δι' αὐτὸ προαιρεῖσθαι. ἵνα καὶ ὄντως ἀγαθὸν ᾖ καὶ μὴ διὰ τὴν τῶν πολλῶν δόξαν. ὁ γὰρ διὰ ταύτην αἱρούμενός τι. ταύτην εἶναι τίθεται τὸ ἀγαθόν. ἀλλ᾽ οὖν καλῶς. νβ
διὸ εἰ μὲν ὀρθῶς διέγνωκεν. ὅτι δέον ἐστὶ τόδε τι μὴ ποιῆσαι.

φαύλη γὰρ αὕτη τῶν πράξεων οὐκ ἀγαθῶν οὐσῶν· ἡ δὲ ὀρθότης
διαγνώσεως ποιεῖ, οὐχ ἡ φευκτὴν τὸ ἀφθῆναι ποιοῦσα·
διὰ τοῦτο οὐκ ὀρθῶς μεμφόμενος τὸ γινόμενον
ἐπισυμβαίνειν τῷ ὄντος ἀγαθοῦ· τοῦτο
γάρ ἐστι τὸ ὀρθῶς γινώσκομεν τὸ ἀγαθόν· περὶ μὲν
τὸ μὴ ἀγαθὸν ἀλλὰ κακὸν ὡς ψεῦδος· τοιαύτη γάρ ἐστιν
ἡ τῶν πολλῶν μὴ ὀρθὴ περὶ τοῦ πραττομένου ὑπό-
ληψις· πρὸς δὲ τούτῳ συμβαίνει τὸ τῷ ὀρθῷ λόγῳ
κεῖσθαι ἀγαθὸν κακὸν ἡγεῖσθαι ἀφ᾽ ἑαυτοῦ αὐτό· τὸ γὰρ φαῦ-
λον κακόν· καὶ ἔτι μέντοι συμβαίνει τῷ τοιούτῳ
ἀφέσθαι καὶ ἀπὸ τοῦ ὑπερασμοῦ ἀφίστασθαι· ὥστε
τῶν πολλῶν δόξας ἀποφέρεσθαι· καὶ ἐπὶ τὸ ἀγαθὸν·
ἐπὶ τὸ κακὸν ζητεῖν καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδες· ὡς τὸ
ἤτοι ἡμέρα ἢ νύξ ἐστι· πρὸς μὲν τὸ διεζευγμένον,
μεγάλην ἀξίαν ἔχει· πρὸς δὲ τὸ συμπεπλεγμένον
ἀπαξίαν τῶν ὑποθετικῶν συλλογισμῶν· ὧν οἱ
στωϊκοὶ τὴν τεχνολογίαν ἐλεπτούργησαν· οἱ μὲν γάρ εἰσι
διεζευγμένοι, οἱ δὲ συνημμένοι· ἤτοι συμπεπλεγ-
μένοι· διεζευγμένοι μὲν ἐν οἷς τοῦ ἑτέρου ὄντος τὸ ἕ-
τερον πάντως οὐκ ἔστι· ἢ τοῦ ἑτέρου μὴ ὄντος πάντως
τὸ ἕτερον ἐστίν· ὡς ὅταν εἴπω· ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ·
ἀλλὰ μὴν νύξ ἐστιν· ἡμέρα ἄρα οὐκ ἔστιν· οὕτω μὲν
ἑτέρου τιθεμένου ἀναιρεῖται πάντως τὸ ἕτερον· τῇ δὲ
ἀναιρέσει τοῦ ἑτέρου, τίθεται τὸ ἕτερον· ὅταν εἴπω·
ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστι· νὺξ ἄρα ἐστίν· ἢ ἀλλὰ μὴν
νὺξ οὐκ ἔστιν· ἡμέρα ἄρα ἐστί· τοιοῦτον μὲν οὖν τὸ
διεζευγμένον ἐννοῶ τὸ ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν·
ὡς ἀξίωμα· τουτέστιν ὡς ἐνδεχομένως καὶ κατὰ τὰς κοι-
νὰς ἐννοίας ἀληθὲς παραλαμβάνεται· ταῦτα γὰρ ἀξιώ-
ματα ἐκάλουν οἱ στωϊκοί· τὸ δὲ συμπεπλεγμένον ἐστὶν

ὅταν διότι γνῶν συμπεπλεγμένων ἀλλ' ἤτοι οὕτως·
ὥστε τὸ μὲν ἡγούμενον εἶναι· τὸ δὲ ἑπόμενον· τῇ μὲν
θέσει τοῦ ἡγουμένου ἀκολουθεῖ τὸ ἑπόμενον· τῇ δὲ ἀναι-
ρέσει τοῦ ἑπομένου, ἀναιρεῖται τὸ ἡγούμενον· οἷον
συμπέπλεκται ἀληθῶς εἰ ἡμέρα ἐστίν, νὺξ οὐκ ἔστιν·
ἀληθῶς γάρ, τῷ εἰ ἡμέρα ἐστὶν ἡγουμένῳ ἕπεται
τὸ νὺξ οὐκ ἔστιν. ἐπὶ γοῦν τούτου συμπεπλεγμένου·
τῇ μὲν θέσει τοῦ ἡγουμένου τίθεται τὸ ἑπόμενον·
ἀλλὰ μὴν ἡμέρα ἐστί· νὺξ ἄρα οὐκ ἔστι· τῇ δ' ἀναι-
ρέσει, τοῦ ἑπομένου ἀναιρεῖται τὸ ἡγούμενον·
ἀλλὰ μὴν οὐχὶ νὺξ οὐκ ἔστι· ἀλλ' ἔστι δηλονότι· αἱ
δύο ἀναιρέσεις, μίαν ποιοῦσι συγκατάθεσιν· ἡ-
μέρα ἄρα οὐκ ἔστι· τοιοῦτον μὲν οὖν καὶ τὸ συμπε-
πλεγμένον ἤτοι συνημμένον· ἀλλ' [illegible] μὲν λοιπόν,
ὅτι τὸ ὑπὸ τοῦ ἐπικτήτου λεγόμενον· τὸ ἤτοι ἡμέρα ἐστὶν
ἢ νὺξ ἐστίν· ἐπὶ μὲν τοῦ διεζευγμένου συλλογισμοῦ,
ὡς ἀξίωμα ἀναμφίλεκτον παραλαμβάνεται· ἰδί-
α δὲ τοῦ συνημμένου οὐκ ἔστι· τὸ γὰρ ἐκεῖ παραλαμβα-
νόμενον ἀξίωμα τὸ συμπεπλεγμένον ἐστὶ τὸ εἰ ἡμέρα
ἐστί, νὺξ οὐκ ἔστιν· ὥσπερ οὖν φησὶ τὸ ἤτοι ἡμέρα
ἐστὶν ἢ νὺξ ἐστί· πρὸς μὲν τὸ διεζευγμένον, μεγάλην
ἔχει ἀξίαν· ἀπ' αὐτοῦ γὰρ ἤρτηται· πᾶς ὁ διεζευγμένος
συλλογισμός· πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπα-
ξίαν· διασπᾷ γὰρ τὴν συμπλοκὴν τὴν λέγουσαν· εἰ
ἡμέρα ἐστὶ νὺξ οὐκ ἔστιν· οὕτω καὶ ἐν συμποσίῳ
τὴν μείζονα μερίδα ἐκλέγεσθαι· πρὸς μὲν τὸ σῶμα,
χρειώδης ἐστί, καὶ ὠφέλιμον καὶ δι' αἱρετόν· πρὸς
δὲ τὸ φυλάξαι τὸ κοινωνικὸν ἐν ἑστιάσει ἀπαξίαν
ἔχει· διασπᾷ γὰρ καὶ τοῦτο τὴν κοινωνίαν ὥστε τὸ συμ-
πεπλεγμένον ἐκεῖνο· ὅταν οὖν συνεσθίῃς ἑτέροις,
μὴ μέμνησο μόνον τὴν πρὸς τὸ σῶμα τοσοῦτον ὁρᾶν ἀξίαν,

ἐν τοῖς παρακειμένοις καὶ ἐκλέγεσθαι ἀπ' αὐτῶν·
ἀλλὰ καὶ τὴν πρὸς τὸ κοινωνικὸν τῆς ψυχῆς· ὁ χρὴ
φυλάττειν ἀγαπητόν· δῆλον δὲ ὅτι καὶ ἀπὸ
ἐπιστάσεως ἐποιήσατο τὸν λόγον· κοινωνὸς ἐπὶ πάσας
κοινωνίας τίθεσθαι αὐτὸν χρὴ καὶ συναναστροφῆς· τὸ γὰρ
πλεονεκτικὸν πᾶσαν διασπᾷ κοινωνίαν· ὥσπερ
τὸ ἕκαστον τοῦ ἐπιβάλλοντος τυγχάνειν συνέχει καὶ
αὔξεσθαι καὶ διαμένειν ποιεῖ· καὶ γὰρ ἡ τῶν λῃστῶν κοι-
νωνία· καίτοι ἐκ τοιούτων ἀνδρῶν συνεστῶσα ἕως
τότε σώζεται ἕως φυλάττει τοῦτο τὸ παράγγελμα·
τὸ μὴ πλεονεκτεῖν ἀλλήλους· διὰ γὰρ τοῦτο τὰς δια-
καὶ ὁ συνεκτικὸς τὸ ἴσον, καὶ ἡ ἀδικία ἐκλύει, σὺν ἴσῳ ἵσταται.
προτρέψασθαι δὲ πρότερον πολλαχοῦ τὸν ἀκροατὴν
πρὸς ἐλευθερίαν· καὶ ἐν ἄλλοις πρὸς ἀνδρείαν καὶ
μεγαλοψυχίαν καὶ πρὸς φρόνησιν καὶ πρὸς σωφρο-
σύνην ἐν τούτῳ πρὸς δικαιοσύνην αὐτὸν παρακαλεῖ·
τὸ πρὸς αὐτὴν ἐμποδίζον τὴν πλεονεξίαν ἀφαιρεῖν
σπουδαζόμενος :· Ἐὰν ὑπερβάλλῃς αὐτὸν ἐν ἀλλά-
πτει ἀστὸν καὶ ἐν τούτῳ ἀσχημονήσεις καὶ ὁ δι-
δάσκαλος ἐκπληρῶσαι τὰ ἐλλείπεις, ὡς πᾶσι πρέπει·

νγ Τὸ δὲ πάντων ἄριστον ἐπὶ τὰ δεύτερα νοεῖν χρή· ἀλλὰ καὶ
τὸ τῶν ἡμῖν συμμέτρων ἄριστον· οὐδὲν γὰρ ἐν ἀσύμ-
μετροις ὑποδοχαῖς ἐπιγίγνεται· διὸ χρὴ μὴ προπετῶς
τοὺς μείζονας προσώπῳ περιβάλλεσθαι διδασκάλου
ἢ φιλοσόφου· ἢ ἐμπειρίᾳ κυβερνήτου· ἢ ἐν πολεμάρχου·
κάλλιον γὰρ ἐν ὑφειμένῳ προσώπῳ εὐδοκιμεῖν ἢ πεῖ-
κρατουμένου τοῦ προσώπου καὶ ὑπερβάλλοντος αὐτό·
ἢ ἐν ὑπερέχοντι ἀσχημονεῖν ἀπολειπόμενον τῆς ἀ-
ξίας αὐτοῦ· καὶ κάλλιον παιδαγωγὸν ἄριστον εἶναι·
ἢ διδάσκαλον εὐτελῆ· καὶ οἰκονόμον χρηστόν· ἢ
ἄρχοντα μοχθηρόν· πρὸς γὰρ τῷ ἀσχημονεῖν ἐν τῷ

μείζονι περισσῶς ὅπως οὖν κατὰ δόξαν ἀρχὴν μεγάλην λάβῃ·
ἀλλὰ κατ᾽ αὐτὴν τὴν φύσιν τοῦ πράγματος· καὶ ὅτι
καὶ ἄλλων ἅμα θᾶσσον συμμέτρως ἐπιτηδεύοντες κατορθοῦν-
τα ἀπόλλυμεν· ἀμέλγων γὰρ ὑποκριτὴς ἐν τραγῳδίαις ἢ
κωμῳδίαις· ὁ δοῦλον καλῶς ὑποκρινόμενος· τοῦ λόγου
πρόσωπον τὸ δεσποτικὸν ἢ βασιλέως μὴ κατορθώσαντα·
καὶ τοῦτο δέ μοι πρὸς δίκαιον σὺν ἡμῖν ὁρᾶν τὸ κεφάλαιον·
καὶ τὸ ἀξίωμα ἐν τῷ βίῳ πρόσωπον ἐκλέγεσθαι παραι-
νοῦμεν καὶ μὴ πλείονα ἑαυτῶν: ἐκ τοῦ περὶ πάντων
καθάπερ προσέχεις, μὴ μεταβ[illegible] ὁ λό[illegible], περὶ [illegible]:
ἰσχυρῶς ἡ ἀρχὴ ψυχὴ βλάπτεται· ἢ τοῖς ἀλόγοις πά- ΝΔ
θεσιν ἑαυτὴν ἐμπαρέχουσα καὶ δι᾽ αὐτῶν προσκο-
λλωμένη τῷ σώματι· ὅτε ὑποφθέγγεται μὲν διαλα-
ραίνουσα· πλάττεται δὲ τοῖς πάθεσι τυραννουμένη
ὑπ᾽ αὐτῶν γεγενημένη ἢ κατὰ τὴν ἑαυτῆς κρίσιν
διαγραφεῖσα· ὃ οὐ δεῖ ἀεὶ ἀγνοεῖν αὐτὴν ὡς ἄλλην
ἀπὸ τῶν ἀλόγων παθῶν· παραφυλάττουσαν ὅπως αὐτὸς
ἀμφότερα ταῦτα φυλάττεσθαι κατὰ τὴν ἀρχὴν
διαφυλάττειν [illegible] τοῦ [illegible] ταύτην· ὥστε μὴ
τοῖς ἀλόγοις πάθεσιν ἐμπορεύεσθαι· ὥσπερ σώματι καὶ
ὄργανον διὰ κινήσεων προσηλοῖ καὶ κολληθεῖσαν αὐτοῖς
ψυχὴν τῷ σώματι· ποῖος δὲ [illegible] οὕτως προσηλοῖ
ὥστε ἀλόγως ταῦτα πάθη ποιοῦν ταύτην ψυχὴν ἐν-
νομίζειν ἑαυτὴν καὶ αὐτὰ καὶ τὸ σῶμα· τὴν δὲ δίαιταν
τροφὴν τοῦ δοξαστικοῦ καὶ περιπεζίου τῆς ψυχῆς
μέρους· καθὸ καὶ γνώμη τῷ σώματι καὶ τοῖς σώματι καὶ
ζῴοις καὶ ψυχῆς τούτων ζῷα ἀρέσκει οἷα καὶ ὡς δι-
καστὴς καὶ παρακελεύεται ὡς περὶ ἐν τῷ περὶ παθῶν
φυλαττόμενον τὸ σῶμα. οὕτως ἐν τῇ δόξῃ τῶν κατὰ
τὸν βίον ἀρετῶν τὴν λογικὴν ψυχὴν τὴν κατὰ φύσιν

ἡγεμονοῦσαν ἐν τῷ ἀνθρωπίνῳ ζώῳ, καθ' ἣν καὶ χαρα-
κτηρίζεται τοῦτο τὸ ζῷον φυλάσσειν· εἶναι μᾶλλον
ἐπ' αὐτὴν ἢ τοῖς πάθεσιν ἀντιφερομένην ἢ διὰ λαιμαρ-
γίαν ἢ τὴν κρίσιν καὶ τὴν δόξαν αὐτῆς διαστρεφομένην
διὰ ῥᾳθυμίαν· ἐὰν γὰρ ἐφ' ἑκάστου παραφυλάττωμεν
ἑαυτούς, ὥσπερ οἱ βαδίζοντες ἀσφαλέστερον ἑκάστου
τῶν ἔργων ἀψόμεθα· κἂν γὰρ συμβῇ τις ὀλίγος
ὄλισθος παραφυλαττόντων ἡμῶν, ῥᾳδίως αὐτὸν
ἐπανορθοῦμεν κἂν μικρὸν ῥεμφθέντες τῷ ἥλῳ
ἐπιβῶμεν. ἂν ἀρρύθμως τὸν πόδα ἀποθῶμεν διὰ
τὸ παρατηρεῖν· καὶ ἀπὸ τοῦ ἥλου ἀνακόλως ἀποσπῶ-
μεν τὸν πόδα μὴ ἀμυσσόμενον· καὶ τοῦ ποδὸς τὴν
βάσιν ἀνακόλως μεταρρυθμίζομεν: · μέτρον κτήσεως
τὸ σῶμα ἑκάστῳ, ὡς ὁ ποὺς ὑποδήματος:
νε Ἐν τοῖς περὶ τὸ σῶμα οἷον ἐσθῆσι· τροφαῖς κτήμασι·
δύο ταῦτα ἐστίν· ἥ τε κτῆσις αὐτῶν καὶ ἡ χρῆσις. φθάσας
οὖν προτρέψαι περὶ τῆς τούτων χρήσεως· ὅτι κατὰ
τὴν ψιλὴν τοῦ σώματος χρείαν τὴν χρῆσιν αὐτῶν
δεῖ παραλαμβάνειν πᾶν τὸ περιττὸν ἀφαιροῦντας
τὸ πρὸς δόξαν ἢ τρυφὴν ἀποτεινόμενον· νῦν περὶ τῆς
κτήσεως αὐτῶν διδάσκει μέτρον καὶ ταύτης λέγων εἶναι
τὸ σῶμα· ἐπεὶ γὰρ τῆς μὲν κτήσεως μέτρον ἡ χρῆσις·
διὰ γὰρ τὸ χρήσασθαι κτώμεθα· τῆς δὲ κτήσεως μέ-
τρον τὸ σῶμα καὶ ἡ τούτου, δῆλον ὅτι καὶ τῆς κτή-
σεως μέτρον ἂν εἴη τὸ σῶμα καὶ ἡ τούτου χρεία· διὸ ὁ
μὲν εἰς ταύτην τις ἀποβλέπων τὴν χρείαν· δέρμασιν ἀρ-
κεσθήσεται λιτοῖς· τῶν μὲν ἐπικειμένων πρὸς θάλψιν
καὶ φρουρὰν τοῦ ποδός· τῶν δὲ ὑποκειμένων πρὸς τὸ
ἀμέσως ἐπιβαίνειν τοῖς βλάπτουσιν· ἐὰν δὲ ὑπερ-
βῇ τις τὴν χρείαν τοῦ ποδὸς ἐπὶ καλλωπισμοὺς
εἰς τρυφήν.

γίνεται κατάχρυσον ὑπόδημα· εἶτα φησὶ πορφυροῦν·
εἶτα κεντητόν· τοιαύτη δὲ ἦν ὡς ἔοικε παρ' αὐτοῖς ἡ πολυ-
τελὴς πορφυρᾶ καὶ κεντητὴ ἐργασία· ὥστε καὶ τοῦ
καταχρύσου αὐτὴν τιμᾶσθαι· οὕτως δὲ καὶ ἐπὶ τῆς ἄλλης
τῶν τῷ σώματι χρειωδῶν ἐάν τις τὸ μέτρον ὑπερβῇ
τῆς χρείας· καὶ τὸν κατ' αὐτὴν ὅρον, εἰς τὸ ἀόριστον φέ-
ρεται ἄλλα ἐπ' ἄλλοις προστιθείς, ἕως ἂν εἰς τὸ βαρύ-
τατον ἐναχθῇ· τῆς τρυφῆς καὶ τῆς κενῆς δόξης.
διὰ γὰρ ταῦτα ἡ ἐκτροπή, καὶ τῆς ἀκολουθούσης τῇ
ἐκτροπῇ πολυειδοῦς ἐνδείας καὶ τῆς ἐπ' αὐτῇ θλίψεως·
ἂν γὰρ δέκα κτησώμεθα, εἴκοσι βουλόμεθα· κἂν
εἴκοσι, μ'· καὶ ἐφεξῆς· καὶ πέρας οὐδέν ἐστι τῆς
ἀλγεινῆς τῆς ἀπλήστου ὠθήσεως· δῆλον δὲ ὅτι καθ' ἕκα-
στον πρὸς τὴν χρείαν τοῦ σώματος παραλαμβανόμενον
εἰ τὸν ὅρον ἐκβαίνουσιν αἱ κτήσεις, εἰς ἀοριστίαν ἐκπίπτει.
ὥστε καὶ τοῦ σκοποῦ λοιπὸν ἐπιλανθάνεσθαι καὶ
τῆς χρείας· εἰς ἣν συντελοῦσιν· ἢ τοῦ σώματος ἡ αὐτή·
τοιγαροῦν καὶ προϊέμεθα τὸ σῶμα πολλάκις δι' ἀπλη-
στίας τῆς τούτων κτήσεως· μήποτε δὲ τὸ τοῦ ὑποδήματος
παράδειγμα· ἐὰν κατὰ τὸ μέγεθος ληφθῇ, καὶ μὴ κατὰ
τὸν καλλωπισμόν, ὑπερβαῖνον τὸ μέτρον προσκό-
πτοντας ἡμᾶς ἐπ' αὐτοῦ πολλάκις· καὶ πίπτοντας,
ὡς κατὰ κρημνίον ποτέ· χρὴ δὲ ἀπὸ τῶν περὶ τῆς
χρήσεως εἰρημένων, καὶ τῶν περὶ τῆς κτήσεως διαιρ-
εῖν· ἡ δ' ἂν καὶ ταῦτα τὰ κεφάλαια τὸ προσῆκον μέτρον
ἐν τῇ κτήσει καὶ χρήσει τῶν ἐκτὸς διδάσκονται φυ-
λάττειν πρὸς δὲ καὶ ὅσων ἡμᾶς ἀπευθύνονται·

αἱ γυναῖκες εὐθὺς ἀπὸ ιδ' ἐτῶν, κυρίαι καλοῦνται·

Ἐνδοῖς καὶ γυναιξὶ τοῖς τὸν κατὰ φύσιν αἱρουμένοις
βίον. νϛ

Καὶ τὴν καθήκουσαν αὐτοῖς περὶ γυναῖκας ἐπιμέλει-
δι' αβραχέων ἂν δέηται παρὰ φαύλων αὐτὴ τὴν
τῶν πολλῶν ἀγωγῶν χρῆσιν· καὶ ἀπὸ τῶν ἐκείνης ἑπο-
μένων καλῶς ταύτην ῥυθμίζων· οἱ μὲν γὰρ πολλοί φησιν
ἀνόητοι τὰς γυναῖκας αὐθεὶς ἐκ νέας ἡλικίας κολακεύουσι·
καὶ τιμῶσι κυρίας καλοῦντες οὐδενὸς ἄλλου ἕνεκεν.
ἢ τοῦ συγκοιμᾶσθαι· διὸ εἰκότως ἐκεῖναι περὶ τὸν
τῶν ἀσκευαζόμεναι καλλωπίζονται· καὶ ἐν τούτω
πάσας ἔχουσι τὰς ἐλπίδας· καὶ οὐκ ἔστιν αὐτὰς αἰ-
τιᾶσθαι τοσοῦτον· ὅσον τοὺς ἄνδρας τοὺς διὰ τοῦτο
τιμῶντας· διὸ χρὴ σαφῶς ἀναθήσειν αὐταῖς ἐξ ἀρ-
χῆς παραχεῖν· ὅτι οὐδενὸς ἄλλου ἕνεκα ὑπὸ
ἀνδρῶν τιμηθήσεσθαι· ἢ μὴ τοῦ τὰ ἤθη καλῶς μεμαθηκέναι
καὶ δι' αἰδοῦς ὑποκατακεκλῖσθαι τῷ ἀνδρί· ταῦτα
γὰρ ἔχουσι καὶ προσοικονομίαν λοιπὸν καὶ παιδο-
τροφίου καὶ τὴν τοῦ ἀνδρὸς ἐπιμέλειαν· καὶ τὸν λοι-
πὸν βίον, ῥᾳδίως συνεθισθήσεται· ὥσπερ ταῖς κολα-
σευομέναις γυναιξὶ προσήκει:· ἀφυΐας
σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα:

νζ Ὥσπερ οἱ εὐφυεῖς περὶ τὰ τῆς φύσεως τῆς οἰκείας
ἄκρα καὶ τέλεια καὶ ἀκριβῆ σπουδάζουσι· καὶ τούτοις
ἐνδιατρίβουσιν· οὕτως οἱ ἀφυεῖς περὶ τὰ εὐτελῆ
καὶ ἐλάχιστα καὶ ὅλω χαρῆ καὶ τοῖς πολλοῖς βάσιμα ἐν-
διατρίβουσιν. ὅπως οὖν κατὰ ψυχὴν λογικὴν ὄν-
σι, ὁμοίως χρωμένην τῷ σώματι ὡς ὀργάνῳ τὸ ἀ-
ποστῆναι μὲν τῶν κατὰ φύσιν τῆς ψυχῆς ἐνεργειῶν
ἐνδιατρίβειν δὲ τῷ σώματι, σημεῖον ἀφυΐας ἐστίν·
ὥσπερ αἴτιον τούτου ἡ ἀφυΐα· τίς γὰρ τεχνίτης
λόγου ἄξιος περὶ τὴν τῶν ὀργάνων θεραπείαν
δαπανῶν τὸν καιρὸν τῆς τέχνης τῆς χρωμένης

αὐτοῖς ἀνιαρόν· ὃ μὴ μόνον δὲ ἀφυΐας ἐστὶ σημεῖον
τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα· ἀλλὰ καὶ συμ-
παθείας περὶ ἐκεῖνο· οἷς γὰρ χαίρομεν καὶ οἷς συμ-
παθοῦμεν· τούτοις ἐνδιατρίβομεν· χρὴ οὖν φησὶ
τὴν μὲν περὶ τὸ σῶμα ἀσχολίαν πάρεργον ἡγεῖσθαι·
τὴν δὲ προηγουμένην σπουδὴν περὶ τὸν χρώμενον
τῷ σώματι ποιεῖσθαι· αὕτη γὰρ δικαία τάξις περὶ αὐ-
τὸ καθήκει ἡμῖν διαγωγή: **ὅταν σέ τις κακῶς ποιῇ,
ἢ κακῶς λέγῃ:**

Καὶ τοῦτο τὸ παράγγελμα, εἰς ἀνεξικακίαν προκαλεῖ- μζ
ται πρᾴως διατίθεσθαι ἐπιχαίρουσι· καθ' ἕνα μὲν τρόπον
ὅτι ἕκαστος τῇ ἑαυτοῦ φαντασίᾳ καὶ τῷ φαινομένῳ
αὐτῷ καλῶς ἔχειν ἀκολουθεῖ· καὶ οὐχ οἷόν τε ἐστὶν ἄλλον,
τῷ ἡμῖν δοκοῦντι καλῶς ἔχειν ἀκολουθεῖν· εἰ μὴ καὶ
αὐτῷ ὁμοίως φαίνοιτο· οὐχ ἔχουσιν ἀγανακτεῖν, εἰ τῷ
φαινομένῳ αὐτῷ καλῶς ἔχειν ἀκολουθεῖ· καὶ γὰρ καὶ
σὺ τούτῳ ἀκολουθεῖς καὶ πάντες ἄλλοι· τίς οὖν ἂν πρὸς
τὴν κοινὴν φύσιν ἀγανακτοίη ἣν κοινῶς ἔχομεν· εἰ δὲ ἐστὶ
τὸ μὴ καλῶς μηδὲ δικαίως ἔχον καλῶς ἔχειν ἔδοξεν
αὐτῷ, διὰ τοῦτο ἀγανακτεῖς· καὶ αὐτὴ ἄτοπος ἡ ἀγαν-
άκτησις· ἐκεῖνος γάρ ἐστιν ὁ βεβλαμμένος, καὶ οὐχὶ σύ·
ὁ γὰρ τὸ μὴ καλῶς ἔχον, καλῶς ἔχειν ὑπολαμβάνων οὗτος ἠ-
πάτηται· ὁ δὲ ἠπατημένος βλάπτεται· ὁ γοῦν κακῶς
σέ τι ποιῶν, ἢ κακῶς λέγων· αὐτός ἐστιν ὁ βεβλαμ-
μένος· καὶ οὐδὲ κἂν οὐδὲ σὺ οὐδὲ τῶν μὴ δι' ὧν ἄλλος
τις, αὐτὸν ἰσχύσει βλάψαι· εἴπερ τῷ μὲν [illegible]
ἐπὶ βλάβῃ δοκοῦν τὰ εἰς σῶμα γίνεται καὶ τὰ ἐκτός·
ὥστε μὴ δὲ αὐτοῦ κύριος εἶναι βλάβην· ἡ δὲ ἀπάτη
τῆς ψυχῆς καθ' ἣν αὐτὸς ὑφέστηκεν· ὅτι δὲ αὐτὸς ἐστὶν
ὁ βεβλαμμένος ὁ ἀπατηθεὶς καὶ οὐκ ἐκεῖνος περὶ ὧν

ἠπατήθη ἐλάσσων ἀμαργῶς ἐκ τοῦ κατὰ τὸ συμ-
πεπλεγμένον· οἷον ἂν τὸ ἡμέραν ἐστὶν ἢ ἥλιος ὑπὲρ
γῆν ἐστὶ ψεῦδος δέ τις ὑπολάβοι· οὐ τὸ συμπεπλεγ-
μένον βέβλαπται· αὐτὸ γὰρ ἔχει τὴν ἑαυτοῦ ἀλήθειαν·
ἀλλ' ὁ ἀπατηθεὶς περὶ αὐτοῦ. οὕτως καὶ ὁ παρ' αὐτὸν [illegible]
ἔχων λοιδορῶν σε ἢ κακοποιῶν· αὐτός ἐστιν ὁ βεβλαμ-
μένος· σὺ δὲ οὐδὲν βέβλαψαι. οὐδὲ πέπονθας
τι κακόν· μάλιστα ἐὰν ἐν τοῖς ἐφ' ἡμῖν εἶναι ἡ οὐσία
τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ· ἐννοῶν οὖν καὶ ὅτι ἀνάγκη
ἕκαστον τοῖς φαινομένοις μὲν αὐτῷ ἀκολουθεῖν· καὶ ὅτι
ἄφρων ἐστὶν ὁ βεβλαμμένος καὶ οὐχὶ σύ· πρᾴως
δὲ ἕξεις πρὸς τὸν λοιδοροῦντα καὶ μεγαλοφρόνως· ἐὰν
γὰρ συνεθίσῃς ἐφ' ἑκάστῳ τῶν τοιούτων ἐπιφθέγγεσθαι
ὅτι ἔδοξεν αὐτῷ· ἀνάγκη δὲ τῷ δοκοῦντι ἀκολουθεῖν:

Πᾶν πρᾶγμα δύο ἔχει λαβάς· τὴν μὲν φορητήν·
τὴν δ' ἀφόρητον:

νη Πάντα τὰ ἐν γενέσει πράγματα ἐναντιότητα ἔχει συγκεκραμένα.
κατά τι μὲν συμφωνοῦντα καὶ συναρμόττοντα πρὸς ἄλληλα.
καὶ φορητά ἐστιν ἀλλήλοις· κατά τι δὲ ἀσύμφωνα·
καὶ ἀφόρητά ἐστιν· οἷον τὸ πῦρ θερμὸν καὶ ξηρὸν ὑπάρχον·
κατὰ μὲν τὸ θερμὸν, σύμφωνόν ἐστι τῷ ἀέρι·
καὶ φορητόν ἐστιν αὐτῷ· κατὰ δὲ τὸ ξηρὸν, ἀντίκειται
καὶ μάχεται· οὕτω καὶ ἀδελφὸς ἐὰν ἀδικῇ καὶ οὗτος δύο
ἔχει λαβάς· τὴν μὲν φορητὴν τὴν τοῦ ἀδελφοῦ·
τὴν δὲ ἀφόρητον τὴν τοῦ ἀδικεῖν· ἀνάλογον δὲ ὅτι τῇ
μὲν τῇ φορητῇ εὐκόλως δίδαγμαι καὶ πρᾴως καὶ
ἀταράχως· πρὸς δὲ τὴν ἀφόρητον διαταραττόμενον·
καὶ τραχυνόμενον καὶ δυσαρεστούμενον· δεῖ τοίνυν ἀεὶ
θυμὸν ἔχειν καὶ ἀταράχως καὶ πρᾴως ἔχειν πρὸς αὐτόν·
ἐπειδὴ ἐπιδέονται τὰς δύο λαβὰς ἔχει τὴν τε φορητὴν καὶ
τὴν ἀφόρητον.

ἀπὸ τῆς φορητῆς αὐτῶν δράττεσθαι χρή. τῶν γὰρ
ὄντως ἐστὶ τοιαῦτα· πλοῦτος πενία ὑγεία· νόσ[ος]
πλούτου φορητὸν μὲν ἡ εὐπορία· ἀφόρητος δὲ ἡ
ἀσχολία καὶ πλεονεξία· καὶ πενίας φορητὸν μὲν ἡ ἡ-
συχία καὶ ἀπραγμοσύνη· ἀφόρητον δὲ ἡ ἀπορία·
ὑγείας φορητὸν μὲν ἡ ῥαστώνη καὶ εὐχρηστία· ἀ-
φόρητον δὲ ἡ αὐθάδεια καὶ ἐμπάθεια· τῆς δὲ
νόσου φορητὸν μὲν ἡ μετριότης τῶν ψυχικῶν παθῶν·
ἀφόρητον δὲ ἡ ταλαιπωρία· καὶ γάμου φορητὸν
μὲν παιδοποιΐα καὶ θεραπεία· ἀφόρητον δὲ
τό τε πολυειδὲς καὶ ἡ ἀλλοτριοῦσθαι· καὶ ἡ ἀτε-
κνία δὲ τὸ εὔλυτον ἔχει καὶ τοῖς καλλίοσι σχολάζειν
καὶ τὸ μὴ φροντίζειν· καὶ τῆς μετὰ τὸν θάνατον εὐπορί[ας]·
καὶ τὸ μέγιστον ὡς οἶμαι τὸ μὴ ἀναγκάζεσθαι καὶ κακοῖς
οὖσι γεγονόσι τοῖς τέκνοις συμπάσχειν· συμβαί-
νει γὰρ τῇ κακίᾳ συμπάσχειν· καὶ ὕβρεις δὲ καὶ λοιδορί-
ας φορητὰς ἔχουσιν· ἄστη μὲν ὅτι καὶ τὸ γινώσκειν
ἃ πρότερον ἠγνοοῦμεν τῶν ἡμετέρων· ἔπειτα δὲ τὸ
προκαλεῖσθαι τὸ ἐν ἡμῖν ἀνεξίκακον· καὶ ἡ πάντ[ων]
φθαρτὸ ταύτη ἡ μὲν ἡ τοῦ σώματος κόλασις· φορητ[ὸν]
ἔχει τὴν γυμνασίαν τῆς ψυχῆς καὶ τὴν κάθαρσιν·
πάντα δὲ τὰ τοιαῦτα μέγα ἀγαθὸν ἔχει τὸ ἀνδρικῶς
ὑπομένειν· καὶ γὰρ τοῦ μὴ περιπεσεῖν· τὸ περι-
πεσόντα καλῶς διαγενέσθαι ὠφελιμώτερον ἐστὶ τῶν
ἄλλων· ἐπεὶ τὸ μὲν μὴ περιπεσεῖν τοῦ σώματος καὶ
τῶν ἐκτὸς ἐστὶν ἀγαθόν· τὸ δὲ καλῶς διαγενέσθαι τῆς
ψυχῆς· ἀλλὰ καὶ οἱ ἐχθροὶ ὠφελείας ἔχουσι καὶ
αἴτιοι γὰρ αὐτοὶ κἀγὼ φυλαχθῆναι τοῖς πρότερον ἡμῶν
διεξετάζοντες τὰ πάθη· καὶ ἀσφαλέστερον γίνεσθαι
τοιούτων· καὶ ὅτε Χαιρωνεὺς Πλούταρχος βιβλί[ον]

ὅλου τῆς ἀπὸ τῶν ἐχθρῶν ὠφελείας συνέγραψεν:

Οὗτοι δὲ οἱ λόγοι ἀσύνακτοι· ἐγώ σου πλουσι-
ώτερος, ἐγώ σου ἄρα κρείττων:

νθ Οἱ περὶ λόγους ἐσπουδακότες ὡς ἐπίπαν· καὶ ἀστ
περὶ μίξιν καὶ σύνταξιν σπουδὴν ἐκφέρουσιν ὅπερ
οὐ προσήκει τῷ φιλοσοφοῦντι εἰ μὴ ἄρα ἐπιμελῶς
ἀχθεὶς ἐκ παιδὸς διὰ τῶν γραμματικῶν λόγων αὐτο-
φυῆ καὶ οὐκ ἐπιτετηδευμένην ἔχει τὴν τοιαύτην
διαφράσιν· κἂν τοῦτο δὲ τύχῃ, οὐ βούλεται ἐπ'
αὐτῷ μέγα φρονεῖν τὸν φιλοσοφοῦντα ὡς μὴ
τοῦτον ἔχοντα τέλος. μὴ δὲ κατὰ τοῦτο οὐσιωμένη·
λέξις μὲν γὰρ ὅταν ἡ καλὴ ἔχει τὸ οἰκεῖον ἀγαθόν
ὃ τὴν καλλιλογίαν τέλος πεποιημένος ποιη-
τής ἐστιν ἢ συγγραφεύς· ὁ δὲ κατὰ ζωὴν λογικὴν
οὐσιωμένος καὶ τέλος ἔχων τὸ κατὰ φύσιν αὐτῆς
δ' κἂν ἐν φραδέστερος ὢν τινὸς κρείττονα αὐτὸν λέ
γει καὶ ὡς ἐκείνου· οὐ γάρ ἐστιν αὐτὸς ἡ λέξις· οὐδὲ
τέλος τίθεται τὴν λέξιν ὥστε κατ' ἐκείνην ἀποδοκι-
μάζεσθαι. ὡς πᾶς τεχνίτης κατὰ τὴν τέχνην. ἀλλὰ
τὸ δίκαιον ἐπεὶ ἡ ἀμὴ λέξις τῆς σῆς καλλίων.
δ' ἐστὶ τὸ μὲν προηγούμενον πρὸς τὸν φιλοσοφοῦν-
τα τὸ τὴν περὶ λέξιν αὐτοῦ ποιεῖν ἀλλ' ἀμελεῖν· παρα-
δείγματα δὲ τῶν πλουσιωτέρων χρῆται καὶ μετριάζ
δὲ μαθεῖν ἐπὶ πλῆξιν: Λούεταί τις ταχέως·
μὴ εἴπῃς ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως:

ξ Ἐν περὶ τῶν πραγμάτων κρίσιν ἀκριβεστάτην μὲν
ἔχειν βούλεται· ὥστε τὸ μὴ τεθαρρηκέναι ἡμᾶς τινα, μὴ
τὸ ἐπαινεῖν ἐφ' οἷς ποιεῖ. εἰ μὴ τὸν σκοπὸν μάθοιμεν
ἀφ' οὗ ἀποβλέπων ποιεῖ· οὗτος γάρ ἐστιν ὁ ἀποποιῶν
γινόμενος· διὸ καὶ τὸ ἧττον τις ὠφελεῖ· ἢ τὸ ἔμπροσθεν
βλάπτει·

ὃς κλέπτου μὲν ἢ ἴστε δίκαιον ποιεῖ. καὶ παρέχων ἀδι- κδ
χρησίων φησὶ τῶν μὲν γινομένων αὐτῶν καθ' ἑαυτὰ κρί-
νειν. εἰ βούλεταί τις ταχέως, ὅτι ταχέως βούλεται ταχύ.
μὴ μέντοι ποιότητα προστιθέναι· ἢ ὅτι καλῶς ἢ ὅτι
κακῶς, ἕως ἂν τὸν σκοπὸν μάθωμεν. τί γὰρ εἰ κάμ-
νων ἢ ἐρυθρήσας νύκτωρ καὶ δεόμενος τῆς τοῦ λουτροῦ
θεραπείας· ἀλλ' ὁ σκοπὸς ἐπιφέρει τὴν ποιότητα
τοῦ καλῶς ἢ μὴ καλῶς. καὶ τοῦτον διὰ τὸ πρὶν μὲν ἂν πρὸς
τό, ταχέως λούεσθαι τὸ κακῶς ἢ καλῶς προσφέρε.
ἢ γὰρ πολλῶν οἰνοποτεῖν ἐστὶ καὶ διὰ κρᾶσιν σώ-
ματος· καὶ διὰ κατάστασιν · ὡς πρὸ πόνων
ἢ ὑπὸ πόνων καὶ διὰ λοιμῶδες χωρίον· εἰ δὲ μὴ
οὕτως ποιοῦμεν, ὥστε τὰς μὲν πράξεις αὐτὰς ὡς
ἔχουσιν εἰπεῖν· καὶ λέγειν ὅτι ταχύ. ὅτι πολύ. τὴν δὲ
ποιότητα μὴ προσφέρομεν· ἕως ἂν τὸν σκοπὸν
μάθωμεν· συμβαίνει ἄλλων μὲν ἀσφαλέσθαι. τοῦτο
γάρ ἐστι τὸ φαντασίας καταληπτικὰς λαμβάνειν·
τουτέστιν ἐπ' ἄλλων μὲν κατατίθεσθαι τουτέστιν ἐκ-
κεῖσιν ἐπαινεῖν τὸ φαῦλον ἢ κακὸν λεγόμενον. ἀλλ' ὅ τι πρὸ
διὰ τοῦτο τὸ ἄλλο τίθεσθαι σύμβολον. ἄλλο τι περὶ αὐ-
λέγειν. καὶ μουλ      μὲν οἶμαι. μήτε ἐπαινεῖν
ὡς ἔτυχε, μήτε ψέγειν. μᾶλλον δὲ παρ' αὐτὰ ἀθε-
το ψέγειν ἀδίκως. διὸ ὁ ἐπὶ τούτου ποιεῖ τὸν λόγον. ὅτι
ἢ τοῦτο ἂν εἴη πρὸς δικαιοσύνην συντείνον:

μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον· μηδὲ
λάλει τὸ πολὺ περὶ θεωρημάτων ἐν ἰδιώταις:

Πρὸς τὸν ἔτι προκόπτοντα τοὺς λόγους ποιούμενος. ξδ
ἢ γὰρ πρὸς τέλειον φιλόσοφον. ἐκεῖνος γὰρ οὐκ
ἐδεῖτο τούτων τῶν παραινέσεων. ὁ γοῦν ἔτι
πρὸς αὐτὸν ὁ κινδῖνος αθεῖος δξεμάσαι ὁ οὐκέ-
στειλας.

ἐπεὶ δὴ τοῖς ἔτι προκόπτουσι τὸ φιλόδοξον καὶ ἀλα-
ζονικὸν ἐνοχλεῖ πάθος διὰ πολλῶν ἐπιχειρη-
μάτων αὐτὸ καθαιρεῖν προέθετο ὥσπερ διὰ τούτου·
εἰ γὰρ ψεῦδός ἐστι τὸν χορευόμενον χαλκὸν ἀνδρι-
άντα λέγειν· καὶ τὸ ἔμψυχον ἄψυχον· οὕτω δὲ καὶ τὸν
ἔτι προκόπτοντα φιλόσοφον λέγειν ψευδός· εἰ
δέ τις καὶ πρὸς τὸ μέγεθος ἀποβλέποι τῆς ζωῆς τοῦ
ὄντως φιλοσόφου· καὶ τὴν ὑπεροχὴν ἣν ἔχει πρὸς τοὺς
ἄλλους ἀνθρώπους· οὐ μόνον ψευδὸς· ἀλλὰ καὶ ἀσεβὲς λέγειν
δόξει· ὁ δὲ μὴ λέγων ἑαυτὸν φιλόσοφον· οὐκ ἂν οὐ
ἐν τῇ τάξει τοῦ φιλοσόφου τάττων ἑαυτὸν τῇ δια-
σκαλικῇ διδάσκειν ἐπιχειροίη· πῶς οὖν ἂν γυ-
μνάσαιτο φανείη τις προκόπτων ἢ τὸ προσιδεῖν ὧν λέγειν
ἀπηγόρευσεν· ἐν οἷς οὐ γυμνασίας ἐστὶν· ἀλλ' ἐπι-
δεικτικῶς οἱ λόγοι λέγονται· πῶς οὖν πρὸς τοῦτο
ἁρμόσεται· ἐὰν ἔργα ἐπιτελοίη τὰ ὑπὸ τῶν λό-
γων διδασκόμενα· καὶ μὴ τοῖς λόγοις ἐκφυσῶν κενῶν.
οὐ γὰρ τὸ λέγειν ἐστὶ τὸ τέλος, ἀλλὰ τὸ πράττειν τὰ
λεγόμενα· ἐν συμποσίῳ οὖν εὑρεθεὶς μὴ λέγε περὶ
τοῦ ἐσθίειν, ἀλλ' ἔσθιε ὡς δεῖ· οὕτω γὰρ καὶ ὅταν τοῦ
διδάσκειν γένηται καιρὸς ἀπὸ ζωῆς οἱ λόγοι προϊ-
όντες δι' ἀστεῖοι φανήσονται· οἷον γάρ ἐστι δι-
δάσκειν μὲν ὅπως δεῖ ἐσθίειν· ἢ ὅπως δεῖ φέρειν
τὰς περιστάσεις· αὐτὸν δὲ τοῖς ὑφ' ἑαυτοῦ τεταγ-
μένοις νόμοις μὴ ἐμμένειν· μὴ μόνον δέ φησιν ἀ-
πέχου τοῦ κατάρχειν τῶν τοιούτων λόγων, ἀλλὰ
κἂν ἄλλοι τινὲς ἰδιῶται περὶ τούτων διαλέγονται
μὴ θήσῃς ὡς ἂν ἰδιώτης φανῇ μὴ διδάσκειν
ἐπεὶ κίνδυνος ὀξέως ἐμέσαι ἃ οὐκ ἀπέπεψας· ὥσπερ
γὰρ τὰ πεφθέντα σιτία τὴν ἕξιν τρέφει τοῦ σώματος.

οὕτω καὶ οἱ πεφθέντες λόγοι· τὴν ἕξιν τρέφουσι τῆς ψυχῆς· ἀφ' ἧς λοιπὸν ὡς ἀπὸ μονίμου ῥίζης. οἱ καρποφόροι λόγοι προέρχονται· ἐὰν δέ τις πρὸ τοῦ τὴν ἕξιν ταύτην βεβαιῶσαι εἰς τοὺς κοινοὺς λόγους προφέρῃ, κινδυνεύει τῷ ὄντι ἐξεμέσαι ἃ οὔπω ἔπεψεν· ἐμέτῳ γὰρ σιτίων ἔοικε. τὸ αὐτοῖς ἐκείνοις οἷς ἤκουσεν ἐπὶ τῆς προφορᾶς. ἀλλὰ μὴν ἐκ τῆς ἐν ἑαυτῷ ἕξεως· ἐπειδὴ ἡ ἔξω νεύουσα ψυχὴ ἀπὸ τῶν ἀγαθῶν παραδειγμάτων ἀφέλκεται, τὸν Σωκράτην παράγει· καίτοι τηλικοῦτον ὄντα φιλόσοφον. ὡς καὶ ὑπὸ τοῦ θεοῦ πάντων ἀνδρῶν σοφώτατον αὐτὸν ἀποφανθῆναι· τοσοῦτον ἀφελὼν τῆς ἑαυτοῦ ζωῆς τὸ ἐπιδεικτικόν. ὥστε τινῶν ἀγνοούντων αὐτὸν μὲν καταφρονούντων. δι' αὐτοῦ δὲ βουλομένων ἄλλοις συσταθῆναι πρὸς παίδευσιν αὐτὸν ἄγειν αὐτοὺς προθύμως καὶ συνιστᾶν σοφισταῖς· ὥσπερ Ἱπποκράτην τὸν Ἀπολλοδώρου δεηθέντα αὐτοῦ τῷ Πρωταγόρᾳ συστῆσαι· καὶ ἐν Θεαιτήτῳ δὲ αὐτὸς λέγει· ὅτι πολλοὺς μὲν ἤδη ἐξέδωκε Προδίκῳ· πολλοὺς δ' ἄλλοις σοφοῖς τε καὶ θεσπεσίοις ἀνδράσι· μὴ μόνον δὲ φησὶ τοῦτο ἀσφαλὲς τὸ ἀνεπιδεικτικὸν καὶ ἀλαζονικὸν κατὰ τὸ μὴ λέγειν τὰ θεωρήματα ἐν ἰδιώταις· ἢ ἐκλεγόντων λεγόντων σιωπᾶν· ἀλλὰ καὶ ἐὰν ἀπαντήσῃ τις ὅτι οὐδὲν οἶσθα, μὴ δηχθῇς· τοῦτο γὰρ ἀγαθὸν τεκμήριον τοῦ καταφρονεῖν τῆς ἔξω δόξης πλέον τοῦ μὴ λαλεῖν τὰ θεωρήματα. ὁ ὑπὸ γὰρ ἔξω ἀκάμπτου δῆλον ἢ νομίζεται παρὰ τοῖς ἐκτὸς μηδὲν εἰδέναι· ἐὰν δὲ καὶ ἀκούσας τοῦτο μὴ δηχθῇς· καίτοι πρότερον ἐνίοτε δακνόμενος ἀπαντῶν, τότε ἴσθι, ὅτι ἦρξω τοῦ ἔργου· διὸ

ὑπ' αὐτοῦ οἱ πολλοὶ λόγοι παρελήφθησαν· καὶ αἱ τῶν
φιλοσόφων σπουδαὶ ἵνα ἐργάσηται κατὰ φύσιν.
ἀλλ' ἵνα λέγῃς καὶ ἀκούσῃς αὐτά· τὸ γὰρ ἀκούσαντα
ὡς οὐδὲν οἴεσθαι μὴ διηχθῆναι, ἔργον [illegible] ἐστὶ καὶ
φρόνησις γάρ ἐστι τῆς ἔξωθεν δόξης καὶ ἀδο-
ξίας· καὶ μὴ διακρίνεσθαι χρὴ ποτὲ τὴν ἑαυτοῦ
προκοπὴν διδασκάλῳ ἐπιζητοῦντι τὰ ἔργα
διακρῖναι τὰ ἀπὸ τῶν πεφθέντων λόγων καὶ
τὴν δόξαν θρεψάντων ἐνδεικνύμενα· ἀλλ' οὐχὶ τὴν
λέξιν· καὶ γὰρ τὰ πρόβατα, οὐ τὸν χόρτον δεξά-
μενα δείκνυσι τοῖς ποιμέσι πόσον ἔφαγεν·
ἀλλὰ τὴν νομὴν πέψαντα ἔρια φέρει καὶ γάλα:

## Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ:

ξϛʹ Πολλαὶ προφάσεις εἰσὶν ἐφ' αἷς ἔνδοξοι ἂν τοῖς
ἑτέροις βουλόμεθα· οἱ μὲν γὰρ τὰς πράξεις τὰς ἑαυτῶν
διηγούμενοι, τὰς εὐδοξίας θηρῶσιν· οἱ δὲ, ἐπ' εὐ-
φραδείᾳ. οἱ δὲ, ὡς διδάσκαλοι τῶν ἀκουόντων.
ἄλλος δὲ ἐπὶ λιτότητι καὶ καρτερίᾳ. τοὺς οὖν προ-
τέρους ἤδη ἰατρεύσας, πρὸς τοῦτον νῦν ποιεῖται
τὸν λόγον· παραινῶν, μήτε αὐτὸν καλλωπίζεσθαι
ἐπὶ λιτότητι καὶ ἀσκήσει· κοινὸς γὰρ ὁ λόγος· τουτέστι
μὴ χαυνοῦσθαι· μηδὲ μέγα τι νομίζειν ἔχειν· ἀλλὰ
ἐννοεῖν πρῶτον πόσῳ λιτότερον μὲν ζῶσιν
οἱ πτωχοί· καὶ πόσῳ καρτερικώτερον· ἔπειτα
κἂν τοῦτο λόγου ἀξίως ἔχωμεν· πόσα ἄλλα ἀγαθὰ
ἐλλείπομεν· ὧνπερ ἄλλοι ἔχ[illegible] · βλάπτει δὲ τὸ
ἐπί τινι πλεονεκτήματι χαυνοῦσθαι· καὶ πρὸς τὸ
μήτε αὐτὸ ἐκ [illegible] ἀποκαθαίρειν ἂν μὴ αὐτὸ νομί-
ζῃ εἶναι, μήτε ἄλλων ἐφίεσθαι ἀρκούμενον
ἐκείνῳ.

ἀλλ' ὅμως μηδὲ ἐπιδεικτικῶς φησὶν αὐτὰ ποίει· ὡς
ἐὰν ὕδωρ πίνῃς ἐκ παντὸς τρόπου πρὸς τοὺς διαλε-
γομένους ἐμπεσεῖν εἰς τοῦτο τοὺς λόγους, εἰς τὸ εὐκαίρως
δόξαι λέγειν ὅτι ὕδωρ πίνεις· κἂν ἀσκῆσαι
θέλῃς καὶ πρὸς πόνον καὶ πρὸς ἐγκράτειαν καὶ πρὸς
καρτερίαν γυμνάσαι, καθ' ἑαυτὸν ποίει τοῦτο· καὶ
μὴ φαινόμενος τοῖς ἔξω· μηδὲ θέλε ὁρᾶσθαι ὑπὸ πολλῶν
ὥσπερ οἱ ὑπὸ πολλῶν βιαζόμενοι δῆθεν αὐτοὶ τῶν
ἐπιβουλόμενοι τὸ πλῆθος, εἰς βοήθειαν ἐπικαλέσαντες,
εἰς τὰς ἀγορὰς αὐτοὺς ἀναλαμβάνοντες· ἀποκρούουσι
τὴν βίαν· καὶ συνάγουσι περὶ ἑαυτοὺς τὸ πλῆθος·
μὴ ἐπιδεικτικῶς οὖν, ἀλλ' ἐπὶ σαυτοῦ γύμναζε·
ὥστε σφοδρῶς διψήσας ἐπισπάσασθαι ψυχροῦ
ὕδατος καὶ ἀποπτύσαι, καὶ μηδὲ μετὰ τοῦτο εἰπεῖν
τινὶ ὅτι ἐποίησας· ὁ γὰρ ἐπιδεικτικῶς ταῦτα ποιῶν,
πρῶτον μὲν δοξοκενὴς ἐλέγχεται ὅλος· καὶ ἀφέλκει αὐτὸν
πρὸς τὸ ἐκτὸς ἐξάγεσθαι· ἔπειτα καὶ τὸ ἀγαθὸν τῆς
λιτότητος καὶ καρτερίας ἀπόλλυσι· θήρας αὐτὴν
τὴν τῶν πολλῶν δόξαν ποιούμενος· αἱ δὲ ἀσκήσεις
αὗται καὶ καρτερίας ὠφελοῦσι· συνεθίζουσι τὸ σῶμα
τε καὶ ἐν αὐτῷ ἄλογα πάθη μὴ κατεξανίστασθαι τοῦ
λόγου· ἀλλ' ὑπακούειν καὶ σκληρότερον ἐπιτακτέον·
τὸν μέντοι καιροῦ καλοῦντος ὅτε λῃ παθὴς, οὐκ ὀνειδίζεται
διαφθεροποιίαν, τὴν ἐλευθερίαν προϊέναι:

Ἰδιώτου στάσις καὶ χαρακτήρ· οὐδέποτε
ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην· ἀλλ'
ἀπὸ τῶν ἔξω:

Πέρας πρᾶξας ἤδη τῶν προαναγεγραμμένων λεχθέντων· ἡμᾶς
ἐπανάγει πρὸς συμπέρασμα· ὅτι χρὴ μὴ ἐπὶ τῶν
εἰρημένων λόγων μένειν· ἀλλ' ἔργα αὐτῶν ἐπιτηδεύειν

μὴ δεύτερος τίθεσθαι τὸ λέγειν καὶ ἀκούειν· ἀλλὰ
τὸ ἐργάζεσθαι. πρὸ πάντων ἡμῖν τὰς τρεῖς ἕξεις παρα-
δίδωσι τὰς πάντας ἀνθρώπους περιλαμβανούσας.
τῶν γὰρ ἀνθρώπων οἱ μὲν, ἰδιῶται. οἱ δὲ ἐκ διαμέ-
τρου τούτων φιλόσοφοι. οἱ δὲ, ἀφιστάμενοι μὲν τῶν ἰδι-
ωτῶν· προσχωροῦντες δὲ τοῖς φιλοσόφοις, οὓς
προκόπτοντας καλεῖ· πρὸς οὓς καὶ τὰ προτρεπτικά ἐστι.
τούτοις δὲ διαλέγεται ἐν τοῖς λόγοις. ὥστε τοὺς ἀρ-
χομένους παιδεύεσθαι καὶ εἰς τοὺς πόθους ἤδη προ-
κεκοφότας. ἑκάστης οὖν τῶν εἰρημένων τριῶν ἕξεων
ὑπογράφει. ἰδιώτου λέγων στάσιν καὶ χαρακτῆρα.
τὸ μηδέποτε ἐξ αὐτοῦ προσδοκᾶν ὠφέλειαν
ἢ βλάβην· ἀλλ᾽ ἀπὸ τῶν ἔξω. οὕτω γὰρ ἔφη μὲν
τοῦ τελείου καθ᾽ ὃν οὐσιούμεθα· καὶ τῶν ἀλόγων παρ
καθὰ τοῖς ἀλόγοις ζῴοις κοινωνοῦμεν. ὁ μὲν λόγος
κοινὸς ἑρμηνεύς ἐστι πᾶσι κατὰ τὴν παροιμίαν· καὶ
γὰρ ἀριθμῷ διαφέρουσιν οἱ ἐν ἡμῖν λόγοι ἀλλήλων.
ἀλλὰ τῷ εἴδει ἓν οὕτως, ὡς πρὸς τὰ αὐτὰ ἀγαθὰ
ἀνατείνεσθαι. καὶ τὰ αὐτὰ κακὰ ἐκκλίνειν.
ἀληθῆ τὰ αὐτὰ ἡγεῖσθαι πάντας κατὰ τὸν
λόγον· καὶ πάλιν ψευδῆ τὰ αὐτὰ πάντα. ὡς
τὸν ἐν ἑκάστῳ λόγον, κανόνα εἶναι διακριτικὸν
τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ καὶ τοῦ ἀληθοῦς καὶ τοῦ
ψεύδους. ἡ διάνοια δὲ ἀσωμάτων καὶ ἀμερίστων
ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων
ἐφίεσθαι οἱ λόγοι. οἷον σωφροσύνης καὶ δικαι-
οσύνης. καὶ φρονήσεως. ὧν ὅλου ἕκαστον ἕκαστος
μετέχει· οὐ μειουμένου τῇ μεταλήψει. διὰ τὸ
κατὰ λόγον ὀρθὸν κρίνεσθαι οὐ μάχεται. ἀλλὰ
σύμφωνα ἐν πᾶσι τὰ αὐτὰ ὄντα. τὰ δὲ ἄλογα

πάθη· οἷον θυμὸς καὶ ἐπιθυμία καὶ τὰ τούτων ἀκ·
όλουθα ταῦτα ἐν ἐμοὶ καὶ σοί· ἀλλ' ἄλλου μὲν
ὁ ἐν ἐμοὶ θυμὸς ὀρέγεται· ἄλλου δὲ ὁ ἐν σοί· καὶ αἱ
ἐπιθυμίαι διάφοροι· καὶ τὰ τούτων ὀρεκτὰ· καὶ
αἱ ἀνακλίσεις διάφοροι καὶ ἴδιαι ἑκάστου· κἂν τῶν
αὐτῶν κατὰ τὸ ἀριθμῷ ὀρέγωνται; ἀλλὰ σωματικὰ
ταῦτα καὶ ἄτομα καὶ μεριστά. καὶ τῇ τοῦ ἑνὸς μετα-
λήψει μερίζουσιν· οἷον χρήματα ἢ σώματα· ἢ ἀξίαν·
κἂν τιμὴν ἀπαιτῇς ἢ ἀρχὴν ἢ δυναστείαν δι' αὐτὰ ἄτομα
εἶναι καὶ ταῦτα οὐ δύναται ὅλου ἑκάστου μετέχειν·
μερίζονται γὰρ τῇ μεταλήψει. διὸ περὶ ταῦτα αἱ διαφο-
ραὶ καὶ ἔριδες ἴδιαι ἑκάστου καὶ αἱ μάχαι καὶ αἱ στάσεις
καὶ οἱ πόλεμοι· ἰδιώτης δὲ ὥσπερ ἐστὶν ὁ καταλιπὼν μὲν
τὸν κοινὸν κανόνα· καὶ τὸ κοινὸν ἐφετόν· ὡς κεῖται δὴ
ἰδίαν καὶ ὀρεκτὴν ἰδίαν τινὰ ἄτομον· καὶ σωματικὴν
ἑαυτὸν περιστήσας ἅτε κατὰ φύσιν. ἅτε παρὰ φύσιν.
ἐκεῖ τὸ ἀγαθὸν δὲ κατὰ τὸ κακόν· ἀγαθὸν γὰρ τὸ ὀρεκτόν· καὶ
διὰ τὸ φανταστὸν νομίζεται· ὁ δὲ φιλόσοφος ἀποστὰς
πρὸς τὰ ἐκτὸς καὶ τὰ αὐτο          τάσεως καὶ ἀλλο-
τρίαν ἑαυτοῦ τελέως ἡγούμενος· ἀπὸ τούτων καθαρμένος
ἀπὸ τῶν ἀπολαύσεων ἢ δὴ καὶ τῆς σκιᾶς τῶν ὄντων εἰς
ἑαυτόν· καὶ τὸ ὄντως ὂν καὶ τὸ κοινὸν ἀγαθὸν δηλονότι λόγου
τὰ ἐν αὐτῷ ἐπιστρέφεται· καὶ ἐν ἑαυτῷ τὸ ἀγαθὸν
εὑρίσκει· κακὸν γὰρ ἐν ἑαυτῷ χώραν οὐκ ἔχει·
οὕτως συνῴζονται κατὰ διαφέροντος ἀλλήλων χαρακτῆ-
ρι ὅσα ἀφ' ὁδοῦ ἀποτείνεται τοῦ προκόπτοντος σημεῖα·
πρὸς ὃ καὶ ὁ προρρηθεὶς πᾶς ἀπετέτμητο λόγος·
οὗτος γὰρ πρὸς τὸν φιλόσοφον· οὐ γὰρ παιδαγωγεῖσθαι
καὶ διδάσκεσθαι. ἀλλὰ παιδαγωγεῖν ἤδη καὶ διδάσ-
κειν ἐκεῖνος ἀξιοῦται. ἀλλ' οὐ δὲ φιλοσόφου ἴδιον

τὸ μηδὲν ἀφεστάναι· μηδ' ὅλως ἐπαινεῖν· καὶ γὰρ ἀφεστάναι καὶ ἐπαινεῖν κατὰ καιρὸν τῶν διδασκάλων τῷ διορθοῦν παρέπεται· οὐ μήν τοι οὐδὲ προσιδίως ἁρμόζουσιν οἱ ῥηθέντες λόγοι· ἃ μὴ ἀποταξαμένους τῷ ἰδιώτῃ τις ὡς ἑαυτὸν ἐγχαρίσαι τῷ παραδοξοῦν τι πρὸς φιλοσοφίαν καὶ τὴν ἀρχὴν τῆς προκοπῆς καταδόξεται· τῷ γοῦν προκόπτοντι τῶν προσήκει· καὶ ἔστιν οἷον ἂν ἀληθής τις σωφρονισμὸς τῶν προτέρων ῥηθέντων· τὰ νῦν λεγόμενα· τὸ ἐπαιτῶν τῶν γνωμῶν αὐτῶν τὰ πολλὰ ὑπομιμνήσκοντα τὰ τοῦ ἡμᾶς ἐλέγχου· καὶ μνημονεύειν αὐτῶν διὰ τῆς σωφρονίας παρέχον· τὸ δὲ ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάττειν ἄρχεται, διὰ τὸ ὑποπτεύειν ἑαυτοῦ τὴν μήπω πεπηγυῖαν ἕξιν· καὶ διὰ τὸ σπουδάζειν τι κρεῖττον τοῦ ἑαυτοῦ κινεῖν τὰ κρίνειν ὡς πρὸ τῶν ἐχθρῶν κεκινημένον οὐ δεινῶς διὰ συμπάθειαν ἐκδιδόντες ὅπερ ἀποθαυμάζοντες πολλοὶ ἐφ' ἑαυτῶν τε πάσχειν καὶ ἐπὶ τῶν φίλων· μάλα δὲ ἧς ὁ ἔκλυτος ἐστὶ τοῖς μεμαλαγμένοις σώμασι μόνιμος ὤν:·

ὅταν τις ἐπὶ τῶν μορφῶν καὶ ὄψεως ... χρυσοῦ πόρου σημαίνοντες· λέγει αὐτὸς πρὸς ἑαυτόν· ὅτι ἂν μὴ χρυσοῦ πόσου ἐστερηθεὶς οὐδὲν ἂν αὐτὸς ἔχων ἐφ' ὧν:

ξη Διαιτήσας τὰς τρεῖς ὁδοὺς τὰς ἐν τοῖς ἄνω φυομένας ἰδιώτου καὶ φιλοσόφου προκόπτοντος, καὶ τῶν πρὸς τὸν προκόπτοντα ῥηθέντων σωφρονισμῶς ὑπομνήσασθαι τὸ συμπέρασμα λοιπὸν ἐπάγει· διὰ τούτου καὶ τῶν ἐφεξῆς· ὅτι χρὴ τὰ ἔργα τὰ ὑπὸ τῶν λόγων παραδοθέντα ἐργάσασθαι· τέλος γὰρ τῶν λόγων τὰ ἔργα ὧν ἕνεκα καὶ οἱ λόγοι ἐρρήθησαν·

μάλιστα γὰρ ἐπὶ τῶν τοιούτων ἀληθὲς τὸ παντὸς τοῦ
ῥήτορος· ὡς ἂν παράλογος ἂν ἀπῇ τὸ ἔργον, μάταιον
οὗτι φαίνεται κόμπον· χρὴ οὖν φησὶν ἐξ ἀρχῆς ἐννοοῦν-
τι ἂν βούλοιτο αὐτός· ὅτι τὸ ἑαυτοῦ ἀγαθὸν ζητῶν ὅτι
βούλεται εὑρεῖν τὴν ἑαυτοῦ φύσιν τίς ἐστι· καὶ τί
ταῦτα ποιεῖν ἢ πάσχειν προσήκει· οἷον ὅτι ζῶον λογικὸν
κεχρημένον τῷ σώματι ὡς ὀργάνῳ· καὶ χρὴ τὴν ταύτης
τελειότητα τὴν ἑαυτοῦ ὀρθῶσιν καὶ ἀκλισίαν συναρ-
μόσαι· ζητῶ οὖν τοῦτο· ἀκούω ὅτι Χρύσιππος ἐ-
γεγράφει περὶ τούτων· λαβὼν τὸ βιβλίον, οὐκ ἴσχυσα
ἀφ' ἑαυτοῦ νοῆσαι τὰ γεγραμμένα καὶ ζητῶ τὸν ἐξη-
γούμενον· ἀκούσας τί λέγει ὁ Χρύσιππος· καὶ οὕτω
σεμνὸν οὐδὲν οὐδὲ τῷ ἐξηγουμένῳ, οὐδὲ τῷ νοή-
σαντι· οὐδὲ γὰρ Χρύσιππος ἐπὶ τούτῳ ἔγραψεν
ἐπὶ τοῦ ἐξηγήσασθαι καὶ νοῆσαι· ἀλλ' ἐπὶ τῷ χρή-
σασθαι τοῖς γεγραμμένοις· ἐὰν οὖν χρήσωμαι τοῖς
γεγραμμένοις τότε τοῦ ἀγαθοῦ αὐτῶν μετέσχον·
ἐὰν δὲ θαυμάσω τὸν ἐξηγούμενον ὅτι καλῶς ἐξηγήσατο
καὶ νοῆσαι καὶ διώξω μὴ καὶ αὐτὸς ἐξηγεῖσθαι· ἢ πάν-
τως τῷ ἄλλα μοι περιγίνεται· πλὴν τοῦ χρή-
σασθαι τοῖς γεγραμμένοις· τί ἄλλο ἢ γραμματικὸς
ἐξετελέσθην ἀντὶ φιλοσόφου· μέρος γὰρ ἐν τῆς
γραμματικῆς τὸ ἐξηγητικόν ἐστι· διαφέρω δὲ
τοῦ γραμματικοῦ ὅτι Χρύσιππον ἀντὶ Ὁμήρου
ἐξηγοῦμαι· ἀλλὰ καὶ τὸ τελέως ἀναγινώσκοντα
τὰ Χρυσίππου ἢ ἄλλων αὐτὸ τοῦτο παραγινώσκειν
μὴ χρῆσθαι αὐτοῖς οὐκ ἔστιν ἀναπείληπτον· αἰσχρὸ-
νοιτο γὰρ ἄν τις δικαίως ὡς ἀγνοῶν καὶ κονηθείη μετὰ
τῆς νόσου ἀνεῖσκον γεγραμμένα· ἀναγινώσκο-
μεν αὐτὰ σαφῶς τε καὶ διηρθρωμένως· καὶ

ἄλλοις δὲ ἢ τοῖς γράφουσι· μὴ χρῆσθαι δὲ ἀπὸ τῆς ἑαυτοῦ νόσου τοῖς βοηθήμασι:

ὅσα προτίθεσαι, ὡς νόμοις, ὡς ἀσεβήσων ἂν παραβῇς, ἔμμενε:

ξε Μία χελιδὼν ὥς φησιν ἡ παροιμία ἔαρ οὐ ποιεῖ, οὕτω καὶ μία χρῆσις ἢ δύο τῶν ὑποχευσι... ῥηθέντων ἀξίνου κέκτω ποιεῖ· ἀλλὰ γάρ φησι τῷ προτεθέντι ὡς ἀγαθῷ καὶ ὠφελίμῳ ἐμμένειν βεβαίως· ὡς ἀσεβὲς νομίζειν τὸ παραβαίνειν· ἐγὼ δὲ τὰς ἐπὶ τοῖς τυχοῦσιν ὁμολογίας παραβαίνειν ἄτοπον καὶ ἀσεβὲς δοκεῖ· ὡς τῆς ἀληθείας καὶ τῆς πίστεως δι' ὧν τὰ πάντα συνίσταται, ὅσον ἐφ' ἡμῖν ἀναιρουμένων· πῶς οὐκ ἀσεβέστερον τὴν πρὸς φιλοσοφίαν καὶ θεοσέβειαν ὁμολογίαν παραβαίνειν· παραβαίνει δὲ ὁ συντιθέμενος μὲν τοῖς λεγομένοις καὶ γεγραμμένοις· ὡς καλῶς καὶ ἀληθῶς ἔχουσιν· ἔπειτα καὶ ἀρξάμενος τῆς χρήσεως αὐτῶν· μὴ ἐμμένων δὲ αὐτοῖς· ἐμμένειν οὖν φησὶ τοῖς ἀρεσθεῖσι πρὸς σοῦ· μὴ ἐπιστρέφεσθαι πρότερον ῥηθέντα· ἐνδεικνύμενος ὅτι πολλοὶ ἔσονται οἱ λέγοντες ὅτι ἄφνω σοφὸς ἡμῖν ἐπανελήλυθε· καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρῦς· καίτοι αὐτό γε τοῦτο ἐφ' ἡμῖν μέγα ἐστὶ τὸ ἀπιέναι ἢ μὴ ἀπιέναι ἀλλ'· ἔοικε δὲ ὁ τοιοῦτος ἀνὴρ τὸ παρὰ τῶν Πυθαγορείων συμβολικῶς εἰρημένον ἐνδείκνυσθαι· ἔλεγον γὰρ ἐκεῖνοι εἰς τὸ ἱερὸν ἀπερχόμενος μὴ ἐπιστρέφου· ἐνδεικνύμενοι ὅτι τὸν θεὸν ἐρῶντα δεῖν οὐχὶ διγνώμον τι ἔχειν. καὶ τῶν ἀγαθῶν ἀντεχόμενον:

εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἑαυτὸν ἀξιοῦν:

ξϛ Καὶ τοῦτο προσῆκον ἦν ἀκοῦσαι τὸν τυχόντα τελέως

τῶν παραινέσεων· τὸ μὴ μηδὲν λοιπὸν μηδὲ ἀναβ-
άλλεσθαι· αἰεὶ γὰρ ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει·
ἀργίας προφάσεις ἵν᾽ ἀναβάλλῃ· εἰς ποῖον οὖν ἔτι χρό-
νον ἀναβάλλῃ τὸ ἀξιοῦν σεαυτὸν τῆς καθ᾽ ἕκαστον
τῶν ἐν ἡμῖν χρήσεως· ταῦτα γάρ ἐστι τὰ βέλτιστα
ὡς τέλειος καὶ σπουδαῖος ὄντως καὶ τέλος τῶν λόγων
τὸ ἐν μηδενὶ παραβαίνειν τὸν ὀρθὸν λόγον· ἀλλὰ
καὶ αὐτὸν πάντα ἐνεργεῖν καὶ ὀρεγόμενον καὶ ἐκ-
κλίνοντα· καὶ ἄλλος μὲν ἂν εἴποι περὶ μὲν ὧν ἀκήκοας
τῶν τε λογικῶν καὶ τῶν ἠθικῶν θεωρημάτων· σὺ δὲ
ἤδη πάντως προκεκοφὼς ἐπὶ φιλοσοφίαν παρείληφας
τὰ θεωρήματα οἷς πρότερον χρὴ συνθέσθαι ὡς καλῶς
εἰρημένοις· καὶ τότε ἐργάσασθαι αὐτὰ συνέθου αὐτοῖς·
ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς· ἵνα εἰς ἐκεῖνον
ὑπερθῇ τὴν ἐπανόρθωσιν τὴν ἑαυτοῦ· ἄλλοις ἡλικίᾳ
ἐπιγελάζουσαν· σὺ δὲ οὐκέτι μειράκιον εἶ, ἀλλ᾽ ἀνὴρ ἤδη
τὴν γνώμην τέλειος· ὥστε οὐδὲ ἔξωρος γέγονας· ἐὰν τοίνυν
ῥᾳθυμήσῃς· ἢ δι᾽ αὐτῆς ἀμελήσας προθεσμίας ἐκ προθεσ-
μιῶν ποιῇς· καὶ ἡμέρας ἄλλας ἐπ᾽ ἄλλαις ὁρίζῃς· μεθ᾽ ἃς προ-
σέξεις σεαυτῷ· ἐλπίδα μὲν καλὴν ἐν σεαυτῷ τρέφῃς·
τὸ σήμερον καὶ αὔριον λέγων· λήσεις δὲ σεαυτὸν οὐ προ-
κόψας· ἀλλ᾽ ὑποκόψας τῷ κατ᾽ ὀλίγον συνεθισμῷ τῆς
ῥᾳθυμίας· καὶ ἰδιώτης διατελῶν καὶ ζῶν καὶ ἀπο-
θνήσκων· ὥσπερ γὰρ ἐκεῖνα τούτων ἀρχὴ καὶ μᾶλλον
φίλος ἡ τῆς φύσεως προτέρα σκιὰ μὲν ἐκεῖθεν ἔχομεν
οὕτω καὶ τὰ ἐνταῦθα τῶν ἐκεῖ ἀρχὴ καὶ προοίμιον
μος· μία γὰρ ἡ ὅλη ζωή· καὶ εἰς βίον ἕτερον μετα-
μεταβαλλόμενος· ἢ λήσει ἄξιος ὢν φησὶ σεαυτ-
βίου ὥστε τέλειον οὐχ ὡς τὸ τέλος ἀπειληφότα· ἐκ τῆς
μετ᾽ οὐδὲ τούτων τῶν λόγων· ἀλλ᾽ ὡς καὶ τοῦτο προκόπτ-

[illegible] τῷ ἀεὶ προκόπτειν καὶ μηδαμοῦ διακόπτειν
τὴν προκοπήν· ἀλλὰ πᾶν τὸ φαινόμενόν σοι
καλῶς ἔχειν νόμον ἢ τοῦ τὴν ἐργασίαν αὐτοῦ
προστάττον· πᾶσι δὲ τοῖς προσπίπτουσιν ἐ-
ξετάζεσθαι καλῶς καὶ τοῖς ἐναντίοις· ἐὰν κα-
τὰ τὸν ὀρθὸν λόγον καὶ ἐπίπονον ὅσῳ τι
ἢ ἡδὺ προσαχθῇ κἂν ἔνδοξον κἂν ἄδοξον δρᾶ ἐκ
τοῦ προσταττομένου· κἂν μικρὸν ᾖ, μὴ καταφρονεῖν
αὐτοῦ· κἂν μέγα μὴ ἀποδειλιᾶν· μηδὲ συγχωρεῖν
παρατρέχειν αὐτοῦ· ἀλλ' ἐφ' ἑκάστου νόμιζε τὸν
περὶ τῆς ἀρετῆς ἀγῶνα ἤδη προκεῖσθαι· ὥστε δεῖ
[illegible] εἶναι ἢ στεφανοῦσθαι ἢ ἀποκηρύττεσθαι·
οὐ γάρ ἐστι λοιπὸν ἐνεστηκότος τοῦ ἀγῶνος· διαχεῖ-
δὲ προορᾶν οὐδὲ μίαν ἡμέραν οὐδὲ ἓν πρᾶγμα
νομίζειν μηδὲν ἐκ τῆς τούτων καταφρονήσεως
βλάπτεσθαι· παρὰ γὰρ ἡμέραν καὶ ἓν πρᾶγμα
ἡ σὴ προκοπὴ καὶ σῴζεται φησὶ καὶ ἀπόλλυται·
πῶς τοῦτο; ἢ ὅτι μίαν ἡμέραν καὶ ἐφ' ἑνὶ πράγματι
ῥαθυμήσας τις, ἀργότερος καὶ ῥαθυμότερος
γίνεται· ὥστε ἄλλου προσπίπτοντος ἀτονώτερον
μᾶλλον ὄντα ἢ πρότερον ἡττᾶσθαι αὐτοῦ ἢ πρώ-
του· καὶ ἔτι μᾶλλον ἄλλου· καὶ οὕτω κατ' ὀλί-
γον αὐξανομένην τὴν αὐτοῦ γ' ἂν ἀπολλύναι τὴν προ-
κοπὴν τὴν ἕως τοῦ ὀρθοῦ λόγου· σῴζεται δὲ
αὔξεται ἡ προκοπὴ κατὰ τὸν ἐναντίον τρόπον·
ἀπὸ γὰρ τῆς μιᾶς ἡμέρας καὶ τοῦ ἑνὸς πράγματος
ἄγεταί τις μεθ' ὅσης οὖν προκοπῆς· ὥστε
τῷ δεξιῶς προσπίπτοντι εὐπροκοπώτερον ὑπαντᾶν·
καὶ ἔτι μᾶλλον τὸ δεξιῶς. οὕτως δέ φησι καὶ ὁ Σωκρά-
της ἀπετελέσθη ὁ ἀνδρῶν ἁπάντων σοφώτερος.

ἐθίσας αὐτὸν ἐν μηδενὶ τῶν ὠφελούντων αὐτὸν
ἀναβάλλεσθαι· ἀλλ᾽ ἐπὶ παντὸς τοῦ προσπίπτοντος
πείθεσθαι μηδενὶ ἄλλῳ ἢ τῷ λόγῳ ὃς αὐτῷ λογιζο-
μένῳ βέλτιστος καταφαίνεται· σὺ δὲ εἰ μήπω
Σωκράτης· ἀλλ᾽ οὖν ὡς Σωκράτης γε εἶναι βουλόμενος
ὀφείλεις βιοῦν· ὁ δὲ πρὸς παράδειγμά τι βλέπων· καὶ
ἐξομοιωθῆναι βουλόμενος ἐκείνῳ οὐκ ἐνδίδωσιν
ἑαυτὸν πρὸς τὴν μίμησιν αὐτοῦ παρασκευαζόμενος:

ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φι-
λοσοφίᾳ· ὁ τῆς χρήσεως τῶν θεωρημάτων:

Ἐπειδὴ τῷ φιλοσοφοῦντι καὶ βουλομένῳ τὴν ἑαυτοῦ ξζ
κατὰ φύσιν τελειότητα ἀπολαβεῖν· τήν τε ζωτικὴν
καὶ τὴν γνωστικήν· ἀναγκαῖόν ἐστιν ἐπιστημονικῶς
γινώσκειν· τίνα τὰ ἀληθῆ ἐστιν ἀλλὰ μὴ δοξαστικῶς
αὐτοῖς προβάλλειν, καὶ ἀλόγως τοῖς λέγουσι πι-
στεύειν ἄνευ μαθήσεως· ἅμα μὲν διότι ἁμαρτάνει,
ἅμα δὲ ἄλλοτε ἐπ᾽ ἄλλα μεταβαίνειν ἀναγκάζει·
ἡ δὲ ἐπιστημονικὴ γνῶσις, δι᾽ ἀποδείξεως γίνεται·
τίς δέ ἐστιν ἡ ἀπόδειξις· ὅτι ὁ συλλογισμὸς δι᾽ ἐ-
ναργῶν προτάσεων τεχνικῶς συντιθέμενος
συναγόμενος· καὶ τίνες ἐναργεῖς προτάσεις· καὶ
πόσοι τῆς συνθέσεως αὐτῶν τρόποι· τῆς λογικῆς
ἐστὶ πραγματείας διδάξαι· ἐπειδὴ οὖν ταῦτα οὕτως
ἔχει· τρεῖς εἰσιν ἐν φιλοσοφίᾳ τόποι ἀναγκαιότατοι· πρῶτ. μ. ὁ τῆς χρή. τῶν θεωρημάτων· οἷον σοφοῦ ἐν ἔργῳ· τὸ μὴ ψεύδεσθαι.
δεύτερος δέ, ὁ τῆς ἀποδείξεως καὶ μετὰ αἰτίας ὁ ἀπο-
δεικνὺς ὅτι δεῖ ταῦτα πράττειν· τρίτος δέ, ὁ διὰ
τῶν λογικῶν μεθόδων βεβαιωτικὸς καὶ διαρθρωτικὸς
τούτων, ταύτην ἀπόδειξιν εἶναι. καὶ μὴ ἢ ταύτην ἄλλην
διδάσκων τί ἐστιν ἀπόδειξις τί ἀκολουθία τί μάχη·
ὅτι ἀκολουθεῖ μὲν τὸ ὁλικώτερον τοῖς μερικωτέροις·

ἢ γὰρ ἀληθής ἐστι· καὶ ζητούμενόν ἐστι· μάχεται γὰρ τὰ ἀν-
τικείμενα, τό τις καὶ τὸ οὐδείς· καὶ τὸ πᾶς καὶ οὐ πᾶς·
καὶ ἀδύνατον ἀλλήλοις συναληθεύειν ταῦτα ἢ συμ-
ψεύδεσθαι· δείκνυσι δὲ καὶ ὁποῖος μέν ἐστιν ἀληθὴς
συλλογισμός· ὁ ἐκ ποίων προτάσεων· καὶ κατὰ ποί-
ων θέσεων. ποῖος δὲ ψευδής· καὶ δῆλον ὅτι οὗτος μὲν
ὁ τρίτος τρόπος ὁ τὴν λογικὴν διδάσκων μέθοδον
ἀναγκαιότερός ἐστι διὰ τὸν δεύτερον· ἵνα ἐπιστημονι-
κῶς γινώσκωμεν τίνα τὰ ἀληθῆ καὶ ψευδῆ ἐστι· καὶ ὅπως
αὐτὰ χρὴ περιποιεῖσθαι δι' αὐτῶν αὐτὰ τῶν ἔργων
περιποιούμεθα· καὶ οὗτός ἐστιν ὁ ἀναγκαιότατος·
τὸ γὰρ τέλος ὃ σπουδάζεσθαι δεῖ· διὰ γὰρ τὸ
τούτου ἕνεκα καὶ οἱ ἄλλοι παραλαμβάνονται· ἡ-
μεῖς δὲ τὸ ἀνάπαλιν ποιοῦμεν· ἐν γὰρ τῷ τρίτῳ
τρόπῳ διατρίβομεν. καὶ μελετῶμεν καὶ ἀπολιπόντες
ἐν τῷ δευτέρῳ· τοῦ δὲ πρώτου ἀμελοῦμεν δι' ὃν
οἱ ἄλλοι· τοιγαροῦν ψευδόμεθα μὲν ὅπως δὲ
ἀποδείκνυται ὅτι οὐ δεῖ ψεύδεσθαι· καὶ διὰ
τὴν λογικὴν μέθοδον, πρόχειρον ἔχομεν·
καίτοι εἰδέναι μαθόντας πῶς χρὴ ἀποδεῖξαι ὅτι οὐ χρὴ
ψεύδεσθαι, ἀφ' ἑτέρας ἀποδεῖξαι καὶ ἐπιστη-
μονικῶς γινώσκομεν ὅτι οὐ χρὴ ψεύδεσθαι· ἐγνω-
κότες δὲ αὐτὸ διατελοῦμεν τὸ λοιπὸν ἐργαζόμενοι·
ὡς τούτου ἕνεκα καὶ τῶν πρώτων πρότερον πρα-
χθέντων· ἀνόνητον καὶ ἐκμαθόντας καὶ ἐμπρακτι-
κῶς ἡμᾶς καὶ διὰ τοῦτο τοῦ κεφαλαίου, τὴν
τὴν ἐργασίαν τῶν προτρεπτικῶν λόγων ἔχει
ἐρωτήσεων:

ὅτι παντὸς πρόχειρα ἐκ τούτων ταῦτα:

ζ΄ Ὅδε τοίνυν κατὰ διέξοδον ἡμῖν παραδοθὲν τὸ

παιδευτῆς λόγου οὖν κεκινημένως τι μέσον τῶν προσθεν
ο τριῶν παραδεδώκασι. συμβουλεύει πρόχειρα
ἔχειν ἑκάστου πανταχοῦ. ὡς ἅμα μὲν εὐμνημόνευτα·
ἅμα δὲ τῇ μαρτυρίᾳ τῶν κλεινῶν ἀνδρῶν καὶ
τῶν ἀρχαίως ἀποφανθέντων βεβαιοῦνται ἡμῖν
τὴν ἐπὶ τοῖς εἰρημένοις πεποίθησιν. τὸ μὲν
οὖν πρῶτον, Κλεάνθους ἐστὶ τοῦ Ἀσσίου τοῦ ἀπὸ
τῆς Ἄσσου. ὃς μαθητὴς μὲν ἦν Ζήνωνος· δι-
δάσκαλος δὲ Χρυσίππου. τούτου καὶ ἀνδριάντα
θαυμαστὸν ἐν αὐτῇ τῇ Ἄσσῳ ἐθεασάμην ἀπὸ δό-
γματος τῆς Ῥωμαίων συγκλήτου πρὸς τιμὴν τοῦ
ἀνδρὸς ἀνατεθέντα. ἀξιοῖ δὲ οὗτος ἐν τοῖς
ἰάμβοις τούτοις ἄγεσθαι ὑπὸ θεοῦ. καὶ τῆς αὐτοῦ
διατάξεως ἀμεταστρέφοιτο ὅσης αἰτίας ποιη-
τικῆς τε καὶ κινητικῆς. ἣν πεπρωμένην καὶ εἱ-
μαρμένην ἐκάλεσεν. ἐπαγγελλόμενος ἀόκνως καὶ
ἑκὼν ἕπεσθαι. ἂν γὰρ ἀντιτείνω φησί μόνον
ὅτι κακὸς ἔσομαι. καὶ οἰμώζων καὶ στένων ἀκο-
λουθήσω. ἀνάγκη γὰρ ἀκολουθεῖ τὸ ἀσθενέστερον
τῷ ἰσχυροτέρῳ. καὶ τὸ αἰτιατὸν τῷ αἰτίῳ.
τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἐπίκτητος ἐδίδαξε κατὰ τὸ δι-
σοῦ κεφαλαίου ἐν ᾧ ἔλεγε. μὴ ζήτει τὰ γινόμενα
γίνεσθαι ὡς θέλεις. ἀλλὰ θέλε τὰ γινόμενα
ὡς γίνεται καὶ εὐροήσεις. συνεκτικὸν δέ ἐστι
τοῦτο πάσης εὐφορίας. τὸ οὖν ταὐτίζειν ἑαυτὸν
τοῖς ὅλοις. καὶ θέλειν ὅλον φέρεσθαι μετ᾽ ἐκείνων.
ἀλλὰ μὴ ἑαυτὸν ἀπὸ τοῦ ὅλου ἀποσπᾶν. καὶ
ὡς μικρὸν καὶ οὐδὲν περιγράφοντα ἀντιτείνειν
τοῖς ὅλοις. καὶ κωλύεσθαι τοῦ ὅλου τοσοῦτος ἀντι-
μέρει ἀκολουθεῖν. τὸ δὲ δεύτερόν ἐστι μὲν Εὐριπί-

τοῦ τραγικοῦ· τὴν δὲ αὐτὴν ἔννοιαν ἔχει καὶ
τοῦτο· ἀμήχανον γάρ ἐστιν ἢ ἐπὶ τὸ ἄγον καὶ τὴν
θείαν αἰτίαν πάντα τὰ φρονοῦντα ἑκὸν καὶ ἄκον·
ὁ ταύτῃ συμφωνῶν καὶ ἀκολουθῶν καὶ μὴ ἀντι-
τείνων, ἀλλ᾽ ἀόκνως ἑπόμενος, σοφὸς ὄντως
ἐστί· τήν τε τῶν ὄντων φύσιν καὶ τὴν τῶν
ὅλων καὶ τῶν μερῶν διαφορὰν καλῶς ἐπιστά-
+χυ μενος· καὶ τὴν αὐτῆς θείας δυνάμεως, κατὰ τὸ
προσῆκον τιμῶν:·

ἀλλ᾽ εἰ καὶ τὸ τρίτον ὦ Κρίτων εἰ ταύτῃ τοῖς
θεοῖς φίλον ταύτῃ γιγνέσθω:·

ζθ Ἔστι μὲν οὖν ἑαυτοῦ πλατωνικοῦ Κρίτωνος· σω-
κράτους διαλεγομένου. καὶ αὐτὸ δὲ τῆς αὐτῆς ἐννοίας
ἔχεται σὺν τῷ προτέρῳ· ὁ γὰρ τοῦτο μὴ λέγων
μόνον, ἀλλὰ καὶ ζῶν αὐτὸ τὸν ἀπὸ τῶν ὅλων
ἑαυτοῦ μερισμόν. καὶ τὴν ἀπὸ τοῦ θεοῦ φήμην
ἵεται· καὶ τῶν γινομένων πάντων ἀφίσταται.
τοῖς ὅλοις ἑαυτὸν ἐνδιδούς· καὶ τῷ θεῷ· καὶ μὴ
δοκεῖται τούτων ὁ ἀνὴρ οὗτος τῶν μαρτυριῶν
ἐπὶ τέλει προστεθέντων μὲν δείκνυσθαι· ὅτι
πάσης αὐτῆς ἀνθρωπίνης ψυχῆς τελειότης, εἰς τὴν πρὸς
θεὸν ἐπιστροφὴν καὶ τὴν πρὸς αὐτὸν σύνταξιν ὑπο-
κορυφοῦται· τὸ δὲ ἐπὶ τέλει προστεθὲν τὸ ἐμὲ δὲ
ἄνυτος καὶ μέλιτος, ἀποκτεῖναι μὲν δύνανται
βλάψαι δὲ οὔ· ἐστὶ μὲν ἀπὸ τῆς πλατωνικῆς σω-
κράτους ἀπολογίας· περὶ ἀνύτου καὶ μελίτου τῶν
σωκράτους κατηγόρων εἰρημένον· ὁ ἀρχῆ-
σιν ἀπεῖ ὑπομιμνήσκων ἡμᾶς τῶν ἐν ἀρχῇ ῥη-
θέντων· ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ἐν τοῖς ἐφ᾽ ἡ-
μῖν τιθέμενος· καὶ μὴ ἐν τοῖς ἐκτὸς· οὔτε ἂν

ἐγκαθήσεται ὑπό τινος. οὔτε ἐκλάμψει ποτέ·
τοῖς δὲ ἔχουσι τὰς ἐπιτηδειότητας, τοῖς μεταχειριζομένοις
προσαφεῖναι τῶν εἰρημένων συμβαλέσθαι
κατὰ δύναμιν. ἀλλὰ γὰρ ὥρα καὶ αὐτὸς τὴν προφάσει
τῆς περὶ τοὺς τοιούτους λόγους διατριβῆς ἐν περι-
στάσει καιρὸν μοι γιγνομένης τυραννικῆς περιστά-
σεως. ἄξιον δὲ ἐπὶ τέλει τοῖς παροῦσιν οἰκείαν
προσθεὶς εὐχὴν καταπαῦσαι τὸν λόγον. ἱκε-
τεύω σε δέσποτα. ὁ σωτὴρ καὶ ἡγεμὼν τοῦ ἐν ἡμῖν
λόγου· ὑπομιμνήσκεσθαι μὲν ἡμᾶς τῆς ἑαυτῶν
εὐγενείας ἧς ἠξιώθημεν παρὰ σοῦ. συμπρᾶξαι
δὲ ὡς αὐτοκινήτοις ἡμῖν πρὸς τὸ καθαρεύειν ἀπὸ
τοῦ σώματος. καὶ τῶν ἀλόγων παθῶν. καὶ πρὸς
τὸ ὑπερέχειν καὶ ἄρχειν αὐτῶν. καὶ ὡς ὀργάνοις
κεχρῆσθαι. κατὰ τὸν προσήκοντα τρόπον. συμ-
πρᾶξαι δὲ καὶ πρὸς διόρθωσιν ἀκριβῆ τοῦ
ἐν ἡμῖν λόγου καὶ ἕνωσιν αὐτοῦ πρὸς τὰ ὄντως
ὄντα διὰ τοῦ ἀληθείας φωτός. καὶ τὸ
τρίτον καὶ σωτήριον· ἵνα τελέως
ἀφέλῃς
τὴν ἀχλὺν τῶν
ψυχικῶν ἡμῶν
ὀμμάτων.
ὄφρ᾽ εὖ γιγνώσκωμεν κατὰ τὸν
Ὅμηρον· ἠμὲν θεόν. ἠδὲ καὶ
ἄνδρα :-

\+ † +

\+

τέλος :

BIBLIOTHEQUE MAZARINE